FLAVIO GIUSEPPE

LA GUERRA GIUDAICA

Volume II
(Libri IV-VII)

a cura di Giovanni Vitucci

Con un'appendice sulla traduzione in russo antico
a cura di Natalino Radovich

FONDAZIONE LORENZO VALLA
ARNOLDO MONDADORI EDITORE

TESTO E TRADUZIONE
(Libri IV-VII)

ΒΙΒΛΙΟΝ Δ′

1, 1. Ὅσοι δὲ μετὰ τὴν Ἰωταπάτων ἅλωσιν Γαλιλαῖοι 1
Ῥωμαίων ἀφεστήκεσαν, οὗτοι τῶν ἐν Ταριχαίαις ἡττηθέν-
των προσεχώρουν, καὶ παρέλαβον πάντα Ῥωμαῖοι τὰ φρούρια
καὶ τὰς πόλεις πλὴν Γισχάλων καὶ τῶν τὸ Ἰταβύριον ὄρος
5 κατειληφότων. συνέστη δὲ τούτοις καὶ Γάμαλα πόλις Ταρι- 2
χαιῶν ἄντικρυς ὑπὲρ τὴν λίμνην κειμένη. τῆς δ' Ἀγρίππα
λήξεως αὕτη τε ἦν καὶ Σωγάνη καὶ Σελεύκεια, καὶ αἱ μὲν
ἐκ τῆς Γαυλανίτιδος ἀμφότεραι· τοῦ γὰρ ἄνω καλουμένου
Γαυλανᾶ μέρος ἦν ἡ Σωγάνη, τοῦ κάτω δ' ἡ Γάμαλα· Σε- 3
10 λεύκεια δὲ πρὸς τῇ Σεμεχωνιτῶν λίμνῃ. ταύτῃ τριάκοντα
μὲν εὖρος, ἑξήκοντα δὲ μῆκος στάδιοι· διατείνει δ' αὐτῆς
τὰ ἕλη μέχρι Δάφνης χωρίου τά τε ἄλλα τρυφεροῦ καὶ
πηγὰς ἔχοντος, αἳ τρέφουσαι τὸν μικρὸν καλούμενον Ἰόρ-
δανον ὑπὸ τὸν τῆς χρυσῆς βοὸς νεὼν προπέμπουσι τῷ με-
15 γάλῳ. τοὺς μὲν οὖν ἐπὶ Σωγάνης καὶ Σελευκείας ὑπὸ τὴν 4
ἀρχὴν τῆς ἀποστάσεως δεξιαῖς Ἀγρίππας προσηγάγετο,
Γάμαλα δ' οὐ προσεχώρει πεποιθυῖα τῇ δυσχωρίᾳ πλέον

Titulus: φλαυίου ἰωσήπου ἑβραίου περὶ ἁλωσεως βιβλιον δ̄ P φλαυίου ἰωσήπου περὶ ἁλώσεως ἰουδαϊκῆς ἱστορίας βιβλίον δ̄ A φλαυίου ἰωσήπου ἑβραίου ἰουδαϊκῆς ἱστορίας περὶ ἁλώσεως. λόγος τέταυτος M τοῦ αὐτοῦ βιβλίον δ′ L ἰωσήπου περὶ ἁλώσεως λόγος δ̄ (τέταρτος R) VR φλαυουίου ἰωσήπου ἰουδαϊκῆς ἱστορίας περὶ ἁλώσεως λόγος δ C
1, 5. κατειληφότων: κατοικούντων L 9. μέρος: μέρους LV | δ': δὲ VRC δ' ὑπῆρχεν L 13-4. Ἰόρδανον: ἰορδάνην MLVRC 14. νεὼν: νεὼ PAL | προπέμπουσι: προσπέμπουσι MVR 15. Σωγάνης καὶ Σελευκείας Niese σωγάνην (σώτανιν PAL Lat Heg) καὶ σελεύκειαν codd. | ὑπό: ἐπὶ PA παρὰ MVRC

LIBRO QUARTO

1, 1. I Galilei che ancora restavano ribelli ai romani dopo 1
l'espugnazione di Iotapata, a seguito della disfatta di quelli di Tarichee fecero tutti atto di sottomissione, e i romani presero possesso di tutte le fortezze e le città tranne Giscala e le forze che avevano occupato il monte Tabor. Con costoro 2
era anche la città di Gamala[1], situata dirimpetto a Tarichee dall'altra parte del lago. Essa rientrava nel territorio assegnato ad Agrippa, al pari di Sogane e di Seleucia[2], entrambe città della Gaulanitide; Sogane apparteneva al Gaulan detto superiore, Gamala all'inferiore, mentre Seleucia era sita presso il lago Semeconitide[3]. Questo ha una larghezza di trenta stadi 3
e una lunghezza di sessanta, ma i suoi acquitrini arrivano fino a Dafne[4], una località amena per vari rispetti e ricca di sorgenti, che alimentano il cosiddetto piccolo Giordano ai piedi del tempio del vitello d'oro e lo portano a sboccare nel grande Giordano. Quelli di Sogane e di Seleucia Agrippa 4
li aveva convinti a venire a patti fin dal principio della rivolta, mentre Gamala non si era sottomessa confidando ancor piú

τῶν Ἰωταπάτων. τραχὺς γὰρ αὐχὴν ἀφ' ὑψηλοῦ κατατείνων ὄρους μέσον ἐπαίρει τένοντα, μηκύνεται δ' ἐκ τῆς ὑπεροχῆς εἰς τοὔμπροσθεν ἐκκλίνων ὅσον κατόπιν, ὡς εἰκάζεσθαι καμήλῳ τὸ σχῆμα, παρ' ἣν ὠνόμασται, τὸ τρανὸν τῆς κλήσεως οὐκ ἐξακριβούντων τῶν ἐπιχωρίων. κατὰ πλευρὰ μὲν δὴ καὶ πρόσωπον εἰς φάραγγας ἀβάτους περισχίζεται, τὸ κατ' οὐρὰν δ' ὀλίγον ἀναφεύγει τὰς δυσχωρίας, ὅθεν ἀπήρτηται τοῦ ὄρους· καὶ τοῦτο δ' ἐπικαρσίᾳ παρακόψαντες τάφρῳ δύσβατον οἱ ἐπιχώριοι κατεσκεύασαν. πρὸς ὀρθίῳ δὲ τῇ λαγόνι δεδομημέναι πεπύκνωντο δεινῶς ἐπ' ἀλλήλαις αἱ οἰκίαι, κρημνιζομένῃ τε ἡ πόλις ἐοικυῖα κατέτρεχεν εἰς ἑαυτὴν ἀπὸ τῆς ὀξύτητος. καὶ πρὸς μεσημβρίαν μὲν ἔκλινεν, ὁ νότιος δ' αὐτῆς ὄχθος εἰς ἄπειρον ὕψος ἀνατείνων ἄκρα τῆς πόλεως ἦν, ἀτείχιστος ὁ δὲ ὑπ' αὐτῆς κρημνὸς εἰς τὴν βαθυτάτην κατατείνων φάραγγα· πηγὴ δ' ἐντὸς τοῦ τείχους, ἐφ' ἣν τὸ ἄστυ κατέληγεν.

1, 2. οὕτως οὖσαν φύσει δυσμήχανον τὴν πόλιν τειχίζων ὁ Ἰώσηπος ἐποίησεν ὀχυρωτέραν ὑπονόμοις τε καὶ διώρυξιν. οἱ δ' ἐν αὐτῇ φύσει μὲν τοῦ χωρίου θαρραλεώτεροι τῶν κατὰ τὴν Ἰωταπάτην ἦσαν, πολὺ δ' ἐλάττους μάχιμοι, καὶ τῷ τόπῳ πεποιθότες οὐδὲ πλείονας ὑπελάμβανον· πεπλήρωτο γὰρ ἡ πόλις διὰ τὴν ὀχυρότητα συμφυγόντων· παρὸ καὶ τοῖς ὑπ' Ἀγρίππα προπεμφθεῖσιν ἐπὶ τὴν πολιορκίαν ἀντεῖχεν ἐπὶ μῆνας ἑπτά.

1, 3. Οὐεσπασιανὸς δ' ἄρας ἀπὸ τῆς Ἀμμαθοῦς, ἔνθα πρὸ τῆς Τιβεριάδος ἐστρατοπεδεύκει (μεθερμηνευομένη δ' Ἀμμαθοῦς θερμὰ λέγοιτ' ἄν, ἔστι γὰρ ἐν αὐτῇ πηγὴ θερμῶν ὑδάτων πρὸς ἄκεσιν ἐπιτηδείων), ἀφικνεῖται πρὸς τὴν

22. πλευρὰ: πλευρὰν PMLVRC 24. τὰς Niese τῆς codd. 27. πεπύκνωντο: πεπύκνωνται LVR[2]C πεπύκνωται R[1] 28. κατέτρεχεν: κατατρέχει MVRC 31. ὁ: om. MVRC | ὑπ' Niese ὑπὲρ codd. | αὐτῆς: αὐτὴν L 34. δυσμήχανον: δύσμαχον C *paene inexpugnabilem* Lat 35. τε: δὲ VRC 39. συμφυγόντων: συμφευγόντων VRC 42. Ἀμμαθοῦς: ἀμμαοῦς AMVRC ἐμμαοῦς P *amathunte* Lat 44. Ἀμμαθοῦς: ἀμμαοῦς PAMVRC 45. ἐπιτηδείων: ἐπιτήδειος (ἐπητ- C) VRC Lat | ἀφικνεῖται: ἥτις ἀφικνεῖται VRC

di Iotapata nelle sue difese naturali. Da un'alta montagna si protende infatti uno sperone dirupato il quale nel mezzo s'innalza in una gobba che dalla sommità declina con uguale pendio sia davanti sia di dietro, tanto da rassomigliare al profilo di un cammello; da questo trae il nome, anche se i paesani non rispettano l'esatta pronuncia del nome[5]. Sui fianchi e di fronte termina in burroni impraticabili mentre è un po' accessibile di dietro, dove è come appesa alla montagna; ma anche qui gli abitanti, scavando una fossa trasversale, avevano sbarrato il passaggio. Le case costruite sui ripidi pendii erano fittamente disposte l'una sopra l'altra: sembrava che la città fosse appesa e sempre sul punto di cadere dall'alto su sé stessa. Affacciava a mezzogiorno, e la sua sommità meridionale, elevandosi a smisurata altezza, formava la rocca della città, sotto cui un dirupo privo di mura piombava in un profondissimo burrone; dentro le mura v'era una fonte e ivi la città terminava.

1, 2. La città, che per le sue difese naturali era cosí imprendibile, Giuseppe l'aveva cinta di mura e rafforzata con gallerie e trincee[6]. Gli abitanti, grazie alla conformazione dei luoghi, erano piú baldanzosi di quelli di Iotapata, ma di gran lunga meno numerosi risultavano gli uomini atti alle armi, e dal di fuori non ne avevano accolti di piú appunto perché confidavano nelle difese naturali; infatti per la sua forte posizione la città si era riempita di rifugiati e cosí per sette mesi aveva resistito alle truppe precedentemente inviate da Agrippa ad assediarla[7].

1, 3. Vespasiano si mise in marcia da Ammathus[8], dove s'era accampato di fronte a Tiberiade (Ammathus si potrebbe tradurre col nome di Terme, perché v'è una sorgente di acque

Γάμαλαν. καὶ πᾶσαν μὲν κυκλώσασθαι φυλακῇ τὴν πόλιν 12
οὐχ οἷός τε ἦν οὕτως διακειμένην, πρὸς δὲ τοῖς δυνατοῖς
φρουροὺς καθίστησι καὶ τὸ ὑπερκείμενον ὄρος καταλαμ-
βάνεται. τειχισαμένων δὲ ὥσπερ ἔθος τῶν ταγμάτων ὑπὲρ 13
50 αὐτοῦ στρατόπεδα χωμάτων ἤρχετο κατ' οὐράν, καὶ τὸ
μὲν κατ' ἀνατολὰς αὐτῷ μέρος, ᾗπερ ὁ ἀνωτάτω τῆς πό-
λεως πύργος ἦν, ἔχου τὸ πέμπτον καὶ δέκατον τάγμα,
τὸ πέμπτον δὲ τὰ κατὰ μέσην ἐξειργάζετο τὴν πόλιν, τὰς
δὲ διώρυγας ἀνεπλήρου καὶ τὰς φάραγγας τὸ δέκατον.
55 κἀν τούτῳ προσελθόντα τοῖς τείχεσιν Ἀγρίππαν τὸν βασιλέα 14
καὶ περὶ παραδόσεως τοῖς ἐφεστῶσι πειρώμενον διαλέγεσθαι
βάλλει τις τῶν σφενδονητῶν κατὰ τὸν δεξιὸν ἀγκῶνα
λίθῳ. καὶ ὁ μὲν ὑπὸ τῶν οἰκείων θᾶττον περιεσχέθη, Ῥω- 15
μαίους δ' ἐπήγειρεν εἰς τὴν πολιορκίαν ὀργή τε περὶ τοῦ
60 βασιλέως καὶ περὶ σφῶν αὐτῶν δέος· οὐ γὰρ ἀπολείψειν 16
ὠμότητος ὑπερβολὴν κατ' ἀλλοφύλων καὶ πολεμίων τοὺς
πρὸς ὁμόφυλον καὶ τῶν συμφερόντνων αὐτοῖς σύμβουλον
οὕτως ἀγριωθέντας.

1, 4. συντελεσθέντων οὖν τῶν χωμάτων θᾶττον πλήθει 17
65 χειρῶν καὶ τῶν πραττομένων ἔθει προσῆγον τὰς μηχανάς.
οἱ δὲ περὶ τὸν Χάρητα καὶ Ἰώσηπον, οὗτοι γὰρ ἦσαν τῶν 18
κατὰ τὴν πόλιν δυνατώτατοι, καίπερ καταπεπληγότας τοὺς
ὁπλίτας τάττουσιν, ἐπειδὴ μέχρι πολλοῦ πρὸς τὴν πολι-
ορκίαν ἀνθέξειν οὐχ ὑπελάμβανον, ὕδατι καὶ τοῖς ἄλλοις
70 ἐπιτηδείοις μὴ διαρκούμενοι. παρακροτήσαντες δ' ὅμως 19
ἐξήγαγον ἐπὶ τὸ τεῖχος, καὶ πρὸς ὀλίγον μὲν ἀπημύναντο
τοὺς προσάγοντας τὰς μηχανάς, βαλλόμενοι δὲ τοῖς κατα-
πελτικοῖς καὶ τοῖς πετροβόλοις ἀνεχώρουν εἰς τὴν πόλιν.
καὶ προσαγαγόντες οἱ Ῥωμαῖοι τριχόθεν τοὺς κριοὺς δια- 20
75 σείουσι μὲν τὸ τεῖχος, ὑπὲρ δὲ τῶν ἐρειφθέντων εἰσχεό-

47. οἷός: οἷόν VRC 48. καθίστησι: καθίστη AMLP^{2}V^{2}C^2 καθίστει V^{1}R 52. ἔχου Destinon ἐφ'οὗ codd. 53. τὰ ins. Niese 66. Ἰώσηπον: Ἰώσην L^1 cfr. l. 223 68. ἐπειδὴ: ἐπεὶ δὲ PAML 74. προσαγαγόντες: προσάγοντες PALVRC 75. ἐρειφθέντων: ἐρριφθέντων PL ῥιφθέντων VR ῥιφέντων C

termali curative), e giunse a Gamala. Non essendo in grado di 12
stabilire il blocco intorno all'intera città, data la conformazione
del terreno, collocò dei posti di controllo nei luoghi pratica-
bili e occupò il monte sovrastante la città. Dopo che le le- 13
gioni vi ebbero impiantato e fortificato come di consueto i
loro accampamenti, Vespasiano cominciò a innalzare terra-
pieni alle spalle della città, e quello nella parte orientale, ove
sorgeva la torre piú alta della città, prese a colmarlo la legione
decimaquinta, mentre la legione quinta investiva la parte an-
tistante al centro della città e la decima riempiva le trincee
e i burroni. Intanto il re Agrippa si appressò alle mura e cercò 14
d'intavolare trattative di resa con i difensori, ma venne ferito
da un fromboliere che lo colpí con una pietra al gomito de-
stro. Il re venne subito circondato dai suoi mentre i romani 15
si sentirono spronati alle operazioni d'assedio sia dallo sdegno
per ciò che era toccato al re, sia dal timore per sé stessi; pen- 16
savano infatti che non avrebbe indietreggiato dinanzi ad al-
cun eccesso di crudeltà verso stranieri e nemici chi era cosí
inferocito contro un connazionale, che per di piú lo consi-
gliava per il suo bene.

1, 4. Innalzati in breve tempo i terrapieni per il gran nu- 17
mero delle braccia e per la pratica in tali lavori, i romani ac-
costarono le macchine. Gli aiutanti di Carete e di Giuseppe 18
– erano questi due a comandare nella città – ordinarono a
battaglia gli uomini, sebbene costoro fossero impauriti pen-
sando di non poter resistere a lungo all'assedio per l'insuf-
ficienza dell'acqua e delle altre provviste. Incoraggiatili, li 19
condussero tuttavia sulle mura, ed essi per un poco respinsero
quelli che appressavano le macchine, ma poi colpiti dalle ca-
tapulte e dalle baliste si ritirarono all'interno della città. Allora 20
i romani, avvicinati in tre punti gli arieti, sconquassarono il
muro e riversandosi attraverso le brecce con grandi squilli di

www.scribd.com/Cultura_in_Ita5

μενοι μετὰ πολλοῦ σαλπίγγων ἤχου καὶ κτύπου τῶν ὅπλων
αὐτοί τ' ἐπαλαλάζοντες συνερρήγνυντο τοῖς κατὰ τὴν πόλιν.
οἱ δὲ τέως μὲν κατὰ τὰς πρώτας εἰσόδους ἐνιστάμενοι 21
προσωτέρω χωρεῖν ἐκώλυον καὶ καρτερῶς τοὺς Ῥωμαίους
80 ἀνεῖργον· βιαζόμενοι δὲ ὑπὸ πολλῶν καὶ πάντοθεν τρέπονται 22
πρὸς τὰ ὑψηλὰ τῆς πόλεως καὶ προσκειμένοις τοῖς πολεμίοις
ἐξ ὑποστροφῆς ἐπιπεσόντες συνώθουν εἰς τὸ κάταντες καὶ
τῇ στενότητι καὶ δυσχωρίᾳ θλιβομένους ἀνῄρουν. οἱ δὲ 23
μήτε τοὺς κατὰ κορυφὴν ἀμύνασθαι δυνάμενοι μήτε διεκ-
85 παίειν τῶν σφετέρων πρόσω βιαζομένων ἐπὶ τὰς οἰκίας
τῶν πολεμίων, πρόσγειοι γὰρ ἦσαν, ἀνέφευγον. αἱ δὲ τα- 24
χέως κατηρείποντο πληρούμεναι καὶ τὸ βάρος μὴ στέγουσαι,
κατέσειε δὲ πολλὰς μία τῶν ὑπ' αὐτῆς πεσοῦσα καὶ πάλιν
ἐκεῖναι τὰς ὑπ' αὐτάς. τοῦτο πλείστους διέφθειρε τῶν 25
90 Ῥωμαίων· ὑπὸ γὰρ ἀμηχανίας καίτοι συνιζανούσας ὁρῶντες
ἐπεπήδων ταῖς στέγαις, καὶ πολλοὶ μὲν κατεχώννυντο τοῖς
ἐρειπίοις, πολλοὶ δ' ὑποφεύγοντες μέρη τοῦ σώματος κατε-
λαμβάνοντο, πλείστους δ' ὁ κονιορτὸς ἄγχων ἀνῄρει. συν- 26
εργίαν θεοῦ τοῦτο Γαμαλεῖς ὑπελάμβανον καὶ τῆς κατὰ
95 σφᾶς ἀμελοῦντες βλάβης ἐπέκειντο, πρός τε τὰ τέγη τοὺς
πολεμίους ἀνωθοῦντες καί τοι κατολισθάνοντας ἐν ὀξέσι
τοῖς στενωποῖς καὶ ἀεὶ τοὺς πίπτοντας ὕπερθεν βάλλοντες
ἔκτεινον. καὶ τὰ μὲν ἐρείπια χερμάδων πλέα ἦν αὐτοῖς, 27
σίδηρον δὲ παρεῖχον οἱ τῶν πολεμίων νεκροί· παρασπῶντες
100 γὰρ τὰ τῶν πεσόντων ξίφη κατὰ τῶν δυσθανατώντων
ἐχρῶντο. πολλοὶ δ' ἀπὸ πιπτόντων ἤδη τῶν δωμάτων σφᾶς 28
αὐτοὺς βάλλοντες ἔθνησκον. ἦν δ' οὐδὲ τραπέντων ἡ φυγὴ 29

77. ἐπαλαλάζοντες: ἐπαλαλάξοντες R ἐπαλαλάξαντες A fortasse recte 80. δὲ: in marg. PA τε PAMLVRC | τρέπονται: in marg. PA τρεπόντων PAMLVRC 81. καὶ: in marg. PA om. PAMLVRC 88. αὐτῆς: αὐτὴν ML[2]C αὐτοῖς L[1] 95. τέγη: στέγη PAM 96. καί τοι locus corruptus, nonnulla excidisse videntur | κατολισθάνοντας: κατολισθαίνοντας PMLV[2] 98. πλέα ἦν: πλῆθος L Lat 100. δυσθανατώντων: δυσθανατούντων PA δυσθανάτων VR 101. ἀπὸ πιπτόντων Herwerden ἀποπιπτόντων PAL ἀποπίπτοντες MVRC

trombe e frastuono d'armi mescolati al loro grido di guerra piombarono sui difensori della città. Questi per un certo 21 tempo contennero le prime ondate, impedendo loro di avanzare, e valorosamente resistettero ai romani; poi, cedendo agli 22 avversari che erano piú numerosi e sbucavano da ogni parte, si ritirarono verso la parte alta della città. A un certo punto, mentre i nemici li incalzavano, essi si rivoltarono e piombarono loro addosso sospingendoli verso il basso e, strettili in spazi angusti e malagevoli, ne fecero strage. I romani, non 23 potendo resistere alla spinta dei nemici che li pressavano dall'alto né aprirsi un varco tra i commilitoni che premevano dal basso, si disimpegnarono saltando sui tetti delle case dei nemici che erano a livello delle strade[9]. Ma ben presto, essen- 24 dosi riempite e non sopportando il peso, le case cominciarono a crollare, e una sola cadendo provocava la rovina di molte di quelle sottostanti, e cosí queste alla lor volta ne facevano cadere altre. Ciò causò gravi perdite fra i romani i quali, pur 25 vedendo che le case crollavano, continuavano a saltarvi su non avendo altra via d'uscita; molti restarono sepolti dalle rovine, molti pur salvando la vita perdettero qualche parte del corpo, moltissimi infine ne uccise il polverone soffocandoli. Quelli di Gamala videro in ciò l'aiuto di dio e insistettero nel- 26 l'attacco senza badare alle loro perdite, costringendo i nemici che sdrucciolavano per le ripide viuzze a saltare sui tetti, e continuando a uccidere con i loro colpi dall'alto tutti quelli che cadevano. Le macerie fornivano loro gran quantità di 27 pietre e le armi le offrivano i cadaveri dei nemici; infatti strappavano le spade ai caduti e le usavano per finire i feriti. Molti 28 romani poi trovarono la morte gettandosi giú dalle case che stavano per crollare. Anche per quelli che riuscirono a fuggire 29

ῥᾴδιος· κατὰ γὰρ ἄγνοιαν τῶν ὁδῶν καὶ παχύτητα τοῦ κονιορτοῦ μηδὲ ἀλλήλους ἐπιγινώσκοντες ἀνειλοῦντο καὶ περὶ σφᾶς ἔπιπτον.

1, 5. οἱ μὲν οὖν μόλις εὑρίσκοντες τὰς ἐξόδους ἀνεχώρησαν ἐκ τῆς πόλεως· Οὐεσπασιανὸς δ' ἀεὶ προσμένων τοῖς πονουμένοις, δεινὸν γάρ τι πάθος αὐτὸν εἰσῄει κατερειπομένην ὁρῶντα περὶ τῷ στρατῷ τὴν πόλιν, ἐν λήθῃ τοῦ καθ' αὑτὸν ἀσφαλοῦς γενόμενος λανθάνει κατὰ μικρὸν ἀνωτάτω τῆς πόλεως προελθών, ἔνθα μέσοις ἐγκαταλείπεται τοῖς κινδύνοις μετ' ὀλίγων παντελῶς· οὐδὲ γὰρ ὁ παῖς αὐτῷ Τίτος τότε συμπαρῆν, τηνικαῦτα πρὸς Μουκιανὸν εἰς Συρίαν ἀπεσταλμένος. τραπῆναι μὲν οὖν οὐκέτ' ἀσφαλὲς οὔτε πρέπον ἡγήσατο, μνησθεὶς δὲ τῶν ἀπὸ νεότητος αὐτῷ πεπονημένων καὶ τῆς ἰδίας ἀρετῆς, ὥσπερ ἔνθους γενόμενος, συνασπίζει μὲν τοὺς ἅμ' αὐτῷ τά τε σώματα καὶ τὰς πανοπλίας, ἐνυφίσταται δὲ κατὰ κορυφὴν ἐπιρρέοντα τὸν πόλεμον καὶ οὔτε ἀνδρῶν πλῆθος οὔτε βελῶν ὑποπτήξας ἐπέμενε, μέχρι δαιμόνιον τὸ παράστημα τῆς ψυχῆς συννοήσαντες οἱ πολέμιοι ταῖς ὁρμαῖς ἐνέδοσαν. ἀτονώτερον δὲ προσκειμένων αὐτὸς ὑπὸ πόδα ἀνεχώρει, νῶτα μὴ δεικνὺς ἕως ἔξω τοῦ τείχους ἐγένετο. πλεῖστοι μὲν οὖν Ῥωμαίων κατὰ ταύτην ἔπεσον τὴν μάχην, ἐν οἷς ὁ δεκαδάρχης Αἰβούτιος, ἀνὴρ οὐ μόνον ἐφ' ἧς ἔπεσε παρατάξεως, ἀλλὰ πανταχοῦ καὶ πρότερον γενναιότατος φανεὶς καὶ πλεῖστα κακὰ Ἰουδαίους ἐργασάμενος. ἑκατοντάρχης δέ τις, Γάλλος ὀνόματι, μετὰ στρατιωτῶν δέκα περισχεθεὶς ἐν τῇ ταραχῇ κατέδυ μὲν εἴς τινος οἰκίαν, τῶν δ' ἐν αὐτῇ διαλαλούντων παρὰ δεῖπνον ὅσα κατὰ τῶν Ῥωμαίων ἢ περὶ σφῶν ὁ δῆμος ἐβουλεύετο καταχροασά-

108-9. κατερειπομένην: κατερειπωμένην L κατηρειπωμένην MC κατεριπομένην R καταρριπτομένην PA 109. ὁρῶντα: ὁρῶντι PAMLVR 111. προελθών: προσελθὼν PA 113. αὐτῷ: αὐτοῦ PAM 114. οὐκέτ': οὔτε MVRC 118. ἐνυφίσταται: ὑφίσταται P 121. ταῖς ὁρμαῖς: τὰς ὁρμὰς LVRC 125. Αἰβούτιος Destinon ἐβούτιος PALVRC εὐβούτιος M Lat *butius* Heg 127. Ἰουδαίους: Ἰουδαίοις MLVRC

non fu una cosa facile la fuga; infatti per l'ignoranza delle strade e per il denso polverone non si riconoscevano fra loro e nella confusione si ammazzavano l'un l'altro.

1, 5. Costoro dunque solo con difficoltà riuscirono a trovare le vie d'uscita e si ritirarono dalla città. Intanto Vespasiano, che era sempre stato vicino ai suoi uomini in difficoltà, vinto da una gran pena nel vedere la città rovinare addosso all'esercito, noncurante della sua sicurezza si era inavvertitamente spinto un po' alla volta sino al punto piú alto della città, dove si trovò isolato al centro dei pericoli con solo pochissimi al suo fianco; non stava allora con lui nemmeno suo figlio Tito, essendo stato inviato in Siria da Muciano[10]. Il generale non stimò né sicuro né decoroso volgere le terga, ma ricordandosi delle prove difficili da lui superate fin da giovane e del proprio valore, come per una divina ispirazione fece congiungere gli scudi dei suoi compagni a protezione dei loro corpi e delle armature e affrontò la marea di colpi che si riversavano dall'alto: non cedette né alla massa degli uomini né dei proiettili finché i nemici, impressionati da un tal coraggio sovrannaturale, rallentarono gli assalti. Allora, mentre quelli incalzavano con minor slancio, egli si ritirò a passo a passo senza mostrare le spalle prima di essere fuori del muro. In questo scontro caddero moltissimi romani, fra cui il decurione Ebuzio, che si era distinto per il suo grandissimo valore non solo nell'azione in cui perse la vita, ma anche prima in ogni occasione, e che aveva inflitto gravissime perdite ai giudei[11]. Un centurione di nome Gallo, rimasto tagliato fuori insieme con dieci uomini nella confusione della mischia, si era nascosto in una casa e qui aveva sentito – essendo un Siro come i suoi – i discorsi fatti a tavola dagli abitanti circa

www.scribd.com/Cultura_in_Ita5

μενος, ἣν δ' αὐτός τε καὶ οἱ σὺν αὐτῷ Σύροι, νύκτωρ ἐπανίσταται καὶ πάντας ἀποσφάξας μετὰ τῶν στρατιωτῶν εἰς τοὺς Ῥωμαίους διασώζεται.

135 **1**, 6. Οὐεσπασιανὸς δ' ἀθυμοῦσαν τὴν στρατιὰν ἀγνοίᾳ 39 πταισμάτων καὶ διότι τέως οὐδαμοῦ τηλικαύτῃ συμφορᾷ κέχρηντο, τό γε μὴν πλέον αἰδουμένους ἐπὶ τῷ τὸν στρατηγὸν μόνον τοῖς κινδύνοις ἐγκαταλιπεῖν, παρεμυθεῖτο, περὶ 40 μὲν τοῦ καθ' αὐτὸν ὑποστελλόμενος, ὡς μηδὲ τὴν ἀρχὴν 140 μέμφεσθαι δοκοίη, δεῖν δὲ τὰ κοινὰ λέγων ἀνδρείως φέρειν, τὴν τοῦ πολέμου φύσιν ἐννοοῦντας, ὡς οὐδαμοῦ τὸ νικᾶν ἀναιμωτὶ περιγίνεται, παλίμπους δ' ἡ τύχη παρίσταται. τοσαύτας μέντοι μυριάδας Ἰουδαίων ἀνελόντας αὐτοὺς ὀλίγην 41 τῷ δαίμονι δεδωκέναι συμβολήν. εἶναι δ' ὥσπερ ἀπειρο- 42 145 κάλων τὸ λίαν ἐπαίρεσθαι ταῖς εὐπραγίαις, οὕτως ἀνάνδρων τὸ καταπτήσσειν ἐν τοῖς πταίσμασιν· «ὀξεῖα γὰρ ἐν ἀμφοτέροις ἡ μεταβολή, κἀκεῖνος ἄριστος ὁ κἀν τοῖς εὐτυχήμασιν νήφων, ἵνα μένῃ καὶ δι' εὐθυμίας ἀναπαλαίων τὰ σφάλματα. τὰ μέντοι συμβεβηκότα νῦν οὔτε μαλακι- 43 150 σθέντων ἡμῶν οὔτε παρὰ τὴν τῶν Ἰουδαίων ἀρετὴν γέγονεν, ἀλλὰ κἀκείνοις τοῦ πλεονεκτῆσαι καὶ τοῦ διαμαρτεῖν ἡμῖν αἴτιον ἡ δυσχωρία. καθ' ἣν ἄν τις ὑμῶν μέμψαιτο τῆς 44 ὁρμῆς τὸ ἀταμίευτον· ἀναφυγόντων γὰρ ἐπὶ τὰ ὑψηλὰ τῶν πολεμίων αὐτοὺς ὑποστέλλειν ἐχρῆν, καὶ μὴ κατὰ κορυφὴν 155 ἱσταμένοις τοῖς κινδύνοις ἕπεσθαι, κρατοῦντας δὲ τῆς κάτω πόλεως κατ' ὀλίγον προκαλεῖσθαι τοὺς ἀναφεύγοντας εἰς ἀσφαλῆ καὶ ἑδραίαν μάχην. νυνὶ δὲ ἀκρατῶς ἐπὶ τὴν νίκην ἐπειγόμενοι τῆς ἀσφαλείας ἠμελήσατε. τὸ δ' ἀπερίσκεπτον 45 ἐν πολέμῳ καὶ τῆς ὁρμῆς μανιῶδες οὐ πρὸς Ῥωμαίων, 160 οἳ πάντα ἐμπειρίᾳ καὶ τάξει κατορθοῦμεν, ἀλλὰ βαρβαρικόν,

135. τὴν: τε τὴν PAMRC | ἀγνοίᾳ Destinon ἀνοίᾳ codd. 137. κέχρηντο: ἐκεέχρηντο PAML 142. παλίμπους δ' ἡ τύχη παρίσταται Niese ex L[1] δαπανᾷ δ' ἡ τύχη τι καὶ παρίσταται PAM[1] ἡ γὰρ παλίμπους τύχη περιίσταται VRCM[2] 150. ἡμῶν: ὑμῶν PAMVRC 152. ἄν: ἄγαν PAMVRC 154. αὐτοὺς: αὑτοὺς AL ἑαυτοὺς MVRC

i piani stabiliti per l'attacco contro i romani e per la loro difesa; durante la notte saltò su, uccise tutti e insieme coi suoi soldati rientrò fra i romani.

1, 6. Vespasiano, vedendo l'esercito demoralizzato perché 39 non avvezzo alle sconfitte e perché fino a quel momento non aveva mai subito un tale disastro, e per di piú divorato dalla vergogna di aver abbandonato il comandante solo in mezzo ai pericoli, si diede a rianimarlo. Facendo finta di niente per 40 ciò che riguardava la sua persona, per evitare la piú piccola impressione di un rimprovero, disse che bisognava sopportare coraggiosamente una disfatta che toccava tutti quanti, riflettendo sulla natura della guerra: come non si raggiunge mai la vittoria senza perdite e com'è incerta la mutevole fortuna. Perciò, dopo aver sterminato una miriade di giudei, 41 anch'essi avevano pagato un piccolo scotto alla dea. Ma, 42 com'era da uomini dappoco esaltarsi troppo ai successi, cosí era da vili abbattersi negli insuccessi. « Nell'un caso e nell'altro le situazioni mutano rapidamente, e il piú forte è chi pur nella prospera fortuna si conserva moderato, per restar sereno anche quando dovrà affrontare le avversità. Ciò che ora è 43 capitato non si deve né alla nostra debolezza né al valore dei giudei, perché è stata la difficoltà del terreno che a loro ha fatto avere la meglio e a noi la peggio. Sotto questo rispetto 44 vi si potrebbe rimproverare di non aver frenato il vostro slancio; quando infatti i nemici si ritiravano verso l'alto voi dovevate fermarvi, e non inseguirli esponendovi ai pericoli che impendevano dall'alto; poi, impadronitivi della città bassa, dovevate un po' alla volta provocare i cittadini a una battaglia sicura e su un terreno piú stabile. E invece, anelando sfrenatamente alla vittoria, avete trascurato la vostra sicurezza. Ma il mancare di circospezione in guerra e la cieca furia del- 45 l'assalto non sono difetti di noi romani, che anzi c'imponiamo sempre con la nostra esperienza e la nostra disciplina, ma son

καὶ ᾧ μάλιστα Ἰουδαῖοι κρατοῦνται. χρὴ τοίνυν ἐπὶ τὴν αὐτῶν ἀρετὴν ἀναδραμεῖν καὶ θυμοῦσθαι μᾶλλον ἢ προσαθυμεῖν τῷ παρ' ἀξίαν πταίσματι. τὴν δ' ἀρίστην ἕκαστος ἐκ τῆς ἰδίας χειρὸς ἐπιζητείτω παραμυθίαν· οὕτω γὰρ τοῖς τε ἀπολωλόσι τιμωρήσεσθε καὶ τοὺς ἀνελόντας ἀμυνεῖσθε. πειράσομαι δ' ἐγώ, καθάπερ νῦν, ἐπὶ πάσης μάχης προάγειν τε ὑμῶν εἰς τοὺς πολεμίους καὶ τελευταῖος ἀποχωρεῖν».

1, 7. ὁ μὲν οὖν τοιαῦτα λέγων τὴν στρατιὰν ἀνελάμβανεν, τοῖς δὲ Γαμαλεῦσιν πρὸς ὀλίγον μὲν θαρρῆσαι τῷ κατορθώματι παρέστη παραλόγως τε συμβάντι καὶ μεγάλως, λογιζόμενοι δ' ὕστερον ἀφῃρῆσθαι σφᾶς αὐτοὺς καὶ δεξιᾶς ἐλπίδας, τό τε μὴ δύνασθαι διαφεύγειν ἐννοοῦντες, ἤδη γὰρ ἐπέλιπε τἀπιτήδεια, δεινῶς ἠθύμουν καὶ ταῖς ψυχαῖς ἀναπεπτώκεσαν. οὐ μὴν εἰς τὸ δυνατὸν ἠμέλουν σωτηρίας, ἀλλὰ καὶ τὰ παραρρηχθέντα τοῦ τείχους οἱ γενναιότατοι καὶ τὰ μένοντα περισχόντες ἐφύλασσον οἱ λοιποί. τῶν δὲ Ῥωμαίων ἐπιρρωννύντων τὰ χώματα καὶ πάλιν πειρωμένων προσβολῆς οἱ πολλοὶ διεδίδρασκον ἐκ τῆς πόλεως κατά τε δυσβάτων φαράγγων, ᾗπερ οὐκ ἔκειντο φυλακαί, καὶ διὰ τῶν ὑπονόμων. ὅσοι γε μὴν δέει τοῦ ληφθῆναι παρέμενον, ἐν ἐνδείᾳ διεφθείροντο· πανταχόθεν γὰρ τροφὴ τοῖς μάχεσθαι δυναμένοις συνηθροίζετο.

1, 8. καὶ οἱ μὲν ἐν τοιούτοις πάθεσι διεκαρτέρουν, Οὐεσπασιανὸς δὲ πάρεργον ἐποιεῖτο τῆς πολιορκίας τοὺς τὸ Ἰταβύριον κατειληφότας ὄρος, ὅ ἐστι τοῦ μεγάλου πεδίου καὶ Σκυθοπόλεως μέσον· οὗ τὸ μὲν ὕψος ἐπὶ τριάκοντα σταδίους ἀνίσχει, μόλις προσβατὸν κατὰ τὸ προσάρκτιον κλίμα, πεδίον δ' ἐστὶν ἡ κορυφὴ σταδίων ἓξ καὶ εἴκοσι,

162. αὐτῶν: αὐτῶν PAM ἑαυτῶν LVRC 165. τε: om. PAMVRC | τιμωρήσεσθε: τιμωρήσεσθαι PAV¹C¹ 165-6. ἀμυνεῖσθε: ἀμύνεσθαι PA 176. παραρρηχθέντα Herwerden περιρρηχθέντα codd. 178. ἐπιρρωννύντων: ἐπιρωννύντων A ἐπιχωννύντων MVRC 179. προσβολῆς: εἰσβολῆς LVRC 181. τοῦ: τὸ PA¹ 182. διεφθείροντο: ἐφθείροντο PAMVRC

difetti da barbari, a cui i giudei debbono soprattutto le loro sconfitte[12]. Occorre dunque far ritorno alle nostre qualità abituali e trarre motivo di coraggio piú che di avvilimento da quest'immeritata sconfitta. La miglior consolazione ognuno la cerchi nel suo braccio; cosí infatti vendicherete gli uccisi e punirete gli uccisori. Quanto a me, in questa come in ogni altra battaglia, cercherò di essere in prima fila per guidarvi contro il nemico e l'ultimo a ritirarmi. »

1, 7. Con queste parole Vespasiano rincuorò l'esercito. Quelli di Gamala, invece, per un po' presero coraggio dal successo riportato inaspettatamente e in tali proporzioni, ma poi, riflettendo che si erano preclusi ogni speranza di trattare, e considerando che non potevano trovar scampo perché già scarseggiavano i viveri, erano molto avviliti e demoralizzati. Tuttavia non trascuravano di fare quanto potevano per la loro salvezza, e i piú valorosi stavano a guardia delle brecce mentre gli altri vigilavano sulle parti del muro rimaste in piedi. Ma quando i romani rafforzarono i terrapieni e tentarono un nuovo assalto, i piú fuggirono dalla città attraverso i burroni impraticabili, ove non c'erano sentinelle, e attraverso i passaggi sotterranei. Tutti quelli che erano rimasti per paura di essere catturati morivano di fame; infatti i viveri erano stati requisiti da ogni parte soltanto per coloro che erano in grado di combattere.

1, 8. Mentre quelli continuavano la resistenza in tali disperate condizioni, Vespasiano oltre che dell'assedio pensò di occuparsi anche delle forze che tenevano il monte Tabor[13]. Questo sta a mezza strada fra la Grande Pianura[14] e Scitopoli, s'innalza a un'altezza di trenta stadi ed è difficilmente accessibile sul versante settentrionale; sulla sommità v'è una distesa pianeggiante della lunghezza di ventisei stadi, interamente

190 πᾶν τετειχισμένον. ἤγειρε δὲ τοσοῦτον ὄντα τὸν περίβολον 56
ὁ Ἰώσηπος ἐν τεσσαράκοντα ἡμέραις τῇ τε ἄλλῃ χορηγούμενος ὕλῃ κάτωθεν καὶ ὕδατι· καὶ γὰρ τοῖς ἐποίκοις
μόνον ἦν ὄμβριον. πολλοῦ οὖν πλήθους ἐπὶ τούτου συνειλεγ- 57
μένου Οὐεσπασιανὸς Πλάκιδον σὺν ἱππεῦσιν ἑξακοσίοις
195 πέμπει. τούτῳ τὸ μὲν προσβαίνειν ἀμήχανον ἦν, ἐλπίδι 58
δὲ δεξιῶν καὶ παρακλήσει πρὸς εἰρήνην τοὺς πολλοὺς
προεκαλεῖτο. κατῄεσαν δὲ ἀντεπιβουλεύοντες· ὅ τε γὰρ 59
Πλάκιδος ὡμίλει πρᾳότερον σπουδάζων αὐτοὺς ἐν τῷ πεδίῳ
λαβεῖν, κἀκεῖνοι κατῄεσαν ὡς πειθόμενοι δῆθεν, ἵν' ἀφυ-
200 λάκτῳ προσπέσωσιν. ἐνίκα μέντοι τὸ Πλακίδου πανοῦρ- 60
γον· ἀρξαμένων γὰρ τῶν Ἰουδαίων μάχης φυγὴν ὑποκρίνεται καὶ διώκοντας ἑλκύσας ἐπὶ πολὺ τοῦ πεδίου τοὺς
ἱππεῖς ἐπιστρέφει, τρεψάμενος δὲ πλείστους μὲν αὐτῶν ἀναιρεῖ, τὸ δὲ λοιπὸν πλῆθος ὑποτεμόμενος εἴργει τῆς ἀνόδου.
205 καὶ οἱ μὲν τὸ Ἰταβύριον καταλιπόντες ἐπὶ Ἱεροσολύμων 61
ἔφευγον, οἱ δ' ἐπιχώριοι πίστεις λαβόντες, ἐπιλελοίπει δ'
αὐτοὺς ὕδωρ, τό τε ὄρος καὶ σφᾶς αὐτοὺς Πλακίδῳ παρέδοσαν.

1, 9. τῶν δ' ἐπὶ τῆς Γαμάλας οἱ παραβολώτεροι μὲν 62
210 φεύγοντες διελάνθανον, οἱ δ' ἀσθενεῖς διεφθείροντο λιμῷ·
τὸ μάχιμον δ' ἀντεῖχεν τῇ πολιορκίᾳ, μέχρι δευτέρᾳ καὶ 63
εἰκάδι μηνὸς Ὑπερβερεταίου τρεῖς τῶν ἀπὸ τοῦ πέμπτου
καὶ δεκάτου τάγματος στρατιῶται περὶ τὴν ἑωθινὴν φυλακὴν ὑποδύντες τὸν προύχοντα κατὰ τούτους πύργον ὑπο-
215 ρύσσουσιν ἡσυχῇ. τοῖς δ' ὑπὲρ αὐτοῦ φύλαξιν οὔτε προ- 64
σιόντων αἴσθησις, νὺξ γὰρ ἦν, οὔτε προσελθόντων ἐγένετο.
οἱ δὲ στρατιῶται φειδόμενοι τοῦ ψόφου καὶ πέντε τοὺς

193. τούτου: τοῦτα P τούτῳ L^{2}RC 196. παρακλήσει: παρακλήσεως PAMVRC
197. προεκαλεῖτο Destinon προσεκαλεῖτο PAMVRC συνεκαλεῖτο L | κατῄεσαν:
κατίεσαν PA (cfr. l. 199) 201. φυγὴν: ἐς φυγὴν PA φυγεῖν C 201-2. ὑποκρίνεται: ὑπεκρίνετο PA 217. οἱ δὲ: ἐλθόντες δὲ οἱ LVRC

circondata da un muro[15]. Una recinzione cosí grande Giuseppe l'aveva fatta costruire in quaranta giorni, rifornendosi dal basso, oltre che di ogni altro materiale, anche di acqua, perché i montanari non disponevano che di acqua piovana. Essendosi dunque radunata su questo monte una grande moltitudine, Vespasiano inviò Placido[16] con seicento cavalieri. Costui, non potendo portarsi in cima, esortava la massa alla pace facendo sperare un accordo ed offrendo di trattare. E quelli scesero, ma con tutt'altre intenzioni: mentre infatti Placido con i suoi pacifici discorsi si proponeva di catturarli nel piano, quelli venivano giú facendo mostra di essersi persuasi, ma in realtà pronti a cogliere i nemici alla sprovvista. Trionfò l'astuzia di Placido; quando infatti i giudei cominciarono l'attacco, egli finse di darsi alla fuga e, dopo esserseli tirati dietro all'inseguimento per un lungo tratto della pianura, diede ordine ai cavalieri di fare dietro front e li sbaragliò; la maggior parte ne uccise, mentre ai superstiti tagliò la strada impedendo che potessero risalire sul monte. Costoro, abbandonato il Tabor, fuggirono verso Gerusalemme, mentre i paesani, ricevute garanzie e spinti dalla mancanza d'acqua, consegnarono a Placido il monte e sé stessi.

1, 9. Intanto a Gamala[17] i piú coraggiosi cercavano scampo nella fuga mentre i piú deboli morivano di fame; i difensori resistettero all'assedio fino a che, il ventiduesimo giorno del mese di Iperbereteo[18], tre soldati della quindicesima legione, verso l'ora del cambio della guardia al mattino[19], strisciarono fino alla torre che si protendeva dalla parte loro e presero tranquillamente a scalzarla. Le sentinelle che ci stavano sopra non si accorsero né del loro avvicinarsi, perché era notte, né del loro arrivo. I legionari, cercando di non far rumore, scal-

κραταιοτάτους ἐκκυλίσαντες λίθους ὑποπηδῶσι. κατερεί- 65
πεται δ' ὁ πύργος ἐξαίφνης μετὰ μεγίστου ψόφου, καὶ
220 συγκατακρημνίζονται μὲν οἱ φύλακες αὐτῷ, θορυβηθέν-
τες δὲ οἱ κατὰ τὰς ἄλλας φυλακὰς ἔφευγον· καὶ πολλοὺς 66
διεκπαίειν τολμῶντας οἱ Ῥωμαῖοι διέφθειραν, ἐν οἷς καὶ
Ἰώσηπόν τις ὑπὲρ τὸ παρερρηγμένον τοῦ τείχους ἐκδι-
δράσκοντα βαλὼν ἀναιρεῖ. τῶν δ' ἀνὰ τὴν πόλιν διασει- 67
225 σθέντων ὑπὸ τοῦ ψόφου διαδρομή τε ἦν καὶ πτόα πολλή,
καθάπερ εἰσπεπαικότων πάντων τῶν πολεμίων. ἔνθα καὶ 68
Χάρης κατακείμενος καὶ νοσηλευόμενος ἐκλείπει, πολλὰ τοῦ
δέους συνεργήσαντος εἰς θάνατον τῇ νόσῳ. Ῥωμαῖοί γε 69
μὴν μεμνημένοι τοῦ προτέρου πταίσματος οὐκ εἰσέβαλλον
230 ἕως τρίτῃ καὶ εἰκάδι τοῦ προειρημένου μηνός.

1, 10. Τίτος, ἤδη γὰρ παρῆν, ὀργῇ τῆς πληγῆς ἣν παρ' 70
αὐτὸν ἐπλήγησαν ἀπόντα Ῥωμαῖοι, τῶν ἱππέων ἐπιλέξας
διακοσίους, πρὸς οἷς πεζούς, εἰσέρχεται τὴν πόλιν ἡσυχῇ.
καὶ παρελθόντος οἱ μὲν φύλακες αἰσθόμενοι μετὰ βοῆς ἐχώ- 71
235 ρουν ἐπὶ τὰ ὅπλα, δήλης δὲ τῆς εἰσβολῆς ταχέως καὶ τοῖς
εἴσω γενομένης, οἱ μὲν ἁρπάζοντες τὰ τέκνα καὶ γυναῖκας
ἐπισυρόμενοι πρὸς τὴν ἄκραν ἀνέφευγον μετὰ κωκυτοῦ καὶ
βοῆς, οἱ δὲ τὸν Τίτον ὑπαντιάζοντες ἀδιαλείπτως ἔπιπτον·
ὅσοι δὲ ἀπεκωλύθησαν ἐπὶ τὴν κορυφὴν ἀναδραμεῖν ὑπ' 72
240 ἀμηχανίας εἰς τὰς τῶν Ῥωμαίων φρουρὰς ἐξέπιπτον. ἄπει-
ρος δ' ἦν πανταχοῦ φονευομένων ὁ στόνος, καὶ τὸ αἷμα
πᾶσαν ἐπέκλυζε τὴν πόλιν κατὰ πρανοῦς χεόμενον. πρὸς 73
δὲ τοὺς ἀναφεύγοντας εἰς τὴν ἄκραν ἐπεβοήθει Οὐεσπασια-
νὸς πᾶσαν εἰσαγαγὼν τὴν δύναμιν. ἦν δ' ἥ τε κορυφὴ πάν- 74
245 τοθεν πετρώδης καὶ δύσβατος, εἰς ἄπειρον ὕψος ἐπηρμένη,
καὶ πανταχόθεν τοῦ πλήθους κατέγεμεν περιειλημμένη κρη-

218. ἐκκυλίσαντες: ἐκκοιλίσαντες PA | λίθους: τῶν λίθων LVRC 218-9. κατερείπεται dubitanter Niese κατηρείπετο PA καταρρίπτεται M καταρίπτεται VRC 223. Ἰώσηπον: Ἰώσην L[1] cfr. l. 66. 226. εἰσπεπαικότων: εἰσπεπεκότων L εἰσπεπτωκότων MVRC 227. πολλὰ τοῦ Niese πολλοῦ codd. 233. πεζούς: πεζὸς PAMLVR; peditum numerus excidisse videtur | τὴν: εἰς τὴν PAMVRC 246. πλήθους: βάθους PAMVRC

zarono cinque dei blocchi di pietra piú importanti e balza-
rono indietro. All'improvviso la torre rovinò con un immenso 65
boato trascinandosi appresso le sentinelle, mentre gli uomini
di guardia negli altri posti, impauriti, si davano alla fuga;
nel tentativo di attraversare le linee molti furono uccisi dai 66
romani, e fra gli altri Giuseppe, che fu colpito a morte mentre
cercava di uscire attraverso una delle brecce del muro. In 67
città fra la gente sbigottita dal boato si verificò un fuggi fuggi
e un gran panico, come se i nemici avessero fatto irruzione
in massa. Si spense allora anche Carete, che giaceva a letto 68
infermo, e lo spavento contribuí grandemente a causarne la
morte. I romani, memori del precedente rovescio, non entra- 69
rono nella città prima del giorno ventitreesimo del mese
sopra detto.

1, 10. Tito, che intanto aveva fatto ritorno[20], sdegnato per 70
la sconfitta che i romani avevano subita in sua assenza, scelse
duecento cavalieri e alquanti fanti e alla loro testa, senza tro-
vare ostacoli, entrò nella città[21]. Quando era già dentro, le 71
sentinelle se ne avvidero e corsero gridando alle armi mentre
la voce dell'attacco si diffondeva rapidamente tra la gente, e
allora alcuni, tirandosi dietro mogli e figli, correvano tra
gemiti e clamori a rifugiarsi sulla rocca, altri si facevano in-
contro a Tito cadendo l'uno dopo l'altro; quanti infine non 72
riuscirono a fuggire verso l'alto, non poterono evitare di in-
cappare nei posti di blocco dei romani. Dappertutto si levava
il lamento incessante degli uccisi, e il sangue allagò l'intera
città scorrendo giú per i pendii. Contro quelli che si erano 73
rifugiati sulla rocca accorse Vespasiano con tutto l'esercito.
La sommità era da ogni parte dirupata e di difficile accesso, e 74
si levava ad una altezza enorme tutta gremita di gente e cir-

μνοῖς κατέτεμνόν τε. ἐνταῦθα τοὺς προσβαίνοντας οἱ Ἰουδαῖοι 75
τοῖς τε ἄλλοις βέλεσι καὶ πέτρας κατακυλινδοῦντες ἐκάκουν·
αὐτοὶ δὲ δι' ὕψος ἦσαν δυσέφικτοι βέλει. γίνεται δὲ πρὸς 76
250 ἀπώλειαν αὐτῶν ἄντικρυς θύελλα δαιμόνιος, ἢ τὰ μὲν Ῥω-
μαίων ἔφερεν εἰς αὐτοὺς βέλη, τὰ δ' αὐτῶν ἀνέστρεφεν καὶ
πλάγια παρέσυρεν. οὔτε δὲ τοῖς ὑποκρήμνοις ἐφίστασθαι διὰ 77
τὴν βίαν ἐδύναντο τοῦ πνεύματος, μηδὲν ἑδραῖον ἔχοντες,
οὔτε τοὺς προσβαίνοντας καθορᾶν. ἐπαναβαίνουσι δὲ Ῥω- 78
255 μαῖοι, καὶ περισχόντες οὓς μὲν ἀμυνομένους ἔφθανον, οὓς
δὲ χεῖρας προΐσχοντας· ἐτόνου δὲ τὸν θυμὸν αὐτοῖς ἐπὶ πάν-
τας ἡ μνήμη τῶν ἐπὶ τῆς πρώτης εἰσβολῆς ἀπολωλότων.
ἀπογινώσκοντες δὲ τὴν σωτηρίαν πανταχόθεν οἱ πολλοὶ πε- 79
ρισχόμενοι τέκνα καὶ γυναῖκας αὐτούς τε κατεκρήμνιζον εἰς
260 τὴν φάραγγα· βαθυτάτη δ' αὕτη κατὰ τὴν ἄκραν ὑπώρυκτο.
συνέβη δὲ τὴν Ῥωμαίων ὀργὴν τῆς εἰς ἑαυτοὺς ἀπονοίας 80
τῶν ἁλόντων πρᾳοτέραν φανῆναι· τετρακισχίλιοι μέν γε ὑπὸ
τούτων ἐσφάγησαν, οἱ δὲ ῥίψαντες ἑαυτοὺς ὑπὲρ πεντα-
κισχιλίους εὑρέθησαν. διεσώθη δὲ πλὴν δύο γυναικῶν οὐδείς· 81
265 τῆς Φιλίππου δ' ἦσαν ἀδελφῆς θυγατέρες αὗται, αὐτὸς δ'
ὁ Φίλιππος Ἰακίμου τινὸς ἀνδρὸς ἐπισήμου, στραταρχήσαν-
τος Ἀγρίππᾳ τῷ βασιλεῖ. διεσώθησαν δὲ τὰς παρὰ τὴν 82
ἅλωσιν ὀργὰς Ῥωμαίων λαθοῦσαι· τότε γὰρ οὐδὲ νηπίων
ἐφείδοντο, πολλὰ δ' ἑκάστοτε ἁρπάζοντες ἐσφενδόνων ἀπὸ
270 τῆς ἄκρας. Γάμαλα μὲν οὖν οὕτως ἑάλω τρίτῃ καὶ εἰκάδι 83
μηνὸς Ὑπερβερεταίου, τῆς ἀποστάσεως ἀρξαμένης Γορ-
πιαίου μηνὸς τετάρτῃ καὶ εἰκάδι.

247. κατέτεμνόν τε: κατέτεμνον δὲ L; nonnulla excidisse videntur | προσβαίνοντας: προβαίνοντας PA[1]VC 248. πέτρας: πέτραις PAMLVR 256. προΐσχοντας: προσίσχοντας AM 259. αὐτούς: αὐτούς P ἑαυτοὺς MLVRC | τε: om. MVRC 260. ὑπώρυκτο: ὑπερῆκτο R 261. ἑαυτοὺς: αὐτοὺς LVRC 266-7. στραταρχήσαντος: τετραρχήσαντος PAL 267-8. τὰς... ὀργὰς: ταῖς... ὀργαῖς PAVRC 268. τότε γὰρ οὐδὲ: τότε γὰρ οὔτε PAM οὔτε γὰρ L 269. ἑκάστοτε: ἕκαστός τε A ἕκαστος τότε MVRC 270. οὖν: om. PA

condata da strapiombi. Quivi i giudei infersero perdite agli 75
attaccanti, oltre che con ogni sorta di proiettili, anche facendo
rotolare giú macigni, mentre essi a causa dell'altezza difficil-
mente venivano colpiti. Ma ecco che per loro rovina un dio 76
scatenò un turbine che soffiava contro di loro sospingendo i
proiettili dei romani, mentre faceva deviare e disperdere quelli
che essi scagliavano. Per la violenza del turbine non potevano 77
né reggersi in piedi sui dirupi, non avendo uno stabile appog-
gio, né scorgere i nemici che s'appressavano. Cosí i romani 78
arrivarono sulla sommità, li accerchiarono e senza dar tregua
presero a farne strage, non solo di quelli con le armi in pugno,
ma anche di quelli che alzavano le mani: contro tutti li ren-
deva spietati il ricordo dei commilitoni caduti nel primo
assalto. Allora i piú dei giudei, stretti da ogni parte e dispe- 79
rando di salvarsi, si gettarono con le mogli e i figli nel preci-
pizio che era stato scavato fino a grandissima profondità
sotto la rocca. Accadde cosí che la furia dei romani apparve 80
piú blanda della ferocia che i vinti usarono verso sé stessi;
quelli infatti ne uccisero quattromila, mentre piú di cinquemila
furono coloro che si precipitarono dall'alto. All'infuori di 81
due donne nessuno si salvò; si trattava delle figlie della so-
rella di Filippo[22], e questo Filippo era figlio di un notabile di
nome Iacimo, che era stato un generale al servizio del re
Agrippa. Si salvarono perché erano nascoste e poterono cosí 82
sfuggire al furore dei romani durante la presa della città;
essi infatti in quel momento non provavano pietà nemmeno
per i bambini, e molti ne uccisero prendendoli e scagliandoli
giú dalla rocca. Cosí, dunque, Gamala fu presa il giorno venti- 83
treesimo del mese di Iperbereteo, mentre la sua ribellione
era cominciata il giorno ventiquattresimo del mese di Gor-
pieo[23].

2, 1. μόνη δὲ Γίσχαλα πολίχνη τῆς Γαλιλαίας ἀχείρωτος κατελείπετο, τοῦ μὲν πλήθους εἰρηνικὰ φρονοῦντος, καὶ γὰρ ἦσαν τὸ πλέον γεωργοὶ καὶ ταῖς ἀπὸ τῶν καρπῶν ἐλπίσιν ἀεὶ προσανέχοντες, παρεισεφθαρμένου δ' αὐτοῖς οὐκ ὀλίγου λῃστρικοῦ τάγματος, ᾧ τινες καὶ τοῦ πολιτικοῦ συνενόσουν. ἐνῆγε δὲ τούτους εἰς τὴν ἀπόστασιν καὶ συνεκρότει Ληΐου τινὸς υἱὸς Ἰωάννης, γόης ἀνὴρ καὶ ποικιλώτατος τὸ ἦθος, πρόχειρος μὲν ἐλπίσαι μεγάλα, δεινὸς δὲ τῶν ἐλπισθέντων περιγενέσθαι, παντί τε ὢν δῆλος ἀγαπᾶν τὸν πόλεμον εἰς δυναστείας ἐπίθεσιν. ὑπὸ τούτῳ τὸ στασιῶδες ἐν τοῖς Γισχάλοις ἐτέτακτο, δι' οὓς τάχ' ἂν καὶ πρεσβευσάμενον περὶ παραδόσεως τὸ δημοτικὸν ἐν πολεμίου μοίρᾳ τὴν Ῥωμαίων ἔφοδον ἐξεδέχετο. Οὐεσπασιανὸς δὲ ἐπὶ μὲν τούτους Τίτον ἐκπέμπει σὺν χιλίοις ἱππεῦσιν, τὸ δέκατον δὲ τάγμα ἀπαίρει εἰς Σκυθόπολιν. αὐτὸς δὲ σὺν δυσὶ τοῖς λοιποῖς ἐπανῆλθεν εἰς Καισάρειαν, τοῦ τε συνεχοῦς καμάτου διδοὺς ἀνάπαυσιν αὐτοῖς καὶ δι' εὐθηνίαν τῶν πόλεων τά τε σώματα καὶ τὸ πρόθυμον ὑποθρέψειν οἰόμενος ἐπὶ τοὺς μέλλοντας ἀγῶνας· οὐ γὰρ ὀλίγον αὐτῷ πόνον ἑώρα περὶ τοῖς Ἱεροσολύμοις λειπόμενον, ἅτε δὴ βασιλείου μὲν οὔσης τῆς πόλεως καὶ προανεχούσης ὅλου τοῦ ἔθνους, συρρεόντων δὲ εἰς αὐτὴν τῶν ἐκ τοῦ πολέμου διαδιδρασκόντων. τό γε μὴν φύσει τε ὀχυρὸν αὐτῆς καὶ διὰ κατασκευὴν τειχῶν ἀγωνίαν οὐ τὴν τυχοῦσαν ἐνεποίει· τὰ δὲ φρονήματα τῶν ἀνδρῶν καὶ τὰς τόλμας δυσμεταχειρίστους καὶ δίχα τειχῶν ὑπελάμβανεν. διὸ δὴ τοὺς στρατιώτας καθάπερ ἀθλητὰς προήσκει τῶν ἀγώνων.

2, 2. Τίτῳ δὲ προσιππασαμένῳ τοῖς Γισχάλοις εὐπετὲς μὲν ἦν ἐξ ἐφόδου τὴν πόλιν ἑλεῖν, εἰδὼς δέ, εἰ βίᾳ ληφθείη, διαφθαρησόμενον ὑπὸ τῶν στρατιωτῶν ἀνέδην τὸ πλῆθος, ἦν δ' αὐτῷ κόρος ἤδη φόνων καὶ δι' οἴκτου τὸ πλέον ἀκρί-

2, 11. τάχ' ἄν: τάχα ἂν L τυχὸν PAMVRC 12. πολεμίου Thackeray πολέμου codd. 17. πόλεων: πολεμίων PL ἐπιτηδείων A 22. τε ins. Bekker 28. δέ: δέ ὡς MVRC

2, 1. Non sottomessa restava soltanto Giscala[1], una piccola cittadina della Galilea; i suoi abitanti erano inclini alla pace, trattandosi per lo piú di contadini tutti presi dal pensiero dei raccolti, ma erano stati rovinati dall'arrivo di una non piccola banda di briganti, che avevano anche guastato alcuni elementi della cittadinanza. Li aveva incitati alla rivolta e organizzati Giovanni, figlio di un certo Levi, un ciarlatano dal carattere subdolo, pronto a concepire grandi speranze e abile nel realizzarle, noto a tutti come un partigiano della guerra per ambizione di potere. Era stato lui a dar vita a Giscala al partito dei rivoluzionari, per colpa dei quali i paesani, che forse sarebbero venuti a patti di resa, aspettavano invece con sentimenti ostili l'arrivo dei romani. Contro costoro Vespasiano inviò Tito con mille cavalieri; poi mandò la decima legione a Scitopoli e con le altre due legioni fece ritorno a Cesarea, per concedere ai soldati un po' di respiro dalle continue fatiche e pensando che gli agi della vita in città ne avrebbero rinvigorito il fisico e il morale per i prossimi cimenti[2]. Intuiva infatti che gli restava da affrontare una lotta non lieve per Gerusalemme, perché non soltanto questa era la città dei re e la principale dell'intera nazione, ma anche perché vi si andavano raccogliendo tutti quelli che fuggivano dinanzi alla guerra. Il luogo, forte per natura e rafforzato dalla costruzione di opere difensive, destava in lui una preoccupazione non comune; del resto capiva che la determinazione degli abitanti e il loro coraggio restavano difficili da superare anche senza la difesa di mura. Perciò allenava i suoi soldati come atleti per una gara.

2, 2. Per Tito, arrivato con i suoi cavalieri a Giscala, sarebbe stato facile prendere d'assalto la città, ma egli ben sapeva che in caso di espugnazione gli abitanti sarebbero stati sterminati in massa dai suoi uomini; allora, sazio di strage e impietosito per la popolazione che indistintamente avrebbe

τως συναπολλύμενον τοῖς αἰτίοις, ἐβούλετο μᾶλλον ὁμολογίαις παραστήσασθαι τὴν πόλιν. καὶ δὴ τοῦ τείχους ἀνδρῶν 93 καταγέμοντος, οἳ τὸ πλέον ἦσαν ἐκ τοῦ διεφθαρμένου τάγματος, θαυμάζειν ἔφη πρὸς αὐτούς, τίνι πεποιθότες πάσης 35 ἑαλωκυίας πόλεως μόνοι τὰ Ῥωμαίων ὅπλα μένουσιν, ἑωρα- 94 κότες μὲν ὀχυρωτέρας πολλῷ πόλεις ὑπὸ μίαν προσβολὴν κατεστραμμένας, ἐν ἀσφαλείᾳ δὲ τῶν ἰδίων κτημάτων ἀπολαύοντας ὅσοι ταῖς Ῥωμαίων δεξιαῖς ἐπίστευσαν, ἃς καὶ νῦν προτείνειν αὐτοῖς μηδὲν μνησικακῶν τῆς αὐθαδείας. 40 εἶναι γὰρ συγγνωστὸν ἐλευθερίας ἐλπίδα, μηκέτι μέντοι τὴν 95 ἐν τοῖς ἀδυνάτοις ἐπιμονήν· εἰ γὰρ οὐ πεισθήσονται λόγοις 96 φιλανθρώποις καὶ δεξιαῖς πίστεως, πειράσειν αὐτοὺς ἀφειδῆ τὰ ὅπλα, καὶ ὅσον οὐδέπω γνώσεσθαι παιζόμενον τοῖς Ῥωμαίων μηχανήμασιν τὸ τεῖχος, ᾧ πεποιθότες ἐπιδείκνυνται 45 μόνοι Γαλιλαίων, ὅτι εἰσὶν αὐθάδεις αἰχμάλωτοι.

2, 3. πρὸς ταῦτα τῶν μὲν δημοτικῶν οὐ μόνον οὐκ ἀπο- 97 κρίνεσθαί τινι μετῆν, ἀλλ' οὐδ' ἐπὶ τὸ τεῖχος ἀναβῆναι· προδιείληπτο γὰρ ἅπαν τοῖς λῃστρικοῖς, καὶ φύλακες τῶν πυλῶν ἦσαν, ὡς μή τινες ἢ προέλθοιεν ἐπὶ τὰς σπονδὰς ἢ 50 δέξαιντό τινας τῶν ἱππέων εἰς τὴν πόλιν. ὁ δ' Ἰωάννης 98 αὐτός τε ἀγαπᾶν ἔφη τὰς προκλήσεις καὶ τοὺς ἀπιστοῦντας ἢ πείσειν ἢ συναναγκάσειν· δεῖν μέντοι τὴν ἡμέραν αὐτὸν 99 ἐκείνην, ἑβδομὰς γὰρ ἦν, χαρίσασθαι τῷ Ἰουδαίων νόμῳ, καθ' ἣν ὥσπερ ὅπλα κινεῖν αὐτοῖς, οὕτω καὶ τὸ συντίθεσθαι 55 περὶ εἰρήνης ἀθέμιτον. οὐκ ἀγνοεῖν δὲ οὐδὲ Ῥωμαίους, ὡς 100 ἀργὴ πάντων αὐτοῖς ἐστιν ἡ τῆς ἑβδομάδος περίοδος, ἔν τε τῷ παραβαίνειν αὐτὴν οὐχ ἧττον ἀσεβεῖν τῶν βιασθέντων τὸν βιασάμενον. φέρειν δ' ἐκείνῳ μὲν οὐδεμίαν βλάβην τὰ 101 τῆς ὑπερθέσεως, τί γὰρ ἄν τις ἐν νυκτὶ βουλεύσαιτο δρασμοῦ

31. αἰτίοις: αἰτίοις τὸ μὴ αἴτιον M 40. γάρ: om. P | ἐλπίδα: ἐλπίδι L[1]VR 43. γνώσεσθαι: γνωσθήσεσθαι PLVRC | παιζόμενον: L[1] *moenia sua ludum fore* Lat πιεζόμενον PAML[2]VRC 49. προέλθοιειν: παρέλθοιεν M προσέλθοιεν VRC 51. ἀπιστοῦντας: ἀπειθοῦντας P 53. τῷ: τῶν A[1] τῷ τῶν L fortasse recte

seguito nella rovina i colpevoli, preferí impadronirsi della città venendo a patti[8]. Perciò, essendo le mura gremite di 93 uomini che per lo piú appartenevano alla banda dei rivoluzionari, egli disse loro che si domandava con meraviglia su che cosa facevano affidamento quando, caduta ormai ogni città, essi solo resistevano alle armi romane. Eppure avevano 94 visto che città molto piú forti erano state prese con un solo assalto, mentre chi si era fidato di venire a patti con i romani si godeva tranquillamente i suoi beni; tali patti egli allora tornava ad offrir loro senza volerli punire per la loro pervicacia. Si poteva infatti perdonare l'aspirazione alla libertà, 95 ma non l'ostinazione in progetti irrealizzabili; se infatti non 96 si fossero piegati alle sue parole di clemenza e alle sue offerte di pace avrebbero sperimentato la spietatezza delle armi e capito in breve tempo che per le macchine dei romani era uno scherzo quel muro in cui confidavano quando, unici fra i giudei, si comportavano da prigionieri pieni di boria.

2, 3. A questo discorso non solo nessuno degli abitanti 97 poté rispondere, ma nemmeno accostarsi alle mura; infatti erano state tutte occupate dai banditi, e alle porte vi erano sentinelle per impedire che qualcuno potesse uscire per trattare o fare entrare dei cavalieri nella città. Fu invece Giovanni 98 in persona a rispondere dicendo che le proposte gli piacevano e che con le buone o le cattive le avrebbe fatte accettare da chi non le condivideva; bisognava però lasciar passare quel 99 giorno, che era di sabato, quando in omaggio alla legge dei giudei non era loro lecito né di combattere né di trattare la pace. Anche i romani sapevano bene come la ricorrenza del 100 settimo giorno comportasse l'astensione da tutti i lavori, e che in caso di trasgressione l'empietà di chi costringeva al lavoro non era minore dell'empietà di chi vi era costretto. Al 101 duce poi, il rinvio non avrebbe causato alcun danno: nella notte si poteva al massimo organizzare una fuga, ma egli

60 πλέον, ἐξὸν περιστρατοπεδεύσαντα παραφυλάξαι; μέγα δὲ 102
κέρδος αὐτοῖς τὸ μηδὲν παραβῆναι τῶν πατρίων ἐθῶν. πρέπει
δὲ τῷ παρὰ προσδοκίαν εἰρήνην χαριζομένῳ τοῖς σωζομέ-
νοις τηρεῖν καὶ τοὺς νόμους. τοιούτοις ἐσοφίζετο τὸν Τίτον, 103
οὐ τοσοῦτον τῆς ἑβδομάδος στοχαζόμενος, ὅσον τῆς ἑαυτοῦ
65 σωτηρίας· ἐδεδοίκει δὲ ἐγκαταληφθῆναι παραχρῆμα τῆς πό-
λεως ἁλούσης, ἐν νυκτὶ καὶ φυγῇ τὰς ἐλπίδας ἔχων τοῦ
βίου. θεοῦ δ' ἦν ἔργον ἄρα τοῦ σώζοντος τὸν Ἰωάννην ἐπὶ 104
τὸν τῶν Ἱεροσολυμιτῶν ὄλεθρον τὸ μὴ μόνον πεισθῆναι
Τίτον τῇ σκήψει τῆς ὑπερθέσεως, ἀλλὰ καὶ τῆς πόλεως πορ-
70 ρωτέρω στρατοπεδεύσασθαι πρὸς Κυδασοῖς· μεσόγειος δ' 105
ἐστὶ Τυρίων κώμη καρτερά, διὰ μίσους ἀεὶ καὶ πολέμου
Γαλιλαίοις, ἔχουσα πλῆθός τε οἰκητόρων καὶ τὴν ὀχυρότητα
τῆς πρὸς τὸ ἔθνος διαφορᾶς ἐφόδια.

2, 4. νυκτὸς δ' ὁ Ἰωάννης ὡς οὐδεμίαν περὶ τῇ πόλει 106
75 Ῥωμαίων ἑώρα φυλακήν, τὸν καιρὸν ἁρπασάμενος, οὐ μόνον
τοὺς περὶ αὐτὸν ὁπλίτας ἀλλὰ καὶ τῶν ἀργοτέρων συχνοὺς
ἅμα ταῖς γενεαῖς ἀναλαβὼν ἐπὶ Ἱεροσολύμων ἔφευγε. μέχρι 107
μὲν οὖν εἴκοσι σταδίων οἷόν τε ἦν συνεξαγαγεῖν γυναικῶν
καὶ παιδίων ὄχλον ἀνθρώπῳ κατασπερχομένῳ τοῖς ὑπὲρ
80 αἰχμαλωσίας καὶ τοῦ ζῆν φόβοις, περαιτέρω δὲ προκόπτον-
τος ἀπελείποντο, καὶ δειναὶ τῶν ἐωμένων ἦσαν ὀλοφύρσεις·
ὅσον γὰρ ἕκαστος τῶν οἰκείων ἐγίνετο πορρωτέρω, τοσοῦτον 108
ἐγγὺς ὑπελάμβανεν εἶναι τῶν πολεμίων, παρεῖναί τε ἤδη
τοὺς αἰχμαλωτισομένους δοκοῦντες ἐπτόηντο, καὶ πρὸς τὸν
85 ἀλλήλων ἐκ τοῦ δρόμου ψόφον ἐπεστρέφοντο καθάπερ ἤδη
παρόντων οὓς ἔφευγον· ἀνοδίαις τ' ἐνέπιπτον οἱ πολλοί, καὶ 109
περὶ τὴν λεωφόρον ἡ τῶν φθανόντων ἔρις συνέτριβεν τοὺς
πολλούς. οἰκτρὸς δὲ γυναικῶν καὶ παιδίων ὄλεθρος ἦν, καί 110

64. ἑαυτοῦ: αὐτοῦ PAMVR 65. ἐγκαταληφθῆναι: ἐγκαταλειφθῆναι PA¹LV² Lat
68. Ἱεροσολυμιτῶν: Ἱεροσολύμων P¹LVRC 74. οὐδεμίαν: οὔτε μίαν PAM
78. σταδίων: σταδίων ὡς VRC 79. παιδίων: παίδων AM 81. ἀπελεί-
ποντο: ἀπελίποντο P ἐπελείποντο VR 88. οἰκτρὸς: L¹ *miserabile* Lat οἶκτος
PAML²VRC | παιδίων: παίδων M νηπίων L

avrebbe potuto impedirla facendo accampare l'esercito in-
torno alla città. Per loro, invece, sarebbe stato di grande 102
conforto il non violare le leggi patrie. Infine era bello che
chi inaspettatamente faceva offerte di pace rispettasse anche le
leggi di coloro cui faceva grazia della vita. Con tali discorsi 103
abbindolò Tito, e infatti egli non si preoccupava tanto del
sabato quanto di farla franca; temeva di essere catturato non
appena la città fosse caduta, mentre sperava di mettersi in
salvo fuggendo col favore della notte. Ma era certo volontà 104
di dio che Giovanni si salvasse per la rovina di Gerusalemme[4],
e perciò da quel pretesto Tito fu indotto non soltanto al rin-
vio, ma anche ad accamparsi lontano dalla città, a Cidasa[5].
Questo è un forte villaggio dei Tiri nell'entroterra, sempre in 105
contrasto e in conflitto con i Galilei, che dall'esser popoloso
e fortificato traeva alimento alle sue lotte contro la nazione
giudaica.

2, 4. Durante la notte Giovanni, poiché non si vedeva 106
una sentinella intorno alla città, colse la buona occasione e
prese la fuga verso Gerusalemme seguito non soltanto dai
suoi armati, ma anche da parecchi popolani inermi con le
loro famiglie. Per una ventina di stadi riuscí a trascinarsi dietro 107
quella caterva di donne e bambini, nonostante fosse assillato
dal terrore di esser catturato e messo a morte; ma poi, mentre
egli proseguiva, quelli restarono indietro lanciando terribili
grida di lamento al vedersi abbandonati. Quanto piú uno ve- 108
deva allontanarsi i suoi, tanto piú gli sembrava di essere vicino
ai nemici; credendo di avere già addosso quelli che li avrebbero
fatti prigionieri, erano in preda al panico e cambiavano dire-
zione a ogni rumore fatto dai compagni di fuga come se già
fossero arrivati i nemici da cui fuggivano. I piú finirono su 109
terreni impraticabili, mentre sulla strada molti perirono nella
lotta per passare avanti agli altri. Le donne e i bambini face- 110

τινες πρὸς ἀνακλήσεις ἀνδρῶν τε καὶ συγγενῶν ἐθάρσησαν μετὰ κωκυτῶν ἱκετεύουσαι περιμένειν. ἀλλ' ἐνίκα τὸ Ἰωάννου παρακέλευσμα σώζειν ἑαυτοὺς ἐμβοῶντος καὶ καταφεύγειν ἔνθα καὶ περὶ τῶν ἀπολειπομένων ἀμυνοῦνται Ῥωμαίους ἂν ἁρπαγῶσι. τὸ μὲν οὖν τῶν διαδιδρασκόντων πλῆθος ὡς ἕκαστος ἰσχύος εἶχεν ἢ τάχους ἐσκέδαστο.

2, 5. Τίτος δὲ μεθ' ἡμέραν ἐπὶ τὰς συνθήκας πρὸς τὸ τεῖχος παρῆν. ἀνοίγει δ' αὐτῷ τὰς πύλας ὁ δῆμος, καὶ μετὰ τῶν γενεῶν προελθόντες ἀνευφήμουν ὡς εὐεργέτην καὶ φρουρᾶς ἐλευθερώσαντα τὴν πόλιν· ἐδήλουν γὰρ ἅμα τὴν τοῦ Ἰωάννου φυγὴν καὶ παρεκάλουν φείσασθαί τε αὐτῶν καὶ παρελθόντα τοὺς ὑπολειπομένους τῶν νεωτεριζόντων κολάσαι. ὁ δὲ τὰς τοῦ δήμου δεήσεις ἐν δευτέρῳ θέμενος μοῖραν ἔπεμπε τῶν ἱππέων Ἰωάννην διώξουσαν, οἳ τὸν μὲν οὐ καταλαμβάνουσιν, ἔφθη γὰρ εἰς Ἱεροσόλυμα διαφυγών, τῶν δὲ συναπαράντων ἀποκτείνουσι μὲν εἰς ἑξακισχιλίους, γύναια δὲ καὶ παιδία τρισχιλίων ὀλίγον ἀποδέοντα περιελάσαντες ἀνήγαγον. ὁ δὲ Τίτος ἤχθετο μὲν ἐπὶ τῷ μὴ παραχρῆμα τιμωρήσασθαι τὸν Ἰωάννην τῆς ἀπάτης, ἱκανὸν δὲ ἀστοχήσαντι τῷ θυμῷ παραμύθιον ἔχων τὸ πλῆθος τῶν αἰχμαλώτων καὶ τοὺς διεφθαρμένους, εἰσῄει τε ἀνευφημούμενος εἰς τὴν πόλιν, καὶ τοῖς στρατιώταις ὀλίγον τοῦ τείχους παρασπάσαι κελεύσας νόμῳ καταλήψεως, ἀπειλαῖς μᾶλλον ἢ κολάσει τοὺς ταράσσοντας τὴν πόλιν ἀνέστελλε· πολλοὺς γὰρ ἂν καὶ διὰ τὰ οἰκεῖα μίση καὶ διαφορὰς ἰδίας ἐνδείξασθαι τοὺς ἀναιτίους, εἰ διακρίνοι τοὺς τιμωρίας ἀξίους· ἄμεινον δ' εἶναι μετέωρον ἐν φόβῳ τὸν αἴτιον καταλιπεῖν ἤ τινα τῶν οὐκ ἀξίων αὐτῷ συναπολεῖν· τὸν μὲν γὰρ ἴσως κἂν σωφρονῆσαι δέει κολάσεως, τὴν ἐπὶ τοῖς παρῳχηκόσι συγγνώμην αἰδούμενον, ἀδιόρθωτον δὲ τὴν ἐπὶ τοῖς παρα-

89. συγγενῶν: γυναικῶν PAML *propinquos* Lat 91. παρακέλευσμα: παρακέλευμα PA[1] προκέλευσμα L[2] 91-2. καταφεύγειν: καταφυγεῖν VR 97. προελθόντες Niese προσελθόντες codd. 100. ὑπολειπομένους: ἐπιλειπομένους PAMLVR 117. κἂν Bekker καὶ codd. | παρῳχηκόσι: παρῳχημένοις M

vano una fine pietosa e alcune ebbero l'ardire[6] di invocare a gran voce i mariti e i parenti, supplicandoli in lacrime di aspettarle. Ma prevalse l'ordine di Giovanni, che comandò agli uomini di mettersi in salvo là dove un giorno avrebbero potuto vendicarsi sui romani anche dei congiunti caduti in prigionia, se fossero stati presi. Cosí la massa dei fuggiaschi si diradò a seconda delle forze e della sveltezza di ognuno.

2, 5. Il giorno dopo Tito si presentò dinanzi alle mura per concludere le trattative. I cittadini gli spalancarono le porte e, uscendo fuori con i familiari, lo acclamarono come benefattore e liberatore della città dall'oppressione; lo informarono anche della fuga di Giovanni, e lo pregarono di aver pietà di loro e di entrare invece per punire i rivoluzionari che erano rimasti dentro. Tito stimò che la loro richiesta aveva un'importanza secondaria e inviò una parte dei cavalieri a inseguire Giovanni. Essi non lo catturarono, perché quello riuscí a raggiungere Gerusalemme, ma dei suoi compagni di fuga ne uccisero circa seimila e circondarono e riportarono indietro poco meno di tremila donne e bambini. Tito fu contrariato di non aver potuto punire subito Giovanni per la sua frode, ma trovando sufficiente conforto alla sua delusione nel gran numero dei prigionieri e degli uccisi, entrò fra un coro di acclamazioni nella città e, dopo aver fatto abbattere dai soldati un tratto delle mura in segno di presa di possesso, provvide a colpire gli agitatori della città piú con le minacce che con i castighi. Pensò infatti che, se avesse sottoposto a processo i meritevoli di pena, molti per odi privati o per inimicizie personali avrebbero sporto accuse contro innocenti; pertanto era meglio lasciare i colpevoli sospesi nel timore che coinvolgere nella loro punizione qualche innocente. Quelli infatti sarebbero forse anche rinsaviti per la paura del castigo e per il rispetto verso chi aveva perdonato i loro trascorsi, mentre la pena capitale inflitta ingiustamente era irrimediabile.

ναλωθεῖσι τιμωρίαν εἶναι. φρουρᾷ μέντοι τὴν πόλιν ἠσφα- 120
120 λίσατο, δι' ἧς τούς τε νεωτερίζοντας ἐφέξειν καὶ τοὺς εἰρη-
νικὰ φρονοῦντας θαρραλεωτέρους καταλείψειν ἔμελλεν. Γα-
λιλαία μὲν οὖν οὕτως ἑάλω πᾶσα, πολλοῖς ἱδρῶσι προγυμνά-
σασα 'Ρωμαίους ἐπὶ τὰ 'Ιεροσόλυμα.

3, 1. πρὸς δὲ τὴν εἴσοδον τοῦ 'Ιωάννου ὁ πᾶς δῆμος 121
ἐξεκέχυτο, καὶ περὶ ἕκαστον τῶν συμπεφευγότων μυρίος
ὅμιλος συνηθροισμένοι τὰς ἔξωθεν συμφορὰς ἀνεπυνθάνοντο.
τῶν δὲ τὸ μὲν ἆσθμα θερμὸν ἔτι κοπτόμενον ἐδήλου τὴν 122
5 ἀνάγκην, ἠλαζονεύοντο δὲ κἀν κακοῖς, οὐ πεφευγέναι 'Ρω-
μαίους φάσκοντες, ἀλλ' ἥκειν πολεμήσοντες αὐτοὺς ἐξ ἀσφα-
λοῦς· ἀλογίστων γὰρ εἶναι καὶ ἀχρήστων παραβόλως προ- 123
κινδυνεύειν περὶ Γίσχαλα καὶ πολίχνας ἀσθενεῖς, δέον τὰ
ὅπλα καὶ τὰς ἀκμὰς ταμιεύεσθαι τῇ μητροπόλει καὶ συμ-
10 φυλάσσειν. ἔνθα δὴ παρεδήλουν τὴν ἅλωσιν τῶν Γισχάλων, 124
καὶ τὴν λεγομένην εὐσχημόνως ὑποχώρησιν αὐτῶν οἱ πολ-
λοὶ δρασμὸν ἐνενόουν. ὡς μέντοι τὰ περὶ τοὺς αἰχμαλωτι- 125
σθέντας ἠκούσθη, σύγχυσις οὐ μετρία κατέσχε τὸν δῆμον,
καὶ μεγάλα τῆς ἑαυτῶν ἁλώσεως συνελογίζοντο τὰ τεκμήρια.
15 'Ιωάννης δ' ἐπὶ μὲν τοῖς καταλειφθεῖσιν ἧττον ἠρυθρία, 126
περιιὼν δ' ἑκάστους ἐπὶ τὸν πόλεμον ἐνῆγεν ταῖς ἐλπίσιν,
τὰ μὲν 'Ρωμαίων ἀσθενῆ κατασκευάζων, τὴν δ' οἰκείαν 127
δύναμιν ἐξαίρων, καὶ κατειρωνευόμενος τῆς τῶν ἀπείρων
ἀγνοίας, ὡς οὐδ' ἂν πτερὰ λαβόντες ὑπερβαῖέν ποτε 'Ρω-
20 μαῖοι τὸ 'Ιεροσολύμων τεῖχος οἱ περὶ ταῖς Γαλιλαίων
κώμαις κακοπαθοῦντες καὶ πρὸς τοῖς ἐκεῖ τείχεσι κατα-
τρίψαντες τὰς μηχανάς.

3, 2. Τούτοις τὸ πολὺ μὲν τῶν νέων προσδιεφθείρετο 128

119-20. ἠσφαλίσατο: ἠσφαλίσαντο P 122. οὖν: om. AMLVRC
3, 1. δὲ: om. LVRC 3. συνηθροισμένοι: συνηθροισμένος MV^2RC συνηθρησμένος V^1 | ἀνεπυνθάνοντο: ἀνεπυνθάνετο MVRC 9. ἀκμὰς: αἰχμὰς VRC 14. ἑαυτῶν: αὐτῶν AM^1VR αὑτῶν M^2 15. καταλειφθεῖσιν: καταληφθεῖσιν PA^2ML^2VRC 16. περιιὼν: παριὼν P

Ad ogni modo si assicurò della città stabilendovi una guarni- 120
gione destinata a tenere a bada i rivoluzionari e ad appoggiare
i fautori della pace. Cosí fu completato l'assoggettamento
della Galilea, che per i romani rappresentò una severa prepa-
razione all'attacco a Gerusalemme.

3, 1. All'arrivo di Giovanni tutto il popolo si riversò per 121
le strade, e attorno a ciascuno dei fuggiaschi si accalcò una
folla immensa che chiedeva notizie sugli avvenimenti esterni.
Il loro caldo respiro ancora affannoso tradiva in quali condi- 122
zioni erano ridotti; tuttavia essi ostentarono una gran sicu-
rezza anche in quei brutti momenti, affermando che non erano
fuggiti dinanzi ai romani, ma che venivano per combatterli
da posizioni sicure. Sarebbe stato sciocco e inutile esporsi a 123
gravi rischi per Giscala e altre città insignificanti, mentre biso-
gnava tenere in serbo le armi e le forze per la metropoli e col-
laborare alla sua difesa. A questo punto accennarono alla 124
caduta di Giscala e a quella che essi chiamarono con un eufe-
mismo la loro ritirata, mentre i piú capirono che si era trattato
di una fuga. Quando poi sentí parlare dei prigionieri, il po- 125
polo fu sconvolto da un gran turbamento, pensando che si-
curamente avrebbe subito lo stesso destino. Ma Giovanni, 126
senza arrossire per coloro che aveva abbandonati, andava in
giro a istigare alla guerra or questo or quello facendo balenare
speranze di vittoria, presentando come debole la posizione dei
romani, esaltando invece la propria forza e mettendo in ridi-
colo l'ignoranza degli inesperti: nemmeno se avessero messo 127
le ali, i romani avrebbero mai potuto superare le mura di Ge-
rusalemme, essi che si erano trovati nei guai dinanzi ai villaggi
della Galilea e avevano logorato le loro macchine contro
quelle mura[1].

3, 2. Da tali discorsi la maggior parte dei giovani si lasciava 128

καὶ πρὸς τὸν πόλεμον ἦρτο, τῶν δὲ σωφρονούντων καὶ
25 γηραιῶν οὐχ ἦν ὅστις οὐ τὰ μέλλοντα προορώμενος ὡς
ἤδη τῆς πόλεως οἰχομένης ἐπένθει. ὁ μὲν οὖν δῆμος ἦν 129
ἐν τοιαύτῃ συγχύσει, προδιέστη δὲ τὸ κατὰ τὴν χώραν
πλῆθος τῆς ἐν Ἱεροσολύμοις στάσεως. ὁ μὲν γὰρ Τίτος 130
ἀπὸ Γισχάλων εἰς Καισάρειαν, Οὐεσπασιανὸς δὲ ἀπὸ Καισα-
30 ρείας εἰς Ἰάμνειαν καὶ Ἄζωτον ἀφικόμενος παρίσταταί τε
αὐτὰς καὶ φρουροὺς ἐγκαταστήσας ὑπέστρεψε, πολὺ πλῆθος
ἐπαγόμενος τῶν ἐπὶ δεξιᾷ προσκεχωρηκότων. ἐκινεῖτο δ' 131
ἐν ἑκάστῃ πόλει ταραχὴ καὶ πόλεμος ἐμφύλιος, ὅσον τε
ἀπὸ Ῥωμαίων ἀνέπνεον εἰς ἀλλήλους τὰς χεῖρας ἐπέστρε-
35 φον. ἦν δὲ τῶν ἐρώντων τοῦ πολέμου πρὸς τοὺς ἐπι-
θυμοῦντας εἰρήνης ἔρις χαλεπή. καὶ πρῶτον μὲν ἐν οἰκίαις 132
ἥπτετο τῶν ὁμονοούντων πάλαι τὸ φιλόνεικον, ἔπειτα ἀφη-
νιάζοντες ἀλλήλων οἱ φίλτατοι καὶ συνιὼν ἕκαστος πρὸς
τοὺς τὰ αὐτὰ προαιρουμένους ἤδη κατὰ πλῆθος ἀντετάσ-
40 σοντο. καὶ στάσις μὲν ἦν πανταχοῦ, τὸ νεωτερίζον δὲ 133
καὶ τῶν ὅπλων ἐπιθυμοῦν ἐπεκράτει νεότητι καὶ τόλμῃ
γηραιῶν καὶ σωφρόνων. ἐτράποντο δὲ πρῶτον μὲν εἰς ἁρπα- 134
γὰς ἕκαστοι τῶν ἐπιχωρίων, ἔπειτα συντασσόμενοι κατὰ
λόχους ἐπὶ λῃστείαν τῶν κατὰ τὴν χώραν, ὡς ὠμότητος
45 καὶ παρανομίας ἕνεκεν αὐτοῖς μηδὲν Ῥωμαίων τοὺς ὁμο-
φύλους διαφέρειν καὶ πολὺ τοῖς πορθουμένοις κουφοτέραν
δοκεῖν τὴν ὑπὸ Ῥωμαίοις ἅλωσιν.

3, 3. οἱ φρουροὶ δὲ τῶν πόλεων τὰ μὲν ὄκνῳ τοῦ κακο- 135
παθεῖν, τὰ δὲ μίσει τοῦ ἔθνους, οὐδὲν ἢ μικρὰ προσήμυνον
50 τοῖς κακουμένοις, μέχρι κόρῳ τῶν κατὰ τὴν χώραν ἁρπα-
γῶν ἀθροισθέντες οἱ τῶν πανταχοῦ συνταγμάτων ἀρχι-
λῃσταὶ καὶ γενόμενοι πονηρίας στῖφος εἰς τὰ Ἱεροσόλυμα
παρεισφθείρονται, πόλιν ἀστρατήγητον καὶ πατρίῳ μὲν ἔθει 136

24. πρός Bekker πρὸς μὲν codd. 31. αὐτάς: αὐταῖς PAMLVR 33. ὅσον PAML ὅσοι VRC 37-8. ἀφηνιάζοντες: ἀφανίζοντες C 38. φίλτατοι: φίλτατοι λαοὶ codd. (expunxit A) 41. ἐπιθυμοῦν: ἐπεθύμουν VR[1] ἐπεθύμει C | ἐπεκράτει: ἐπεκράτει τε VRC 46. πορθουμένοις: ὁμοφύλοις P 48-9. κακοπαθεῖν: παθεῖν P

sedurre e s'infiammava alla guerra, mentre fra le persone assennate e gli anziani non v'era nessuno che non prevedesse il futuro e non si rattristasse come se la città fosse ormai perduta. Tale era dunque lo stato di confusione in cui si trovava 129 il popolo quando alla rivolta in Gerusalemme diede l'avvio la gente del contado[2]. Mentre infatti Tito faceva ritorno a 130 Cesarea[3], Vespasiano da Cesarea aveva raggiunto Iamnia e Azoto[4], le aveva sottomesse, vi aveva collocato una guarnigione ed era tornato indietro con un gran numero di giudei venuti a patti. Ogni città era in preda al disordine e alla guerra 131 civile, e quando avevano un po' di tregua dai romani si battevano gli uni con gli altri. Aspra era la lotta fra i partigiani della guerra e i fautori della pace. Dapprincipio il dissenso 132 scoppiava nelle case tra persone che da tempo erano andate d'accordo, poi si allentavano i legami affettivi piú stretti e ognuno se ne andava con quelli che la pensavano come lui formando dei gruppi contrapposti. La rivolta serpeggiava dap- 133 pertutto, e la fazione rivoluzionaria e propensa alla guerra, per la giovinezza e l'audacia dei suoi aderenti, aveva il sopravvento sugli anziani e sui benpensanti. Dapprima si diedero iso- 134 latamente a far man bassa dei beni dei vicini; poi, organizzatisi in bande, a far scorrerie nella regione, sí che le vittime quanto a crudeltà e violenza non trovavano alcuna differenza tra i romani e i connazionali, e ai malcapitati sembrava molto piú sopportabile cadere in mano dei romani[5].

3, 3. I presídi delle città, un po' per evitare guai, un po' 135 per odio verso la nazione[6], poco o nulla soccorrevano le loro vittime, e alla fine i capi delle bande, sazi di depredare il territorio, si riunirono da ogni parte e, formato un esercito di briganti, penetrarono per sua disgrazia in Gerusalemme. La città 136 non aveva un comando militare e per antica tradizione era

πᾶν ἀπαρατηρήτως δεχομένην τὸ ὁμόφυλον, τότε δ' οἰο-
55 μένων ἁπάντων τοὺς ἐπιχεομένους πάντας ἀπ' εὐνοίας ἥκειν
συμμάχους. ὃ δὴ καὶ δίχα τῆς στάσεως ὕστερον ἐβάπτισεν 137
τὴν πόλιν· πλήθει γὰρ ἀχρήστῳ καὶ ἀργῷ προεξαναλώθη
τὰ τοῖς μαχίμοις διαρκεῖν δυνάμενα, καὶ πρὸς τῷ πολέμῳ
στάσιν τε ἑαυτοῖς καὶ λιμὸν ἐπικατεσκεύασαν.

60 **3,** 4. ἄλλοι τε ἀπὸ τῆς χώρας λησταὶ παρελθόντες εἰς 138
τὴν πόλιν καὶ τοὺς ἔνδον προσλαβόντες χαλεπωτέρους οὐδὲν
ἔτι τῶν δεινῶν παρίεσαν· οἵ γε οὐ μόνον ἁρπαγαῖς καὶ 139
λωποδυσίαις τὴν τόλμαν ἐμέτρουν, ἀλλὰ καὶ μέχρι φόνων
ἐχώρουν, οὐ νυκτὸς ἢ λαθραίως ἢ ἐπὶ τοὺς τυχόντας, ἀλλὰ
65 φανερῶς καὶ μεθ' ἡμέραν καὶ τῶν ἐπισημοτάτων καταρχό-
μενοι. πρῶτον μὲν γὰρ Ἀντίπαν, ἄνδρα τοῦ βασιλικοῦ 140
γένους καὶ τῶν κατὰ τὴν πόλιν δυνατωτάτων, ὡς καὶ τοὺς
δημοσίους θησαυροὺς πεπιστεῦσθαι, συλλαβόντες εἶρξαν·
ἐπὶ τούτῳ Ληουίαν τινὰ τῶν ἐπισήμων καὶ Συφὰν υἱὸν 141
70 Ἀρεγέτου, βασιλικὸν δ' ἦν καὶ τούτων τὸ γένος, πρὸς δὲ
τοὺς κατὰ τὴν χώραν προὔχειν δοκοῦντας. δεινὴ δὲ κατά- 142
πληξις εἶχε τὸν δῆμον, καὶ καθάπερ κατειλημμένης τῆς
πόλεως πολέμῳ τὴν καθ' αὑτὸν ἕκαστος σωτηρίαν ἠγάπα.

3, 5. τοῖς δ' οὐκ ἀπέχρη τὰ δεσμὰ τῶν συνειλημμένων, 143
75 οὐδὲ ἀσφαλὲς ᾤοντο τὸ μέχρι πολλοῦ δυνατοὺς ἄνδρας
οὕτω φυλάσσειν· ἱκανοὺς μὲν γὰρ εἶναι καὶ τοὺς οἴκους 144
αὐτῶν πρὸς ἄμυναν οὐκ ὀλιγάνδρους ὄντας, οὐ μὴν ἀλλὰ
καὶ τὸν δῆμον ἐπαναστήσεσθαι τάχα κινηθέντα πρὸς τὴν
παρανομίαν. δόξαν οὖν ἀναιρεῖν αὐτούς, Ἰωάννην τινὰ πέμ- 145
80 πουσιν τὸν ἐξ αὐτῶν εἰς φόνους προχειρότατον· Δορκάδος
οὗτος ἐκαλεῖτο παῖς κατὰ τὴν ἐπιχώριον γλῶσσαν· ᾧ δέκα

55. ἐπιχεομένους: ἐπεισχεομένους MC 56. ὃ: οἱ PAMVRC | ἐβάπτισεν: ἐβάπτισαν PAMVRC 59. ἑαυτοῖς: αὑτοῖς AMVRC 61-2. οὐδὲν ἔτι: οὐδέν τι MVRC fortasse recte 62. παρίεσαν: παρῄεσαν L παρείασαν MVRC 63. τόλμαν ἐμέτρουν: πόλιν ἀνεμέτρουν C 66. βασιλικοῦ: βασιλείου PAMVRC 67. δυνατωτάτων: δυνατώτατον MVR Lat 70. Ἀρεγέτου: ῥεγέτου L *rageti* Lat ῥαγώλου M ῥεγώλου VR ῥαγουήλου C 75. τὸ: om. ALVRC 79-80. πέμπουσιν τὸν ἐξ αὐτῶν: πέμπουσιν τῶν ἐξ αὐτῶν P τῶν ἐξ αὐτῶν πέμπουσιν C πέμπουσι σὺν τοῖς ἀμφ' αὐτὸν R

aperta senza riserve a ogni connazionale: tanto piú allora, quando generalmente si credette che tutta quella gente arrivasse spinta dal desiderio di partecipare alla difesa. Il che, a 137 prescindere dalla rivolta, fu poi causa della rovina della città; infatti quella massa inutile e oziosa consumò le riserve che avrebbero potuto mantenere i combattenti, ed essa attirò cosí su di sé, oltre la guerra, anche la rissa e la fame.

3, 4. Provenienti dal contado entrarono poi nella città altri 138 briganti e, aggregatisi ai peggiori di quelli che già stavano dentro, non si astennero piú da alcuna infamia; non limitarono 139 la loro audacia al furto e alla rapina, ma si spinsero fino all'assassinio, e non di notte o nascostamente o a danno di chi capitava, ma apertamente e in pieno giorno e cominciando dalle persone piú eminenti. Per primo infatti presero e imprigionarono 140 Antipa[7], uno dei membri della famiglia reale e fra i piú potenti della città, tanto che gli era stato affidato il pubblico tesoro; poi Levia, uno dei notabili, e Sifa figlio di 141 Aregete, anch'essi di stirpe regia, e inoltre quelli che nel paese avevano una posizione eminente. Il popolo fu preso da un 142 grande sbigottimento e, come se la città fosse stata conquistata in guerra, nessuno si preoccupò di altro che della propria salvezza.

3, 5. Ai rivoluzionari non bastò di mettere in catene i 143 prigionieri e stimarono malsicuro di tenere cosí rinchiusi per lungo tempo dei personaggi di primo piano; infatti le loro 144 numerose casate erano in grado di farne vendetta, e poi poteva accadere che il popolo insorgesse contro tale iniquità. Decisero 145 dunque di assassinarli e ne incaricarono un tal Giovanni, il piú sanguinario fra loro, che nella lingua del paese era chiamato « figlio di Dorcade »[8]. Assieme a lui entrarono nel car-

συνελθόντες εἰς τὴν εἱρκτὴν ξιφήρεις ἀποσφάττουσιν τοὺς
συνειλημμένους. παρανομήματι δ' ἐν τηλικούτῳ μεγάλως 146
ἐπεψεύδοντο καὶ πρόφασιν. διαλεχθῆναι γὰρ αὐτοὺς 'Ρω-
85 μαίοις περὶ παραδόσεως τῶν 'Ιεροσολύμων, καὶ προδότας
ἀνῃρηκέναι τῆς κοινῆς ἐλευθερίας ἔφασκον, καθόλου τ'
ἐπηλαζονεύοντο τοῖς τολμήμασιν ὡς εὐεργέται καὶ σωτῆρες
τῆς πόλεως γεγενημένοι.

3, 6. συνέβη δὲ εἰς τοσοῦτον τὸν μὲν δῆμον ταπεινό- 147
90 τητος καὶ δέους, ἐκείνους δ' ἀπονοίας προελθεῖν, ὡς ἐπ'
αὐτοῖς εἶναι καὶ τὰς χειροτονίας τῶν ἀρχιερέων. ἄκυρα 148
γοῦν τὰ γένη ποιήσαντες, ἐξ ὧν κατὰ διαδοχὰς οἱ ἀρχιερεῖς
ἀπεδείκνυντο, καθίστασαν ἀσήμους καὶ ἀγενεῖς, ἵν' ἔχοιεν
συνεργοὺς τῶν ἀσεβημάτων· τοῖς γὰρ παρ' ἀξίαν ἐπιτυ- 149
95 χοῦσι τῆς ἀνωτάτω τιμῆς ὑπακούειν ἦν ἀνάγκη τοῖς παρα-
σχοῦσι. συνέκρουον δὲ καὶ τοὺς ἐν τέλει ποικίλαις ἐπινοίαις 150
καὶ λογοποιίαις, καιρὸν ἑαυτοῖς ἐν ταῖς πρὸς ἀλλήλους
τῶν κωλυόντων φιλονεικίαις ποιούμενοι, μέχρι τῶν εἰς
ἀνθρώπους ὑπερεμπλησθέντες ἀδικημάτων ἐπὶ τὸ θεῖον μετή-
100 νεγκαν τὴν ὕβριν καὶ μεμιασμένοις τοῖς ποσὶ παρῄεσαν εἰς
τὸ ἅγιον.

3, 7. ἐπανισταμένου τε αὐτοῖς ἤδη τοῦ πλήθους, ἐνῆγε 151
γὰρ ὁ γεραίτατος τῶν ἀρχιερέων Ἄνανος, ἀνὴρ σωφρο-
νέστατος καὶ τάχα ἂν διασώσας τὴν πόλιν, εἰ τὰς τῶν
105 ἐπιβούλων χεῖρας ἐξέφυγεν, οἱ δὲ τὸν νεὼν τοῦ θεοῦ φρού-
ριον αὐτοῖς καὶ τῶν ἀπὸ τοῦ δήμου ταραχῶν ποιοῦνται
καταφυγήν, καὶ τυραννεῖον ἦν αὐτοῖς τὸ ἅγιον. παρεκίρνατο 152
δὲ τοῖς δεινοῖς εἰρωνεία, τὸ τῶν ἐνεργουμένων ἀλγεινό-
τερον· ἀποπειρώμενοι γὰρ τῆς τοῦ δήμου καταπλήξεως καὶ 153
110 τὴν αὐτῶν δοκιμάζοντες ἰσχὺν κληρωτοὺς ἐπεχείρησαν ποιεῖν

83. συνειλημμένους: εἱργμένους LC | ἐν: ἐπὶ C | μεγάλως: μεγάλην VC 84. ἐπε-
ψεύδοντο Dindorf ἀπεψεύδοντο codd. | πρόφασιν: προφάσεις ἀνέπλαττον PAM
86. καθόλου τ': κατ'ὀλίγον δὲ PAMVR 92. κατὰ: τὰς PA 103. γε-
ραίτατος: γεραίτερος PAM γεραιότατος L 106. αὐτοῖς: αὑτοῖς PAMLVC
sibi Lat 110. αὐτῶν: αὑτῶν PAMVR ἑαυτῶν L

cere altri dieci uomini armati e fecero strage dei detenuti. Per 146
un tale enorme misfatto essi inventarono anche un'infame
giustificazione, dicendo che quelli avevano trattato con i ro-
mani per la consegna di Gerusalemme e che loro li avevano
eliminati come traditori della comune libertà[9]; insomma, me-
navano vanto della loro criminosa audacia come se fossero
stati i benefattori e i salvatori della città.

3, 6. Alla fine il popolo giunse a tale estremo di impotenza 147
e di terrore, e quelli di follia, da voler prendere nelle loro
mani anche l'elezione dei sommi sacerdoti. Pertanto aboli- 148
rono i privilegi delle famiglie da cui si erano sempre presi a
turno i sommi sacerdoti, e nominarono individui comuni e
di bassa estrazione per averli alleati nelle loro empie ribalderie;
infatti, chi senza meriti aveva ottenuto la piú alta dignità era 149
necessariamente asservito a coloro che gliel'avevano fatta rag-
giungere. Inoltre, con varie manovre a base di menzogne, 150
misero in urto tra loro le autorità di governo, traendo van-
taggio dal contrasto di chi avrebbe potuto tenerli a freno, e
alla fine, sazi dei delitti consumati contro gli uomini, rivolsero
la loro violenza contro la divinità e con i loro piedi impuri
entrarono nel santuario.

3, 7. Poiché il popolo ormai insorgeva contro di loro, in- 151
citato da Anano[10], il piú anziano dei sommi sacerdoti, che
forse sarebbe riuscito a salvare la città se fosse scampato alle
mani dei cospiratori, quelli trasformarono il tempio del dio
nel loro fortilizio e in un baluardo contro le sommosse popo-
lari, sí che il santuario diventò il loro comando generale[11].
A queste infamie si aggiunse anche lo scherno, piú doloroso 152
dei misfatti. Mettendo a prova lo smarrimento del popolo e 153
dando la misura della loro potenza, essi vollero infatti intro-

τοὺς ἀρχιερεῖς οὔσης, ὡς ἔφαμεν, κατὰ γένος αὐτῶν τῆς διαδοχῆς. 154 ἦν δὲ πρόσχημα μὲν τῆς ἐπιβολῆς ἔθος ἀρχαῖον, ἐπειδὴ καὶ πάλαι κληρωτὴν ἔφασαν εἶναι τὴν ἀρχιερωσύνην, τὸ δ' ἀληθὲς τοῦ βεβαιοτέρου κατάλυσις καὶ τέχνη 115 πρὸς δυναστείαν τὰς ἀρχὰς δι' αὐτῶν καθισταμένοις.

3, 8. καὶ δὴ μεταπεμψάμενοι μίαν τῶν ἀρχιερατικῶν 155 φυλήν, Ἐνιάχιν καλεῖται, διεκλήρουν ἀρχιερέα, λαγχάνει δ' ἀπὸ τύχης ὁ μάλιστα διαδείξας αὐτῶν τὴν παρανομίαν, Φαννί τις ὄνομα, υἱὸς Σαμουήλου κώμης Ἀφθίας, ἀνὴρ 120 οὐ μόνον οὐκ ἐξ ἀρχιερέων, ἀλλ' οὐδ' ἐπιστάμενος σαφῶς τί ποτ' ἦν ἀρχιερωσύνη δι' ἀγροικίαν. 156 ἀπὸ γοῦν τῆς χώρας αὐτὸν ἄκοντα σύραντες ὥσπερ ἐπὶ σκηνῆς ἀλλοτρίῳ κατεκόσμουν προσωπείῳ, τήν τ' ἐσθῆτα περιτιθέντες τὴν ἱερὰν καὶ τὸ τί δεῖ ποιεῖν ἐπὶ καιροῦ διδάσκοντες. 157 χλεύη δ' ἦν 125 ἐκείνοις καὶ παιδιὰ τὸ τηλικοῦτον ἀσέβημα, τοῖς δ' ἄλλοις ἱερεῦσιν ἐπιθεωμένοις πόρρωθεν παιζόμενον τὸν νόμον δακρύειν ἐπῄει καὶ κατέστενον τὴν τῶν ἱερῶν τιμῶν κατάλυσιν.

3, 9. ταύτην τὴν τόλμαν αὐτῶν οὐκ ἤνεγκεν ὁ δῆμος, 158 ἀλλ' ὥσπερ ἐπὶ τυραννίδος κατάλυσιν ὥρμηντο πάντες· 130 καὶ γὰρ οἱ προύχειν αὐτῶν δοκοῦντες, 159 Γωρίων τε υἱὸς Ἰωσήπου καὶ ὁ Γαμαλιήλου Συμεών, παρεκρότουν ἔν τε ταῖς ἐκκλησίαις ἀθρόους καὶ κατ' ἰδίαν περιιόντες ἕκαστον ἤδη ποτὲ τίσασθαι τοὺς λυμεῶνας τῆς ἐλευθερίας καὶ καθᾶραι τῶν μιαιφόνων τὸ ἅγιον, 160 οἵ τε δοκιμώτατοι τῶν 135 ἀρχιερέων, Γαμάλα μὲν υἱὸς Ἰησοῦς Ἀνάνου δὲ Ἄνανος, πολλὰ τὸν δῆμον εἰς νωθείαν κατονειδίζοντες ἐν ταῖς συνόδοις ἐπήγειρον τοῖς ζηλωταῖς· 161 τοῦτο γὰρ αὐτοὺς ἑκά-

112. ἐπιβολῆς Niese ἐπιβουλῆς codd. 114. βεβαιοτέρου: βεβαιοτέρου νόμου PAMVRC 115. αὐτῶν: αὑτῶν AVR 116. ἀρχιερατικῶν: ἱερατικῶν VR 118. διαδείξας: διαδεξόμενος VR 119. Φαννί τις: φαννίτης MVA² φάνι τις L φαννίας τίς C 123. περιτιθέντες: περιθέντες L 129. ὥσπερ: ὡς AMLVRC 131. Γαμαλιήλου: γαμαήλου PAL 132. περιιόντες: παριόντες P 137. ἐπήγειρον: ἐπήγειραν VRC | αὐτοὺς: αὑτοὺς PA ἑαυτοὺς L

durre il sorteggio per la scelta dei sommi sacerdoti mentre la successione di costoro, come abbiamo detto, era regolata in base alle famiglie. 154 A giustificazione di tale progetto addussero un'antica usanza, affermando che anche anticamente il sommo sacerdozio si assegnava mediante sorteggio, mentre in realtà miravano a distruggere un sistema ben radicato e il loro era un artificio per dominare, giacché erano essi che manovravano l'attribuzione delle cariche[12].

3, 8. Pertanto convocarono uno dei casati dei sommi sa- 155 cerdoti, di nome Eniachin, e ne estrassero a sorte un sommo sacerdote. Uscí per caso un individuo tale che nessuno meglio di lui avrebbe potuto mettere in luce la loro soperchieria: si chiamava Fanni, figlio di Samuele, del villaggio di Aftia, il quale non solo non discendeva da sommi sacerdoti, ma era tanto rozzo da non sapere nemmeno che cosa fosse il sommo sacerdozio. 156 Comunque, lo strapparono contro il suo volere dalla campagna e lo travestirono come chi interpreta un personaggio sulle scene facendogli indossare i sacri paramenti e insegnandogli che cosa dovesse fare per l'occasione[13]. 157 Una tale empietà era per loro una burla e uno scherzo, ma agli altri sacerdoti che assistevano da lontano alla derisione della legge veniva da piangere, ed essi gemevano sulla fine dei sacri onori.

3, 9. Questa loro prepotenza il popolo non poté tollerarla, 158 e tutti insorsero come per abbattere un governo dispotico. 159 Le personalità piú eminenti, quali Gorion figlio di Giuseppe[14] e Simeone figlio di Gamaliel[15], li incitavano infatti sia tutt'insieme nelle assemblee, sia recandosi a visitarli ad uno ad uno, perché una buona volta punissero i traditori della libertà e purificassero il santuario da quegli empi assassini. 160 Nello stesso tempo i piú autorevoli dei sommi sacerdoti, Gesú figlio di Gamala[16] e Anano[17] figlio di Anano, biasimando senza posa nelle assemblee il popolo per la sua apatia, lo istigarono contro gli Zeloti; tale, infatti, era il nome che quelli si erano dati[18], 161

λεσαν ὡς ἐπ' ἀγαθοῖς ἐπιτηδεύμασιν, ἀλλ' οὐχὶ ζηλώσαντες
τὰ κάκιστα τῶν ἔργων καὶ ὑπερβαλλόμενοι.

140 **3,** 10. καὶ δὴ συνελθόντος τοῦ πλήθους εἰς ἐκκλησίαν 162
καὶ πάντων ἀγανακτούντων μὲν ἐπὶ τῇ καταλήψει τῶν
ἁγίων ταῖς τε ἁρπαγαῖς καὶ τοῖς πεφονευμένοις, οὔπω
δὲ πρὸς τὴν ἄμυναν ὡρμημένων τῷ δυσεπιχειρήτους, ὅπερ
ἦν, τοὺς ζηλωτὰς ὑπολαμβάνειν, καταστὰς ἐν μέσοις ὁ
145 Ἄνανος καὶ πολλάκις εἰς τὸν ναὸν ἀπιδὼν ἐμπλήσας τε
τοὺς ὀφθαλμοὺς δακρύων «ἦ καλόν γ'» εἶπεν, «ἦν ἐμοὶ 163
τεθνάναι πρὶν ἐπιδεῖν τὸν οἶκον τοῦ θεοῦ τοσούτοις ἄγεσι
καταγέμοντα καὶ τὰς ἀβάτους καὶ ἁγίας χώρας ποσὶ μιαι-
φόνων στενοχωρουμένας. ἀλλὰ περικείμενος τὴν ἀρχιερα- 164
150 τικὴν ἐσθῆτα καὶ τὸ τιμιώτατον καλούμενος τῶν σεβα-
σμίων ὀνομάτων, ζῶ καὶ φιλοψυχῶ, μηδ' ὑπὲρ τοὐμοῦ γήρως
ὑπομένων εὐκλεῆ θάνατον· εἰ δὲ δεῖ, μόνος εἶμι καὶ καθάπερ
ἐν ἐρημίᾳ τὴν ἐμαυτοῦ ψυχὴν ἐπιδώσω μόνην ὑπὲρ τοῦ
θεοῦ. τί γὰρ καὶ δεῖ ζῆν ἐν δήμῳ συμφορῶν ἀναισθητοῦντι 165
155 καὶ παρ' οἷς ἀπόλωλεν ἡ τῶν ἐν χερσὶ παθῶν ἀντίληψις;
ἁρπαζόμενοι γοῦν ἀνέχεσθε καὶ τυπτόμενοι σιωπᾶτε, καὶ
τοῖς φονευομένοις οὐδ' ἐπιστένει τις ἀναφανδόν. ὢ τῆς πικρᾶς 166
τυραννίδος. τί δὲ μέμφομαι τοὺς τυράννους; μὴ γὰρ οὐκ
ἐτράφησαν ὑφ' ὑμῶν καὶ τῆς ὑμετέρας ἀνεξικακίας; μὴ 167
160 γὰρ οὐχ ὑμεῖς περιιδόντες τοὺς πρώτους συνισταμένους,
ἔτι δ' ἦσαν ὀλίγοι, πλείους ἐποιήσατε τῇ σιωπῇ καὶ καθο-
πλιζομένων ἠρεμοῦντες καθ' ἑαυτῶν ἐπεστρέψατε τὰ ὅπλα,
δέον τὰς πρώτας αὐτῶν ἐπικόπτειν ὁρμάς, ὅτε λοιδορίαις 168
καθήπτοντο τῶν εὐγενῶν, ὑμεῖς δ' ἀμελήσαντες ἐφ' ἁρπα-
165 γὰς παρωξύνατε τοὺς ἀλιτηρίους, καὶ πορθουμένων οἴκων

138. ἀλλ' οὐχὶ L Lat ἄλλους PAMVRC 139. καὶ: om. PA 143. ὅπερ: ὥσπερ M 144. ὁ: om. VRC 150. καλούμενος: καλούμενον PAMLR 151. μηδ' Destinon μήθ' PAML μηκέτι VRC 152. εἰ δὲ δεῖ Thackeray εἰ δεῖ μὴ PA εἰ δὴ μὴ L εἰ δὲ δὴ MVRC | εἶμι Destinon coll. Lat *ibo* εἰμὶ codd. 156. γοῦν: οὖν PAM 158. δὲ: om. PL[1]C 164. εὐγενῶν Destinon συγγενῶν codd. 164-5. ἁρπαγὰς: ἁρπαγαῖς AMLVR

quasi fossero zelatori di opere buone e non invece al massimo grado delle piú turpi.

3, 10. Una volta che il popolo era raccolto in assemblea 162 e tutti erano indignati per l'occupazione del santuario, per le ruberie e per le uccisioni, ma non avevano ancora intrapreso alcuna azione di resistenza perché ritenevano, e a ragione, che non sarebbe stato facile mettere a posto gli Zeloti, si levò a parlare tra la folla Anano e, rivolgendo ripetutamente lo sguardo al tempio con gli occhi pieni di lacrime, cosí disse: «Come sarebbe stato bello per me morire prima di vedere 163 la casa del dio ricolma di tanti empi misfatti e i luoghi inaccessibili e sacri violati da piedi tanto scellerati! E invece, rive- 164 stito dei paramenti del sommo sacerdozio[19] e insignito del piú venerando dei titoli sacri, io vivo e sono attaccato alla vita, senza il coraggio di affrontare una morte gloriosa in cambio della mia vecchiaia. Se è necessario, andrò io solo e, come in un deserto, offrirò la mia sola vita in sacrificio per il dio. A che, infatti, vivere tra un popolo insensibile alle sven- 165 ture, e fra gente che ha perduto la forza di opporsi ai mali che l'assalgono? Infatti vi spogliano e voi lasciate fare, vi battono e voi non fiatate, e sugli uccisi nessuno osa piangere apertamente. Oh amara tirannide! Ma perché rimproverare i 166 tiranni? Non sono essi cresciuti per colpa vostra e della vostra sopportazione? Non foste voi, lasciando che i primi si riunis- 167 sero quand'erano pochi, a farli diventare di piú col vostro tacere, e ad attirare contro di voi le loro armi mentre essi si armavano senza che voi abbandonaste la vostra inerzia? Al- 168 lora invece bisognava stroncare i loro primi assalti, quando si scagliarono con le loro ingiurie sui nobili e voi, col non dare importanza alla cosa, incoraggiaste quegli empi alle ruberie, e non una voce si levò mentre le case venivano saccheggiate;

λόγος ἦν οὐδείς· τοιγαροῦν αὐτοὺς ἥρπαζον τοὺς δεσπότας,
καὶ συρομένοις διὰ μέσης τῆς πόλεως οὐδεὶς ἐπήμυνεν.
οἱ δὲ καὶ δεσμοῖς ᾐκίσαντο τοὺς ὑφ' ὑμῶν προδοθέντας, 169
ἐῶ λέγειν πόσους καὶ ποδαπούς· ἀλλ' ἀκαταιτιάτοις ἀκρίτοις
170 οὐδεὶς ἐβοήθησε τοῖς δεδεμένοις. ἀκόλουθον ἦν ἐπιδεῖν τοὺς 170
αὐτοὺς φονευομένους. ἐπείδομεν καὶ τοῦτο, καθάπερ ἐξ
ἀγέλης ζῴων ἀλόγων ἑλκομένου τοῦ κρατιστεύοντος ἀεὶ
θύματος, οὐδὲ φωνήν τις ἀφῆκεν, οὐχ ὅπως ἐκίνησε τὴν
δεξιάν. φέρετε δὴ τοίνυν, φέρετε πατούμενα βλέποντες καὶ 171
175 τὰ ἅγια καὶ πάντας ὑποθέντες αὐτοὶ τοῖς ἀνοσίοις τοὺς τῶν
τολμημάτων βαθμοὺς μὴ βαρύνεσθε τὴν ὑπεροχήν· καὶ γὰρ
νῦν πάντως ἂν ἐπὶ μεῖζον προύκοψαν, εἴ τι τῶν ἁγίων
καταλῦσαι μεῖζον εἶχον. κεκράτηται μὲν οὖν τὸ ὀχυρώ- 172
τατον τῆς πόλεως· λεγέσθω γὰρ νῦν τὸ ἱερὸν ὡς ἄκρα τις
180 ἢ φρούριον· ἔχοντες δ' ἐπιτετειχισμένην τυραννίδα τοσαύτην
καὶ τοὺς ἐχθροὺς ὑπὲρ κορυφὴν βλέποντες, τί βουλεύεσθε
καὶ τίσι τὰς γνώμας προσθάλπετε; Ῥωμαίους ἄρα πε- 173
ριμενεῖτε, ἵν' ἡμῶν βοηθήσωσι τοῖς ἁγίοις; ἔχει μὲν οὕτως
τὰ πράγματα τῇ πόλει, καὶ πρὸς τοσοῦτον ἥκομεν συμ-
185 φορῶν, ἵν' ἡμᾶς ἐλεήσωσι καὶ πολέμιοι; οὐκ ἐξαναστήσεσθε, 174
ὦ τλημονέστατοι, καὶ πρὸς τὰς πληγὰς ἐπιστραφέντες, ὃ
κἀπὶ τῶν θηρίων ἔστιν ἰδεῖν, τοὺς τύπτοντας ἀμυνεῖσθε;
οὐκ ἀναμνήσεσθε τῶν ἰδίων ἕκαστος συμφορῶν, οὐδ' ἃ
πεπόνθατε πρὸ ὀφθαλμῶν θέμενοι τὰς ψυχὰς ἐπ' αὐτοὺς
190 θήξετε πρὸς τὴν ἄμυναν; ἀπόλωλεν ἄρα παρ' ὑμῖν τὸ τιμι- 175
ώτατον τῶν παθῶν καὶ φυσικώτατον, ἐλευθερίας ἐπιθυμία,
φιλόδουλοι δὲ καὶ φιλοδέσποτοι γεγόναμεν, ὥσπερ ἐκ προ-
γόνων τὸ ὑποτάσσεσθαι παραλαβόντες. ἀλλ' ἐκεῖνοί γε 176
πολλοὺς καὶ μεγάλους ὑπὲρ τῆς αὐτονομίας πολέμους δι-

169. ἀκαταιτιάτοις: ἀκαταιτιάτους LVRC | ἀκρίτοις: ἀκρίτως L ἀκρίτους VRC 171. ἐπείδομεν: ἐπίδομεν PAV[1]R 172. κρατιστεύοντος: κρατίστου L κρατίστου ὄντος VRC 174. καί: om. PAMVRC 175. αὐτοί: αὐτοῖς PA[1]ML[2] αὐτοὺς L[1]V αὑτοὺς R om. C 180. ἔχοντες: ἑλόντες PA ὁρῶντες M 181. βουλεύεσθε: βούλεσθε LRC 189. ἐπ': ἀπ' MVRC | αὐτούς: αὐτοῖς L[1] αὐτῶν MVRC 190. ὑμῖν: ἡμῖν C

poi essi misero le mani sulle persone dei padroni e, mentre questi venivano trascinati attraverso la città, nessuno accorse in loro aiuto. Ed essi inflissero il disonore del carcere a coloro 169 che voi avevate tradito, e tralascio di dire quanti e quali erano quelli che, sebbene non fossero stati né incolpati né processati, restarono in catene senza che alcuno li soccorresse. Inevitabile conclusione doveva essere lo spettacolo della loro 170 strage, e anche a questo abbiamo assistito, come quando da un gregge di bestie se ne traggono una dopo l'altra le migliori come vittime sacrificali, e nessuno disse una parola e tanto meno mosse un dito. E allora, sopportate pazientemente di 171 vedere calpestati i luoghi santi, e dopo aver voi stessi fatto salire a quegli empi tutti i gradini dell'audacia criminosa, non vi sia grave che essi abbiano raggiunto il limite estremo. Certo ora si sarebbero spinti ancora oltre se avessero avuto da far scempio di qualche cosa di ancora piú importante. Si 172 sono impadroniti del luogo piú forte della città (infatti ora del tempio si deve parlare come di una rocca o di una fortezza); e allora, con tali oppressori trincerati nella città, e vedendo i nemici che vi minacciano dall'alto, che cosa pensate di fare e con quali speranze riscaldate i vostri cuori? Aspettate i romani, 173 perché siano essi a riscattare i nostri luoghi santi? La città è dunque ridotta in tali condizioni e siamo arrivati a tanta miseria, che anche i nemici debbono muoversi a pietà per noi? Non vi scuoterete, o gente anche troppo paziente, e rivoltandovi contro i colpi, come fanno le belve, non vi difenderete 174 da chi vi colpisce? Non vi ricorderete ognuno delle sue sofferenze e, tenendo dinanzi agli occhi quanto avete patito, non infiammerete gli animi a trarre vendetta su di loro? È 175 svanito, dunque, in voi il piú nobile e naturale dei sentimenti, l'amore per la libertà, e siamo diventati desiderosi di servire e di aver un padrone come se dagli antenati avessimo ricevuto in retaggio la schiavitú. Essi, invece, sostennero nume- 176 rose e aspre guerre in difesa della libertà, e resistettero alla

195 ἤνεγκαν καὶ οὔτε τῆς Αἰγυπτίων οὔτε τῆς Μήδων δυνασ-
τείας ἡττήθησαν ὑπὲρ τοῦ μὴ ποιεῖν τὸ κελευόμενον. καὶ 177
τί δεῖ τὰ τῶν προγόνων λέγειν; ἀλλ' ὁ νῦν πρὸς Ῥωμαίους
πόλεμος, ἐῶ διελέγχειν πότερον λυσιτελὴς ὢν καὶ σύμφορος
ἢ τοὐναντίον, τίνα δ' οὖν ἔχει πρόφασιν; οὐ τὴν ἐλευθε- 178
200 ρίαν; εἶτα τοὺς τῆς οἰκουμένης δεσπότας μὴ φέροντες τῶν
ὁμοφύλων τυράννων ἀνεξόμεθα; καίτοι τὸ μὲν τοῖς ἔξωθεν 179
ὑπακούειν ἀνενέγκαι τις ἂν εἰς τὴν ἅπαξ ἡττήσασαν τύχην,
τὸ δὲ τοῖς οἰκείοις εἴκειν πονηροῖς ἀγεννῶν ἐστι καὶ προαι-
ρουμένων. ἐπειδὴ δὲ ἅπαξ ἐμνήσθην Ῥωμαίων, οὐκ ἀπο- 180
205 κρύψομαι πρὸς ὑμᾶς εἰπεῖν ὃ μεταξὺ τῶν λόγων ἐμπεσὸν
ἐπέστρεψε τὴν διάνοιαν, ὅτι κἂν ἁλῶμεν ὑπ' ἐκείνοις,
ἀπείη δὲ ἡ πεῖρα τοῦ λόγου, χαλεπώτερον οὐδὲν παθεῖν
ἔχομεν ὧν ἡμᾶς διατεθείκασιν οὗτοι. πῶς δ' οὐ δακρύων 181
ἄξιον ἐκείνων μὲν ἐν τῷ ἱερῷ καὶ ἀναθήματα βλέπειν,
210 τῶν δὲ ὁμοφύλων τὰ σκῦλα σεσυληκότων καὶ ἀνελόντων
τὴν τῆς μητροπόλεως εὐγένειαν, καὶ πεφονευμένους ἄνδρας
ὧν ἀπέσχοντο ἂν κἀκεῖνοι κρατήσαντες; καὶ Ῥωμαίους 182
μὲν μηδέποτε ὑπερβῆναι τὸν ὅρον τῶν βεβήλων μηδὲ παρα-
βῆναί τι τῶν ἱερῶν ἐθῶν, πεφρικέναι δὲ πόρρωθεν ὁρῶντας
215 τοὺς τῶν ἁγίων περιβόλους, γεννηθέντας δέ τινας ἐν τῇδε τῇ 183
χώρᾳ καὶ τραφέντας ὑπὸ τοῖς ἡμετέροις ἔθεσι καὶ Ἰου-
δαίους καλουμένους ἐμπεριπατεῖν μέσοις τοῖς ἁγίοις, θερ-
μὰς ἔτι τὰς χεῖρας ἐξ ὁμοφύλων ἔχοντας φόνων; εἶτά 184
τις δέδοικεν τὸν ἔξωθεν πόλεμον καὶ τοὺς ἐν συγκρίσει
220 πολλῷ τῶν οἰκείων ἡμῖν μετριωτέρους; καὶ γὰρ ἄν, εἰ
ἐτύμους δεῖ τοῖς πράγμασι τὰς κλήσεις ἐφαρμόζειν, τάχα
ἂν εὕροι τις Ῥωμαίους μὲν ἡμῖν βεβαιωτὰς τῶν νόμων,
πολεμίους δὲ τοὺς ἔνδον. ἀλλ' ὅτι μὲν ἐξώλεις οἱ ἐπίβουλοι 185

202. ἀνενέγκαι: ἐνέγκαι PALC | ἂν: om. PAM | ἡττήσασαν: ἡττηθεῖσαν LC
203. εἴκειν: ἥκειν V 207. ἀπείη: ἀπῄει AL^1V^1R 212. ἂν: om. L
215. γεννηθέντας: ita codd. omnes γενηθέντας mavult Niese 218-9. εἶτά τις Bekker εἶτα τίς codd. 220. ἂν: om. L recte ut videtur | εἰ: om. PAL
221. ἐτύμους: ἑτοίμους PAL^2RC ἐτοίμους V 222. μὲν: μὲν οὖν PA

dominazione degli Egiziani e dei Medi[20] rifiutandosi di sotto-
stare ai loro comandi. Ma perché parlare degli antenati? An- 177
che l'attuale guerra contro i romani – lasciando da parte se
sia utile e giovevole oppure no – qual è il suo motivo? Non
è la libertà? E allora, noi che non tolleriamo di sottostare ai 178
padroni del mondo saremo soggetti all'oppressione di nostri
connazionali? Eppure la soggezione allo straniero potrebbe 179
attribuirsi a un colpo avverso della fortuna, mentre il piegare
la schiena di fronte alla prepotenza di connazionali è da vi-
gliacchi e da consenzienti. Poiché ho accennato ai romani, 180
non voglio tenervi celato un pensiero che mi ha attraversato
la mente mentre parlavo: se anche dovessimo cadere nelle
loro mani – e lungi sia che le mie parole risultino vere – non
avremo a patire sofferenze piú gravi di quelle che ci hanno
inflitte costoro[21]. Come non piangere a vedere nel santuario 181
perfino dei doni votivi offerti dai romani e, accanto ad essi,
le spoglie che i connazionali hanno raccolto depredando e
sterminando la nobiltà della metropoli? Come non piangere 182
per la strage di persone che finanche i romani avrebbero ri-
sparmiato in caso di vittoria? Come non piangere se, mentre
i romani non hanno mai varcato il limite imposto ai profani[22]
né violato alcuno dei sacri riti, contemplando da lontano con
timore reverenziale il recinto dei luoghi santi, viceversa gente 183
nata in questi luoghi e cresciuta secondo i nostri usi, e che
porta il nome di giudei, si aggira nel santuario con le mani
ancora calde del sangue dei connazionali? E dopo tutto ciò 184
qualcuno avrà timore di combattere contro gli stranieri, che
al paragone dei connazionali sono verso di noi assai piú miti?
In verità, se dobbiamo dare alle cose il loro vero nome, si
troverà forse che i difensori delle nostre istituzioni sono i
romani, mentre gli eversori ne sono i connazionali. Che i 185
traditori della libertà sono gente perniciosa, che non si po-

τῆς ἐλευθερίας, καὶ πρὸς ἃ δεδράκασιν οὐκ ἄν τις ἐπινο-
225 ήσειεν δίκην ἀξίαν κατ' αὐτῶν, οἶμαι πάντας ἥκειν πεπει-
σμένους οἴκοθεν καὶ πρὸ τῶν ἐμῶν λόγων παρωξύνθαι τοῖς
ἔργοις ἐπ' αὐτούς, ἃ πεπόνθατε. καταπλήσσονται δ' ἴσως 186
οἱ πολλοὶ τό τε πλῆθος αὐτῶν καὶ τὴν τόλμαν, ἔτι δὲ καὶ
τὴν ἐκ τοῦ τόπου πλεονεξίαν. ταῦτα δ' ὥσπερ συνέστη 187
230 διὰ τὴν ὑμετέραν ἀμέλειαν, καὶ νῦν αὐξηθήσεται πλέον
ὑπερθεμένων· καὶ γὰρ τὸ πλῆθος αὐτοῖς ἐπιτρέφεται καθ'
ἡμέραν, παντὸς πονηροῦ πρὸς τοὺς ὁμοίους αὐτομολοῦν-
τος, καὶ τὴν τόλμαν ἐξάπτει μέχρι νῦν μηδὲν ἐμπόδιον, 188
τῷ τε τόπῳ καθύπερθεν ὄντες χρήσαιντ' ἂν καὶ μετὰ πα-
235 ρασκευῆς, ἂν ἡμεῖς χρόνον δῶμεν. πιστεύσατε δ' ὡς, ἐὰν 189
προσβαίνωμεν ἐπ' αὐτούς, ἔσονται τῇ συνειδήσει ταπει-
νότεροι, καὶ τὸ πλεονέκτημα τοῦ ὕψους ὁ λογισμὸς ἀπολεῖ.
τάχα τὸ θεῖον ὑβρισμένον ἀναστρέψει κατ' αὐτῶν τὰ βαλ- 190
λόμενα, καὶ τοῖς σφετέροις διαφθαρήσονται βέλεσιν οἱ δυσ-
240 σεβεῖς. μόνον ὀφθῶμεν αὐτοῖς, καὶ καταλέλυνται. καλὸν 191
δέ, κἂν προσῇ τις κίνδυνος, ἀποθνήσκειν πρὸς τοῖς ἱεροῖς
πυλῶσι καὶ τὴν ψυχήν, εἰ καὶ μὴ πρὸ παίδων ἢ γυναικῶν,
ἀλλ' ὑπὲρ τοῦ θεοῦ καὶ τῶν ἁγίων προέσθαι. προστήσομαι 192
δ' ἐγὼ γνώμῃ τε καὶ χειρί, καὶ οὔτ' ἐπίνοιά τις ὑμῖν λείψει
245 πρὸς ἀσφάλειαν ἐξ ἡμῶν οὔτε τοῦ σώματος ὄψεσθε φει-
δόμενον ».

3, 11. τούτοις ὁ Ἄνανος παρακροτεῖ τὸ πλῆθος ἐπὶ 193
τοὺς ζηλωτάς. οὐκ ἀγνοῶν μὲν ὡς εἶεν ἤδη δυσκατάλυτοι
πλήθει τε καὶ νεότητι καὶ παραστήματι ψυχῆς, τὸ πλέον
250 δὲ συνειδήσει τῶν εἰργασμένων· οὐ γὰρ ἐνδώσειν αὐτοὺς
εἰς ἔσχατον συγγνώμην ἐφ' οἷς ἔδρασαν ἀπελπίσαντας·
ὅμως δὲ πᾶν ὁτιοῦν παθεῖν προῃρεῖτο μᾶλλον ἢ περιιδεῖν 194

225. ἥκειν: εἴκειν LVRC 234. χρήσαιντ' ἂν Niese χρήσαιντο codd. 245. ὄψεσθε: ὄψεσθαι AV[1]C 251. ἔσχατον Hudson ἐσχάτην codd. | ἀνελπίσαντας Destinon ἐλπίσαντας MVRC ἐλπίσαντες PAL 252. προῃρεῖτο: προήρητο MVR προειρεῖτο C

trebbe inventare per loro un castigo adeguato alle colpe, ritengo che già tutti lo sapeste prima di venire qui dalle vostre case, e che già prima delle mie parole voi foste esasperati contro di loro per le violenze che vi hanno costretti a subire. Forse i piú di voi tremeranno al pensiero del loro numero, 186 della loro audacia e per di piú del vantaggio della loro posizione. Ma questa situazione, come si è creata per la vostra 187 inerzia, cosí si aggraverà maggiormente se voi indugerete. Il loro numero si accresce ogni giorno perché ogni farabutto va ad unirsi ai suoi simili, il loro ardire aumenta perché finora 188 non ha trovato ostacoli e, se gliene daremo il tempo, al vantaggio della posizione dominante aggiungeranno quello di poter fare preparativi. Credete pure che, se muoveremo contro 189 di loro, i rimorsi di coscienza li renderanno meno baldanzosi e la riflessione sulle loro colpe annullerà il vantaggio della posizione dominante. Forse la divinità offesa ritorcerà contro 190 di essi i loro dardi, e gli empi saranno sterminati dalle loro stesse armi. Basterà solo che ci vedano, e saranno finiti. Se 191 pure si dovrà affrontare qualche pericolo, sarà bello cadere presso le sacre porte e sacrificare le nostre vite, anche se non per le mogli e i figli, per il dio e per il santuario. Io vi guiderò 192 col senno e con la mano, e non mancherò di avere ogni cura per la vostra sicurezza, né mi vedrete risparmiare la mia persona. »

3, 11. Con queste parole Anano incitò il popolo contro gli 193 Zeloti, pur non ignorando che sarebbe stato difficile batterli e per il numero e per il vigore giovanile e per l'ardimento, ma soprattutto per la consapevolezza dei loro misfatti. Infatti, disperando del perdono per ciò che avevano commesso, quelli avrebbero resistito fino all'ultimo. Ma egli preferiva di af- 194 frontare ogni sofferenza piuttosto che acconciarsi a una si-

www.scribd.com/Cultura_in_Ita5

ἐν τοιαύτῃ τὰ πράγματα συγχύσει. τὸ δὲ πλῆθος ἄγειν αὐτοὺς ἐβόα καθ' ὧν παρεκάλει, καὶ προκινδυνεύειν ἕκαστος ἦν ἑτοιμότατος.

3, 12. ἐν ὅσῳ δὲ ὁ Ἄνανος κατέλεγέ τε καὶ συνέτασσε τοὺς ἐπιτηδείους πρὸς μάχην, οἱ ζηλωταὶ πυνθανόμενοι τὴν ἐπιχείρησιν, παρῆσαν γὰρ οἱ ἀγγέλλοντες αὐτοῖς πάντα τὰ παρὰ τοῦ δήμου, παροξύνονται κἀκ τοῦ ἱεροῦ προπηδῶντες ἀθρόοι τε καὶ κατὰ λόχους οὐδενὸς ἐφείδοντο τῶν προστυγχανότων. ἀθροίζεται δ' ὑπ' Ἀνάνου ταχέως τὸ δημοτικόν, πλήθει μὲν ὑπερέχον, ὅπλοις δὲ καὶ τῷ μὴ συγκεκροτῆσθαι λειπόμενον τῶν ζηλωτῶν. τὸ πρόθυμον δὲ παρ' ἑκατέροις ἀνεπλήρου τὰ λείποντα, τῶν μὲν ἀπὸ τῆς πόλεως ἀνειληφότων ὀργὴν ἰσχυροτέραν τῶν ὅπλων, τῶν δ' ἀπὸ τοῦ ἱεροῦ τόλμαν παντὸς πλήθους ὑπερέχουσαν· καὶ οἱ μὲν ἀοίκητον ὑπολαμβάνοντες αὐτοῖς τὴν πόλιν εἰ μὴ τοὺς λῃστὰς ἐκκόψειαν αὐτῆς, οἱ ζηλωταὶ δ' εἰ μὴ κρατοῖεν οὐκ ἔστιν ἧστινος ὑστερήσειν τιμωρίας, συνερρήγνυντο στρατηγούμενοι τοῖς πάθεσι, τὸ μὲν πρῶτον κατὰ τὴν πόλιν καὶ πρὸ τοῦ ἱεροῦ λίθοις βάλλοντες ἀλλήλους καὶ πόρρωθεν διακοντιζόμενοι, κατὰ δὲ τὰς τροπὰς οἱ κρατοῦντες ἐχρῶντο τοῖς ξίφεσι· καὶ πολὺς ἦν ἑκατέρων φόνος, τραυματίαι τε ἐγίνοντο συχνοί. καὶ τοὺς μὲν ἀπὸ τοῦ δήμου διεκόμιζον εἰς τὰς οἰκίας οἱ προσήκοντες, ὁ δὲ βληθεὶς τῶν ζηλωτῶν εἰς τὸ ἱερὸν ἀνῄει καθαιμάσσων τὸ θεῖον ἔδαφος· καὶ μόνον ἄν τις εἴποι τὸ ἐκείνων αἷμα μιᾶναι τὰ ἅγια. κατὰ μὲν οὖν τὰς συμβολὰς ἐκτρέχοντες ἀεὶ περιῆσαν οἱ λῃστρικοί, τεθυμωμένοι δ' οἱ δημοτικοὶ καὶ πλείους ἀεὶ γινόμενοι, κακίζοντες τοὺς ἐνδιδόντας καὶ μὴ διδόντες τοῖς τρεπομένοις ἀναχώρησιν οἱ κατόπιν βιαζόμενοι, πᾶν μὲν ἐπιστρέφουσι τὸ σφέτερον εἰς τοὺς ὑπεναντίους· κἀκείνων μηκέτ' ἀντεχόντων

257. πυνθανόμενοι: πυθόμενοι MLC 262. τῷ: τὸ PLV[1]C 264. μὲν: μὲν οὖν P 267. αὐτοῖς: αὐτοῖς PAMV ἑαυτοῖς LC 269. συνερρήγνυντο: συνερρήγνυντο δὲ PA[1]MLVRC 282. ὑπεναντίους: ἐναντίους LVRC

tuazione tanto rovinosa. Anche il popolo gli gridò di guidarlo a dare addosso a chi egli diceva, e tutti erano prontissimi a marciare in prima fila.

3, 12. Mentre Anano raccoglieva e organizzava gli uomini atti alle armi, gli Zeloti, informati di tali preparativi da gente venuta a riferire tutto ciò che faceva il popolo, andarono sulle furie e, precipitandosi fuori del tempio in schiere o in piccoli gruppi, trucidarono tutti quelli in cui s'imbatterono senza risparmiare nessuno. Anano radunò prontamente le forze del popolo, che erano superiori come numero agli Zeloti, ma inferiori come armi e per mancanza di addestramento. Gli uni e gli altri supplivano con l'ardore a ciò di cui mancavano: i cittadini erano armati di un furore piú potente delle armi, quelli del tempio di un coraggio piú forte di ogni superiorità numerica; gli uni comprendevano che la città sarebbe diventata per loro inabitabile se non ne avessero snidato i briganti, gli Zeloti sapevano che, se non avessero vinto, sarebbero stati sottoposti a ogni sorta di pena. Spinti da tali sentimenti, vennero alle mani. Dapprincipio si scontrarono nella città e davanti al tempio scambiandosi a distanza colpi di pietra e giavellotti, e in caso di fuga i vincitori usavano le spade; molti caddero uccisi dalle due parti e parecchi furono i feriti. Quelli del popolo i parenti se li trascinavano nelle case, mentre gli Zeloti colpiti si ritiravano nel tempio imbrattando di sangue il sacro pavimento, e si può dire che solamente il loro sangue contaminò il santuario[23]. Nelle mischie che si creavano con le loro sortite i banditi ebbero sempre la meglio finché quelli del popolo s'inferocirono e, divenuti sempre piú numerosi, presero a colpire i compagni che indietreggiavano e, premendo da tergo in modo da non lasciare via di scampo a chi voleva fuggire, rovesciarono tutta la loro massa contro gli avversari. Questi non poterono piú resistere alla loro spinta e si ritira-

www.scribd.com/Cultura_in_Ita5

τῇ βίᾳ, κατὰ μικρὸν δ' ἀναχωρούντων εἰς τὸ ἱερὸν συν-
εισπίπτουσιν οἱ περὶ τὸν Ἄνανον. τοῖς δὲ κατάπληξις ἐμπί- 204
285 πτει στερομένοις τοῦ πρώτου περιβόλου, καὶ καταφυγόντες
εἰς τὸ ἐνδοτέρω ταχέως ἀποκλείουσι τὰς πύλας. τῷ δ' 205
Ἀνάνῳ προσβαλεῖν μὲν οὐκ ἐδόκει τοῖς ἱεροῖς πυλῶσιν,
ἄλλως τε κἀκείνων βαλλόντων ἄνωθεν, ἀθέμιτον δ' ἡγεῖτο,
κἂν κρατήσῃ, μὴ προηγνευκὸς εἰσαγαγεῖν τὸ πλῆθος· δια- 206
290 κληρώσας δ' ἐκ πάντων εἰς ἑξακισχιλίους ὁπλίτας καθίστησιν
ἐπὶ ταῖς στοαῖς φρουρούς· διεδέχοντο δ' ἄλλοι τούτους, καὶ 207
παντὶ μὲν ἀνάγκη παρεῖναι πρὸς τὴν φυλακὴν ἐκ περιόδου,
πολλοὶ δὲ τῶν ἐν ἀξιώμασιν ἐφεθέντες ὑπὸ τῶν ἄρχειν δο-
κούντων μισθούμενοι πενιχροτέρους ἀνθ' ἑαυτῶν ἐπὶ τὴν
295 φρουρὰν ἔπεμπον.

3, 13. γίνεται δὲ τούτοις πᾶσιν ὀλέθρου παραίτιος Ἰωάν- 208
νης, ὃν ἔφαμεν ἀπὸ Γισχάλων διαδρᾶναι, δολιώτατος ἀνὴρ
καὶ δεινὸν ἔρωτα τυραννίδος ἐν τῇ ψυχῇ περιφέρων, ὃς
πόρρωθεν ἐπεβούλευε τοῖς πράγμασιν. καὶ δὴ τότε τὰ τοῦ 209
300 δήμου φρονεῖν ὑποκρινόμενος συμπεριῄει μὲν τῷ Ἀνάνῳ
βουλευομένῳ σὺν τοῖς δυνατοῖς μεθ' ἡμέραν καὶ νύκτωρ
ἐπιόντι τὰς φυλακάς, διήγγελλε δὲ τὰ ἀπόρρητα τοῖς ζηλω-
ταῖς, καὶ πᾶν σκέμμα τοῦ δήμου πρὶν καλῶς βουλευθῆναι
παρὰ τοῖς ἐχθροῖς ἐγινώσκετο δι' αὐτοῦ. μηχανώμενος δὲ 210
305 τὸ μὴ δι' ὑποψίας ἐλθεῖν ἀμέτροις ἐχρῆτο ταῖς θεραπείαις
εἰς τόν τε Ἄνανον καὶ τοὺς τοῦ δήμου προεστῶτας. ἐχώρει 211
δ' εἰς τοὐναντίον αὐτῷ τὸ φιλότιμον. διὰ γὰρ τὰς ἀλόγους
κολακείας μᾶλλον ὑπωπτεύετο, καὶ τὸ πανταχοῦ παρεῖναι
μὴ καλούμενον ἔμφασιν προδοσίας τῶν ἀπορρήτων παρεῖχε.
310 συνεώρων μὲν γὰρ αἰσθανομένους ἅπαντα τοὺς ἐχθροὺς τῶν 212
παρ' αὐτοῖς βουλευμάτων, πιθανώτερος δ' οὐδεὶς ἦν Ἰωάννου

283-4. συνεισπίπτουσιν: συνεπιπίπτουσιν PA 286. ἐνδοτέρω: ἐνδότερον (-ώτερον C) LVRC 287. προσβαλεῖν: προσβάλλειν AMVR 289. προηγνευκὸς: προηγνευκότα P προηγνευκότας A 292. ἀνάγκη: ἡ ἀνάγκη VRC | παρεῖναι: παρῆν PA 293. ἐφεθέντες: ἀφεθέντες MVRC 301. σὺν: μὲν σὺν PAVR 310. συνεώρων: συνεώρουν PA[1] | ἅπαντα: ἅπαντας MV[2]R Lat

rono un po' alla volta nel tempio tallonati dagli uomini di
Anano. Demoralizzati per la perdita del primo recinto, gli 204
Zeloti si rifugiarono nel secondo e sbarrarono precipitosa-
mente le porte. Ma Anano non volle dar l'assalto ai sacri 205
portali, anche perché gli avversari scagliavano proiettili dal-
l'alto, e riteneva che anche in caso di vittoria sarebbe stata
un'empietà che la folla dei suoi entrasse prima di aver parte-
cipato a un rito di purificazione. Egli perciò scelse a sorte 206
seimila uomini e li collocò a guardia dei portici, e costoro 207
ebbero poi il cambio da altri; a ognuno toccava un turno di
guardia, ma molti dei cittadini piú in vista, ottenuta licenza
dai comandanti, ne ingaggiarono a pagamento fra i piú poveri
e li inviarono a montar di guardia in loro vece.

3, 13. Tutti questi uomini perirono per colpa di Giovanni, 208
di cui abbiamo ricordato la fuga da Giscala: un uomo quanto
mai subdolo, dominato da una terribile sete di potere, che già
da tempo manovrava per impadronirsene[24]. In quel momento 209
egli fece finta di stare dalla parte dei cittadini e, messosi al
seguito di Anano, che di giorno si incontrava con i notabili
per deliberare e di notte ispezionava gli uomini di guardia,
riferiva poi i segreti agli Zeloti, e ogni progetto del popolo
veniva per suo mezzo a conoscenza dei nemici prima ancora
di essere stato definitivamente approvato. Adoperandosi per 210
non destare sospetti, mostrava una devozione esagerata verso
Anano e i personaggi piú eminenti del popolo. Ma un tal 211
fare ossequioso sortí per lui l'effetto contrario; infatti le adu-
lazioni fuor di luogo accrebbero i sospetti a suo carico, e il
fatto che senza essere convocato si presentava dovunque
costituiva un indizio che fosse lui a rivelare i loro segreti.
Avevano infatti notato che i nemici erano al corrente di tutti 212
i loro piani, e nessuno piú di Giovanni si prestava al sospetto

πρὸς ὑποψίας τοῦ διαγγέλλειν. ἀποσκευάσασθαι μὲν οὖν 213
αὐτὸν οὐχ ἦν ῥᾴδιον, ὄντα τε δυνατὸν ἐκ πονηρίας καὶ
ἄλλως οὐ τῶν ἀσήμων, ὑπεζωσμένον τε πολλοὺς τῶν συνε-
315 δρευόντων τοῖς ὅλοις, ἐδόκει δ' αὐτὸν ὅρκοις πιστώσασθαι
πρὸς εὔνοιαν. ὤμνυε δ' ὁ Ἰωάννης ἑτοίμως εὐνοήσειν τε 214
τῷ δήμῳ καὶ μήτε βουλήν τινα μήτε πρᾶξιν προδώσειν
τοῖς ἐχθροῖς, συγκαταλύσειν δὲ τοὺς ἐπιτιθεμένους καὶ χειρὶ
καὶ γνώμῃ. οἱ δὲ περὶ τὸν Ἄνανον πιστεύσαντες τοῖς ὅρκοις 215
320 ἤδη χωρὶς ὑπονοίας εἰς τὰς συμβουλίας αὐτὸν παρελάμβανον,
καὶ δὴ καὶ πρεσβευτὴν εἰσπέμπουσι πρὸς τοὺς ζηλωτὰς
περὶ διαλύσεων· ἦν γὰρ αὐτοῖς σπουδὴ τὸ παρ' αὐτοῖς μὴ
μιᾶναι τὸ ἱερὸν μηδέ τινα τῶν ὁμοφύλων ἐν αὐτῷ πεσεῖν.

3, 14. ὁ δ' ὥσπερ τοῖς ζηλωταῖς ὑπὲρ εὐνοίας ὀμόσας 216
325 καὶ οὐ κατ' αὐτῶν, παρελθὼν εἴσω καὶ καταστὰς εἰς
μέσους πολλάκις μὲν ἔφη κινδυνεῦσαι δι' αὐτούς, ἵνα μηδὲν
ἀγνοήσωσι τῶν ἀπορρήτων, ὅσα κατ' αὐτῶν οἱ περὶ τὸν
Ἄνανον ἐβουλεύσαντο. νῦν δὲ τὸν μέγιστον ἀναρριπτεῖν 217
κίνδυνον σὺν πᾶσιν αὐτοῖς, εἰ μή τις προσγένοιτο βοήθεια
330 δαιμόνιος. οὐ γὰρ ἔτι μέλλειν Ἄνανον, ἀλλὰ πείσαντα μὲν 218
τὸν δῆμον πεπομφέναι πρέσβεις πρὸς Οὐεσπασιανόν, ἵν'
ἐλθὼν κατὰ τάχος παραλάβῃ τὴν πόλιν, ἁγνείαν δὲ παρηγ-
γελκέναι κατ' αὐτῶν εἰς τὴν ἑξῆς ἡμέραν, ἵν' ἢ κατὰ θρη-
σκείαν εἰσελθόντες ἢ καὶ βιασάμενοι συμμίξωσιν αὐτοῖς. οὐχ 219
335 ὁρᾶν δὲ μέχρι τίνος ἢ τὴν φρουρὰν οἴσουσιν ἢ παρατάξονται
πρὸς τοσούτους. προσετίθει δ' ὡς αὐτὸς εἰσπεμφθείη κατὰ
θεοῦ πρόνοιαν ὡς πρεσβευτὴς ὑπὲρ διαλύσεων· τὸν γὰρ
Ἄνανον ταύτας αὐτοῖς προτείνειν, ὅπως ἀνυποπτοτέροις
ἐπέλθῃ. δεῖν οὖν ἢ τῷ λόγῳ τοῦ ζῆν τοὺς φρουροῦντας 220
340 ἱκετεύειν ἢ πορίζεσθαί τινα παρὰ τῶν ἔξωθεν ἐπικουρίαν·

313. ὄντα τε δυνατὸν Dindorf ὄντα δυνατὸν PAMLC οὔτε δυνατὸν VR 315. ὅλοις: ὅπλοις PAL^2 329. σὺν πᾶσιν: συμπᾶσιν AVR 335. παρατάξονται: παρατάξωνται PA 337. ὑπὲρ: περὶ P | διαλύσεων: διαλύσεως PAVRC 338. ἀνυποπτοτέροις: *nihil suspicantes* Lat ἀνοπλοτέροις PAL^2 ἀνόπλοις MRC ἀόπλοις V 340. ἱκετεύειν: ἱκετεύσειν PAML

di essere una spia. Però non era facile liberarsi di lui, che fa- 213
ceva paura per la sua scelleraggine e per di piú non era uno
qualunque, con un largo seguito fra quelli che partecipavano
alle pubbliche deliberazioni, e allora decisero di fargli confer-
mare la sua fedeltà mediante un giuramento. Prontamente 214
Giovanni giurò che sarebbe stato fedele alla causa del popolo,
che non avrebbe rivelato ai nemici né un loro progetto né
una loro mossa, e avrebbe contribuito col consiglio e con
l'azione ad abbattere gli avversari. I consiglieri di Anano 215
credettero al giuramento e, deposto ormai ogni sospetto, lo
invitarono a partecipare alle deliberazioni, e anzi lo inviarono
dagli Zeloti a trattare la resa; si preoccupavano infatti, per
quanto stava in loro, di evitare che il santuario fosse profanato
e che qualcuno dei connazionali venisse ucciso fra le sue mura.

3, 14. Giovanni, come se avesse giurato fedeltà agli Zeloti, 216
e non contro di essi, entrato nel tempio prese posto in mezzo
a quelli e ricordò di aver spesso rischiata la vita per loro, per-
ché fossero informati di tutte le segrete deliberazioni adottate
contro di loro dagli uomini di Anano. Ora poi stava per af- 217
frontare insieme con tutti loro il piú grave dei pericoli, a
meno che non fosse intervenuto qualche aiuto divino. Anano 218
aveva rotto gli indugi e, d'accordo con il popolo, aveva spe-
dito messi a Vespasiano invitandolo a venire al piú presto a
prendere possesso della città. Per colpir loro aveva inoltre
indetto per l'indomani un rito di purificazione, sí che i suoi
uomini, o entrati nel tempio per le cerimonie di culto o
apertisi la strada con la forza, si azzuffassero poi con loro[25].
Egli non vedeva fino a quando avrebbero potuto resistere 219
all'assedio o ai combattimenti contro avversari cosí numerosi.
Aggiunse che era stato per grazia di dio che proprio lui era
stato inviato a trattare la pace; infatti Anano ne faceva l'of-
ferta solo per coglierli a tradimento. Pertanto per salvar la 220
vita bisognava o rivolgere suppliche agli uomini di guardia[26]
o procurarsi qualche aiuto dall'esterno[27]. Chiunque sperava, 221

τοὺς δὲ θαλπομένους ἐλπίδι συγγνώμης εἰ κρατηθεῖεν, ἐπι- 221
λελῆσθαι τῶν ἰδίων τολμημάτων ἢ νομίζειν ἅμα τῷ μετα-
νοεῖν τοὺς δεδρακότας εὐθέως ὀφείλειν διηλλάχθαι καὶ τοὺς
παθόντας. ἀλλὰ τῶν μὲν ἀδικησάντων διὰ μίσους πολλάκις 222
345 γίνεσθαι καὶ τὴν μεταμέλειαν, τοῖς ἀδικηθεῖσι δὲ τὰς ὀργὰς
ἐπ' ἐξουσίας χαλεπωτέρας· ἐφεδρεύειν δέ γε ἐκείνοις φίλους 223
καὶ συγγενεῖς τῶν ἀπολωλότων καὶ δῆμον τοσοῦτον ὑπὲρ
καταλύσεως νόμων καὶ δικαστηρίων τεθυμωμένον, ὅπου κἂν
ᾖ τι μέρος τὸ ἐλεοῦν, ὑπὸ πλείονος ἂν αὐτὸ τοῦ διαγανα-
350 κτοῦντος ἀφανισθῆναι.

4, 1. Τοιαῦτα μὲν ἐποίκιλλεν ἀθρόως δεδισσόμενος, καὶ 224
τὴν ἔξωθεν βοήθειαν ἀναφανδὸν μὲν οὐκ ἐθάρρει λέγειν,
ᾐνίσσετο δὲ τοὺς Ἰδουμαίους· ἵνα δὲ καὶ τοὺς ἡγεμόνας
τῶν ζηλωτῶν ἰδίᾳ παροξύνῃ, τὸν Ἄνανον εἴς τε ὠμότητα
5 διέβαλλε καὶ ἀπειλεῖν ἐκείνοις ἐξαιρέτως ἔλεγεν. ἦσαν δὲ 225
Ἐλεάζαρος μὲν υἱὸς Γίωνος, ὃς δὴ καὶ πιθανώτατος ἐδόκει
τῶν ἐν αὐτοῖς νοῆσαί τε τὰ δέοντα καὶ τὰ νοηθέντα πρᾶξαι,
Ζαχαρίας δέ τις υἱὸς Ἀμφικάλλει, γένος ἐκ τῶν ἱερέων
ἑκάτερος. οὗτοι πρὸς ταῖς κοιναῖς τὰς ἰδίας καθ' ἑαυτῶν 226
10 ἀπειλὰς ἀκούσαντες, ἔτι δ' ὡς οἱ περὶ τὸν Ἄνανον δυνα-
στείαν αὑτοῖς περιποιούμενοι Ῥωμαίους ἐπικαλοῖντο, καὶ
γὰρ τοῦτο Ἰωάννης προσεψεύσατο, μέχρι πολλοῦ μὲν ἠπο-
ροῦντο, τί χρὴ πράττειν εἰς ὀξὺν οὕτως καιρὸν συνεωσμένους·
παρεσκευάσθαι μὲν γὰρ τὸν δῆμον ἐπιχειρεῖν αὐτοῖς οὐκ 227
15 εἰς μακράν, αὐτῶν δὲ τὸ σύντομον τῆς ἐπιβολῆς ὑποτετμῆ-
σθαι τὰς ἔξωθεν ἐπικουρίας· πάντα γὰρ ἂν φθῆναι παθεῖν
πρὶν καὶ πυθέσθαι τινὰ τῶν συμμάχων. ἔδοξε δ' ὅμως 228
ἐπικαλεῖσθαι τοὺς Ἰδουμαίους, καὶ γράψαντες ἐπιστολὴν

348. τεθυμωμένον: τεθυμωμένων PA^1 349. αὐτὸ: αὐτῷ P^{1}AV
4, 1. δεδισσόμενος: δ'αἰνισσόμενος PA δεδισσομένους V δὲ δισσώμενος 6. Γίω-
νος: σίμωνος MVRC 8. Ἀμφικάλλει: ἀμφεκαλλεῖ M ἀφεκκαλεῖ L ἀμφι-
καλλεῖ V φαλέκου C M^2V^2 11. αὑτοῖς: αὐτοῖς PAL ἑαυτοῖς VRC 12-3. ἠ-
ποροῦντο: ἠπόρουν το PLVRC 15. σύντομον: σύντονον MVRC | ἐπιβολῆς Niese
ἐπιβουλῆς codd.

se fossero stati vinti, di ottenere il perdono, o s'era scordato delle sue ribalderie, o s'illudeva che al pentimento dei colpevoli dovesse tener subito dietro la riconciliazione degli offesi. Al contrario, il ravvedimento dei colpevoli spesso suscita 222 l'avversione, mentre il risentimento delle vittime aumenta quando esse diventino piú forti. Su di loro volevano trarre 223 vendetta gli amici e i parenti degli uccisi, e una parte stragrande del popolo incollerito dalle offese fatte alle leggi e ai tribunali: se anche v'erano alcuni disposti alla clemenza, sarebbero stati sommersi dalla maggioranza inferocita.

4, 1. Con tale discorso arzigogolato voleva provocare un 224 panico generale, e non osava dire apertamente quale fosse l'aiuto esterno cui aveva accennato, ma aveva in mente gli Idumei; per allarmare poi personalmente i capi degli Zeloti, prese a parlare della efferatezza di Anano e delle minacce che egli profferiva contro di loro in particolare. I capi erano 225 Eleazar figlio di Ghion[1], che sembrava superiore a tutti nell'ideare piani indovinati e nel realizzarli, e un tal Zaccaria figlio di Anficalleo, entrambi di stirpe sacerdotale. Questi, 226 udite le minacce che oltre a quelle contro tutti Anano rivolgeva contro di loro personalmente, appreso che gli uomini di Anano per assicurarsi il potere avevano invocato l'intervento dei romani – perché anche questa storia aveva inventato Giovanni – rimasero a lungo dubbiosi sul da fare in una situazione cosí pressante. Il popolo infatti si apparecchiava ad 227 attaccarli di lí a non molto, e la necessità di far presto li privava di ogni aiuto esterno; per loro infatti tutto sarebbe finito prima di poter far giungere una richiesta di aiuto. Ad ogni 228 modo decisero di rivolgersi agli Idumei, cui indirizzarono

σύντομον, ὡς Ἄνανος μὲν προδιδοίη Ῥωμαίοις τὴν μητρό-
20 πολιν ἐξαπατήσας τὸν δῆμον, αὐτοὶ δ' ὑπὲρ τῆς ἐλευ-
θερίας ἀποστάντες ἐν τῷ ἱερῷ φρουροῖντο, ὀλίγος δ' ἔτι 229
χρόνος αὐτοῖς βραβεύοι τὴν σωτηρίαν, εἰ δὲ μὴ βοηθήσουσιν
ἐκεῖνοι κατὰ τάχος, αὐτοὶ μὲν ὑπ' Ἀνάνῳ τε καὶ τοῖς
ἐχθροῖς, ἡ πόλις δ' ὑπὸ Ῥωμαίοις φθάσει γενομένη. τὰ δὲ
25 πολλὰ τοῖς ἀγγέλοις ἐνετέλλοντο πρὸς τοὺς ἄρχοντας τῶν
Ἰδουμαίων διαλέγεσθαι. προεβλήθησαν δ' ἐπὶ τὴν ἀγγελίαν 230
δύο τῶν δραστηρίων ἀνδρῶν, εἰπεῖν τε ἱκανοὶ καὶ πεῖσαι περὶ
πραγμάτων, τὸ δὲ τούτων χρησιμώτερον, ὠκύτητι ποδῶν
διαφέροντες· τοὺς μὲν γὰρ Ἰδουμαίους αὐτόθεν ᾔδεισαν 231
30 πεισθησομένους, ἅτε θορυβῶδες καὶ ἄτακτον ἔθνος αἰεί τε
μετέωρον πρὸς τὰ κινήματα καὶ μεταβολαῖς χαῖρον, πρὸς
ὀλίγην τε κολακείαν τῶν δεομένων τὰ ὅπλα κινοῦν καὶ
καθάπερ εἰς ἑορτὴν εἰς τὰς παρατάξεις ἐπειγόμενον. ἔδει δὲ 232
τάχους εἰς τὴν ἀγγελίαν· εἰς ὃ μηδὲν ἐλλείποντες προθυμίας
35 οἱ πεμφθέντες, ἐκαλεῖτο δ' αὐτῶν Ἀνανίας ἑκάτερος, καὶ
δὴ πρὸς τοὺς ἄρχοντας τῶν Ἰδουμαίων παρῆσαν.

4, 2. οἱ δὲ πρὸς τὴν ἐπιστολὴν καὶ τὰ ῥηθέντα παρὰ τῶν 233
ἀφιγμένων ἐκπλαγέντες, ὥσπερ ἐμμανεῖς περιέθεόν τε τὸ
ἔθνος καὶ διεκήρυσσον τὴν στρατείαν. ἤθροιστο δ' ἡ πληθὺς 234
40 τάχιον τοῦ παραγγέλματος, καὶ πάντες ὡς ἐπ' ἐλευθερίᾳ
τῆς μητροπόλεως ἥρπαζον τὰ ὅπλα. συνταχθέντες δ' εἰς δύο 235
μυριάδας παραγίνονται πρὸς τὰ Ἱεροσόλυμα, χρώμενοι τέσ-
σαρσιν ἡγεμόσιν, Ἰωάννῃ τε καὶ Ἰακώβῳ παιδὶ Σωσᾶ, πρὸς
δὲ τούτοις ἦν Σίμων υἱὸς Θακήου καὶ Φινέας Κλουσώθ.

45 **4,** 3. τὸν δὲ Ἄνανον ἡ μὲν ἔξοδος τῶν ἀγγέλων ὥσπερ 236
καὶ τοὺς φρουροὺς ἔλαθεν, ἡ δ' ἔφοδος τῶν Ἰδουμαίων
οὐκέτι· προγνοὺς γὰρ ἀποκλείει τε τὰς πύλας αὐτοῖς καὶ
διὰ φυλακῆς εἶχε τὰ τείχη. καθάπαν γε μὴν αὐτοὺς ἐκπο- 237

22. βοηθήσουσιν: βοηθήσωσιν PAL[1]V 24. Ῥωμαίοις: Ῥωμαίους PL[1] 32. τε: δὲ VRC 33. εἰς τὰς: πρὸς τὰς LV 34. εἰς ὃ: ὃ A 39. στρατείαν: στρατιάν PAMVRC 46. φρουρούς: φύλακας VRC 47. ἀποκλείει τε Destinon ἀποκλείεται PAMVR ἀποκλείει LC

una breve lettera informandoli che Anano aveva sorpreso la
buona fede del popolo e si preparava a consegnare la metro-
poli ai romani, che essi erano insorti in difesa della libertà
e si trovavano assediati nel tempio, che in breve tempo si 229
sarebbe decisa la loro sorte perché, se loro non accorrevano
in aiuto, essi sarebbero caduti in potere di Anano e dei nemici,
e la città dei romani. I messi ebbero poi incarico di esporre più
diffusamente a voce la situazione ai capi degli Idumei. Per la 230
missione furono scelti due degli elementi piú attivi, abili nel
parlare e nel far trionfare una tesi e, ciò che era ancora piú
utile, straordinariamente veloci nel marciare. Gli Zeloti sa- 231
pevano infatti che gli Idumei si sarebbero lasciati senz'altro
persuadere, trattandosi di gente turbolenta e facinorosa, sem-
pre pronta alle sommosse e amante di rivolgimenti, capace di
impugnare le armi per qualche parola di adulazione da parte
di chi si rivolgeva a loro e di correre in guerra come a una
festa[2]. La missione richiedeva la massima celerità e i due, che 232
si chiamavano entrambi Anania, fecero volenterosamente del
loro meglio e in breve furono dinanzi ai capi degli Idumei.

4, 2. Costoro restarono attoniti nel leggere la lettera e 233
nell'ascoltare i racconti dei messi e, come impazziti, si diedero
a percorrere il paese proclamando la guerra. Il popolo si 234
adunò prima ancora dell'ordine e tutti presero le armi come
per difendere la libertà della metropoli. Formato un esercito 235
di circa ventimila uomini si misero in marcia verso Gerusa-
lemme agli ordini di quattro comandanti: Giovanni, Giacomo
figlio di Sosa, Simone figlio di Tacea e Finea figlio di Clusoth[3].

4, 3. Ad Anano e alle sentinelle era sfuggita la partenza 236
dei messi, ma non sfuggí l'appressarsi degli Idumei; infatti,
avutane notizia in precedenza, egli chiuse loro le porte e sta-
bilí un servizio di vigilanza sulle mura. Ad ogni modo, 237

λεμεῖν οὐκ ἔδοξεν, ἀλλὰ λόγοις πείθειν πρὸ τῶν ὅπλων.
50 στὰς οὖν ἐπὶ τὸν ἀντικρὺς αὐτῶν πύργον ὁ μετὰ Ἄνανον 238
γεραίτατος τῶν ἀρχιερέων Ἰησοῦς, πολλῶν ἔφη καὶ ποικίλων
τὴν πόλιν κατεσχηκότων θορύβων ἐν οὐδενὶ θαυμάσαι τὴν
τύχην οὕτως, ὡς τῷ συμπράττειν τοῖς πονηροῖς καὶ τὰ
παράδοξα· παρεῖναι γοῦν ὑμᾶς ἀνθρώποις ἐξωλεστάτοις μετὰ 239
55 τοσαύτης προθυμίας ἐπαμυνοῦντας καθ' ἡμῶν, μεθ' ὅσης
εἰκὸς ἦν ἐλθεῖν οὐδὲ τῆς μητροπόλεως καλούσης ἐπὶ βαρ-
βάρους. «καὶ εἰ μὲν ἑώρων τὴν σύνταξιν ὑμῶν ἐξ ὁμοίων 240
τοῖς καλέσασιν ἀνδρῶν, οὐκ ἂν ἄλογον τὴν ὁρμὴν ὑπελάμ-
βανον· οὐδὲν γὰρ οὕτως συνίστησι τὰς εὐνοίας ὡς τρόπων
60 συγγένεια· νῦν δ', εἰ μέν τις αὐτοὺς ἐξετάζοι καθ' ἕνα, μυρίων
ἕκαστος εὑρεθήσεται θανάτων ἄξιος. τὰ γὰρ λύματα καὶ κα- 241
θάρματα τῆς χώρας ὅλης, κατασωτευσάμενα τὰς ἰδίας οὐσίας
καὶ προγυμνάσαντα τὴν ἀπόνοιαν ἐν ταῖς πέριξ κώμαις
τε καὶ πόλεσι, τελευταῖα λεληθότως παρεισέρρευσαν εἰς τὴν
65 ἱερὰν πόλιν, λησταὶ δι' ὑπερβολὴν ἀσεβημάτων μιαίνοντες 242
καὶ τὸ ἀβέβηλον ἔδαφος, οὓς ὁρᾶν ἔστι νῦν ἀδεεῖς ἐμ-
μεθυσκομένους τοῖς ἁγίοις καὶ τὰ σκῦλα τῶν πεφονευμένων
καταναλίσκοντας εἰς τὰς ἀπλήστους γαστέρας. τὸ δ' ὑμέτερον 243
πλῆθος καὶ τὸν κόσμον τῶν ὅπλων ὁρᾶν ἔστιν οἷος ἔπρεπεν
70 καλούσης μὲν τῆς μητροπόλεως κοινῷ βουλευτηρίῳ, συμ-
μάχους δὲ κατ' ἀλλοφύλων. τί ἂν οὖν εἴποι τοῦτό τις ἢ
τύχης ἐπήρειαν, ὅταν λογάσι πονηροῖς αὔτανδρον ἔθνος ὁρᾷ
συνασπίζον; μέχρι πολλοῦ μὲν ἀπορῶ, τί δή ποτε καὶ τὸ 244
κινῆσαν ὑμᾶς οὕτω ταχέως ἐγένετο· μὴ γὰρ ἂν δίχα μεγάλης
75 αἰτίας ἀναλαβεῖν τὰς πανοπλίας ὑπὲρ λῃστῶν καὶ κατὰ
δήμου συγγενοῦς. ἐπεὶ δὲ ἠκούσαμεν Ῥωμαίους καὶ προ- 245
δοσίαν, ταῦτα γὰρ ὑμῶν ἐθορύβουν τινὲς ἀρτίως, καὶ τῆς

53. τῷ: τὸ PA¹MLVC 54. γοῦν: γὰρ οὖν A γὰρ L 55. ἐπαμυνοῦντας: ἐπαμύνοντας PAMVRC 61. λύματα Lowth apud Niese θύματα codd. 62. χώρας: πόλεως PAL | κατασωτευσάμενα: κατασωτευσάμενοι PA | οὐσίας: θυσίας PAL 73. συνασπίζον: συνασπίζον αὐτοῖς codd. (expunxit A)

stimò opportuno di non entrare senz'altro in lotta contro di loro, ma di cercare di persuaderli prima di venire alle armi. Perciò Gesú[4], il piú anziano dei sommi sacerdoti dopo Anano, 238 montò sulla torre che fronteggiava gli Idumei[5] e si rivolse a loro dicendo che fra i molti e svariati mali che opprimevano la città nessuno l'aveva tanto colpito quanto i voleri della fortuna per cui anche gli eventi piú inaspettati favorivano i piani dei farabutti. « A sostenere contro di noi degli individui 239 perversi voi vi siete precipitati con un ardore che non si sarebbe capito nemmeno se la metropoli avesse invocato il vostro aiuto a difesa dai barbari. Se io vedessi nelle vostre file gente 240 simile a quella che vi ha chiamato, non troverei nulla di strano nel vostro impeto, perché niente concilia tanto le simpatie quanto l'aver caratteri uguali; ma sta di fatto che se quelli venissero presi in esame ad uno ad uno, risulterebbe che ognuno merita mille volte la morte. Sono la feccia e il rifiuto 241 di tutto il paese, che dopo aver divorato ciò che avevano ed esercitato il loro furore nei villaggi e nelle città vicine, alla fine si sono furtivamente introdotti nella città santa; briganti 242 che nella loro insuperabile empietà profanano finanche il pavimento sacro[6], che ognuno può vedere aggirarsi senz'alcun timore ubriachi nei luoghi santi e intenti a digerire nel loro ventre insaziabile le spoglie delle loro vittime. Invece lo 243 spettacolo delle vostre schiere e delle vostre fulgide armi è tale, quale avrebbe dovuto essere se la città vi avesse chiamato per pubblica deliberazione a soccorrerla contro lo straniero. Come definire una cosa simile se non un insulto della fortuna, quando si vede un'intera nazione prendere le armi a sostegno di una banda di delinquenti? Mi sono a lungo domandato 244 che cosa vi abbia indotto a muovervi con tanta precipitazione, perché senza un grave motivo non avreste impugnato le armi per difendere dei banditi e per attaccare un popolo fratello. Ma poiché abbiamo sentito parlare di romani e di tradimento 245 – cosí infatti hanno or ora gridato alcuni di voi, e di esser qui

μητροπόλεως ἐπ' ἐλευθερώσει παρεῖναι, πλέον τῶν ἄλλων
τολμημάτων ἐθαυμάσαμεν τούς ἀλιτηρίους τῆς περὶ τοῦτο
80 ψευδοῦς ἐπινοίας· ἄνδρας γὰρ φύσει φιλελευθέρους καὶ διὰ 246
τοῦτο μάλιστα τοῖς ἔξωθεν πολεμίοις μάχεσθαι παρεσκευ-
ασμένους οὐκ ἐνῆν ἄλλως ἐξαγριῶσαι καθ' ἡμῶν ἢ λογο-
ποιήσαντας προδοσίαν τῆς ποθουμένης ἐλευθερίας. ἀλλ' ὑμᾶς 247
γε χρὴ σκέπτεσθαι τούς τε διαβάλλοντας καὶ καθ' ὧν,
85 συνάγειν τε τὴν ἀλήθειαν οὐκ ἐκ τῶν ἐπιπλάστων λόγων
ἀλλ' ἐκ τῶν κοινῶν πραγμάτων. τί γὰρ δὴ καὶ παθόντες ἂν 248
ἡμεῖς Ῥωμαίοις προσπωλοῖμεν ἑαυτοὺς νῦν, παρὸν ἢ μηδὲ
ἀποστῆναι τὸ πρῶτον ἢ προσχωρῆσαι ταχέως ἀποστάντας,
ὄντων ἔτι τῶν πέριξ ἀπορθήτων; νῦν μὲν γὰρ οὐδὲ βουλο- 249
90 μένοις διαλύσασθαι ῥάδιον, ὅτε Ῥωμαίους μὲν ὑπερόπτας
πεποίηκεν ὑποχείριος ἡ Γαλιλαία, φέρει δ' αἰσχύνην ἡμῖν
θανάτου χαλεπωτέραν τὸ θεραπεύειν αὐτοὺς ὄντας ἤδη
πλησίον. κἀγὼ καθ' ἑαυτὸν μὲν ἂν εἰρήνην προτιμήσαιμι 250
θανάτου, πολεμούμενος δ' ἅπαξ καὶ συμβαλὼν θάνατον
95 εὐκλεᾶ τοῦ ζῆν αἰχμάλωτος. πότερον δέ φασιν ἡμᾶς τοὺς 251
τοῦ δήμου προεστῶτας πέμψαι κρύφα πρὸς Ῥωμαίους ἢ καὶ
τὸν δῆμον κοινῇ ψηφισάμενον; εἰ μὲν ἡμᾶς, εἰπάτωσαν τοὺς 252
πεμφθέντας φίλους, τοὺς διακονήσαντας τὴν προδοσίαν
οἰκέτας. ἐφωράθη τις ἀπιών; ἀνακομιζόμενος ἑάλω; γραμ-
100 μάτων γεγόνασιν ἐγκρατεῖς; πῶς δὲ τοὺς μὲν τοσούτους 253
πολίτας ἐλάθομεν, οἷς κατὰ πᾶσαν ὥραν συναναστρεφόμεθα,
τοῖς δὲ ὀλίγοις καὶ φρουρουμένοις καὶ μηδ' εἰς τὴν πόλιν
ἐκ τοῦ ἱεροῦ προελθεῖν δυναμένοις ἐγνώσθη τὰ κατὰ τὴν
χώραν λαθραίως ἐνεργούμενα; νῦν δ' ἔγνωσαν, ὅτε δεῖ 254
105 δοῦναι δίκας τῶν τετολμημένων, ἕως δ' ἦσαν ἀδεεῖς αὐτοί,
προδότης ἡμῶν οὐδεὶς ὑπωπτεύετο; εἰ δ' ἐπὶ τὸν δῆμον 255

79. ἐθαυμάσαμεν: ἐθαυμασέ τις VRC 79-80. περὶ τοῦτο ψευδοῦς: περὶ τὸ ψεῦδος VRC 83. ποθουμένης: πορθουμένης PMV¹R Lat 87. προσπωλοῖμεν Haverkamp προσπωλοῦμεν PAMVRC προσπολεμοῦμεν L 91. πεποίηκεν: πεποιήκει PA ἐποίησεν V 93. καθ' ἑαυτὸν: κατ' ἐμαυτὸν LVRC 104. ὅτε Bekker coll. Lat *quando* ὅτι codd.

per liberare la metropoli – è una tale diabolica menzogna di
quei farabutti quello che ci ha colpito piú di tutti gli altri audaci
misfatti. Degli individui per loro natura amanti della libertà 246
come voi siete, e perciò sempre pronti a battersi contro un
nemico esterno, non v'era altro modo di aizzarli contro di noi
che accusandoci falsamente di tradire la loro cara libertà. Ma 247
voi dovete riflettere chi sono gli accusatori, chi gli accusati,
e ricavare la verità non da discorsi menzogneri, ma dalla si-
tuazione generale[7]. Perché ci dovremmo ora vendere ai ro- 248
mani, mentre potevamo in primo luogo non ribellarci o, dopo
la ribellione, venire presto a un accordo, prima che il paese
all'intorno venisse devastato? Ora nemmeno se lo volessimo 249
sarebbe facile un'intesa, dal momento che la conquista della
Galilea ha infuso superbia nei romani, e il blandirli ora che
sono vicini ci procurerebbe una vergogna peggiore della
morte. Anch'io, per mio conto, preferirei la pace alla morte, 250
ma una volta entrato in guerra preferisco una morte gloriosa
al vivere in prigionia. Si dice che noi, i capi del popolo, ab- 251
biamo inviato nascostamente messi ai romani, o che l'ha fatto
il popolo per pubblica deliberazione? Se noi, si dicano i nomi 252
degli amici inviati ai romani, degli schiavi che si prestarono a
consumare il tradimento[8]. Fu scoperto qualcuno che partiva?
Fu catturato qualcuno che tornava? Sono state intercettate
delle lettere? Come avremmo noi potuto eludere tanti citta- 253
dini, con cui stiamo insieme ogni momento, mentre quei pochi,
che per di piú erano assediati e non potevano nemmeno scen-
dere dal tempio nella città, sarebbero venuti a sapere ciò che
si preparava segretamente nel paese? E son venuti a saperlo 254
ora che debbono pagare il fio dei loro misfatti, mentre finché
si sentivano sicuri nessuno di noi fu sospettato di tradimento?

ἀναφέρουσι τὴν αἰτίαν, ἐν φανερῷ δήπουθεν ἐβουλεύσαντο,
οὐδεὶς ἀπεστάτει τῆς ἐκκλησίας, ὥστε τάχιον ἂν τῆς μηνύ-
σεως ἔσπευσεν ἡ φήμη πρὸς ὑμᾶς φανερωτέρα. τί δέ; οὐχὶ 256
110 καὶ πρέσβεις ἔδει πέμπειν ψηφισαμένους τὰς διαλύσεις;
καὶ τίς ὁ χειροτονηθείς; εἰπάτωσαν. ἀλλὰ τοῦτο μὲν δυσ- 257
θανατούντων καὶ πλησίον οὔσας τὰς τιμωρίας διακρουο-
μένων σκῆψίς ἐστιν· εἰ γὰρ δὴ καὶ προδοθῆναι τὴν πόλιν
εἵμαρτο, μόνους ἂν τολμῆσαι καὶ τοῦτο τοὺς διαβάλλοντας,
115 ὧν τοῖς τολμήμασιν ἓν μόνον κακὸν λείπει, προδοσία.
χρὴ δὲ ὑμᾶς, ἐπειδήπερ ἅπαξ πάρεστε μετὰ τῶν ὅπλων, 258
τὸ μὲν δικαιότατον, ἀμύνειν τῇ μητροπόλει καὶ συνεξαιρεῖν
τοὺς τὰ δικαστήρια καταλύσαντας τυράννους, οἳ πατήσαν-
τες τοὺς νόμους ἐπὶ τοῖς αὐτῶν ξίφεσι πεποίηνται τὰς
120 κρίσεις. ἄνδρας γοῦν ἀκαταιτιάτους τῶν ἐπιφανῶν ἐκ μέσης 259
τῆς ἀγορᾶς ἁρπάσαντες δεσμοῖς τε προῃκίσαντο καὶ μηδὲ
φωνῆς μηδ' ἱκεσίας ἀνασχόμενοι διέφθειραν. ἔξεστιν δ' 260
ὑμῖν παρελθοῦσιν εἴσω μὴ πολέμου νόμῳ θεάσασθαι τὰ
τεκμήρια τῶν λεγομένων, οἴκους ἠρημωμένους ταῖς ἐκεί-
125 νων ἁρπαγαῖς καὶ γύναια καὶ γενεὰς τῶν ἀπεσφαγμένων
μελανειμονούσας, κωκυτὸν δὲ καὶ θρῆνον ἀνὰ τὴν πόλιν
ὅλην· οὐδεὶς γάρ ἐστιν, ὃς οὐ γέγευται τῆς τῶν ἀνοσίων
καταδρομῆς· οἵ γε ἐπὶ τοσοῦτον ἐξώκειλαν ἀπονοίας, ὥστε 261
μὴ μόνον ἐκ τῆς χώρας καὶ τῶν ἔξωθεν πόλεων ἐπὶ τὸ
130 πρόσωπον καὶ τὴν κεφαλὴν ὅλου τοῦ ἔθνους μετενεγκεῖν
τὴν λῃστρικὴν τόλμαν, ἀλλὰ καὶ ἀπὸ τῆς πόλεως ἐπὶ τὸ
ἱερόν. ὁρμητήριον γοῦν αὐτοῖς τοῦτο καὶ καταφυγὴ ταμιεῖόν 262
τε τῶν ἐφ' ἡμᾶς παρασκευῶν γέγονεν, ὁ δ' ὑπὸ τῆς οἰκου-
μένης προσκυνούμενος χῶρος καὶ τοῖς ἀπὸ περάτων γῆς
135 ἀλλοφύλοις ἀκοῇ τετιμημένος παρὰ τῶν γεννηθέντων ἐνθάδε

107. οὐδεὶς: καὶ οὐδεὶς M οὐδὲ εἷς γὰρ L οὐδεὶς γὰρ C 110. ψηφισαμένους: ψηφισομένους PAMVRC 114. εἵμαρτο: εἵμαρται LVRC 117. συνεξαιρεῖν L. Dindorf συνεξαίρειν codd. 124. προῃκίσαντο: προσῃκίσαντο AMLVRC 122. φωνῆς: φωνὴν PAMVRC | ἱκεσίας: ἱκεσίαν PAMVRC 127. γέγευται: γέγευσται LC 135. παρὰ τῶν γεννηθέντων: ὑπὸ τῶν παραγεννηθέντων AMLVRC (παραγενηθέντων LRC)

Se poi è contro il popolo che essi lanciano le loro accuse, la 255
deliberazione popolare dové certamente essere pubblica e
nessuno mancare all'assemblea, sí che a voi la notizia doveva
pervenire piú rapida e piú chiara della loro segreta denuncia.
E poi? Non bisognava anche mandare ambasciatori dopo aver 256
deciso la resa? E chi ebbe tale incarico? Lo dicano! Ma questo 257
non è che un espediente di gente dura a morire che cerca di
stornare gli imminenti castighi. Ammesso pure che è destino
di questa città di essere tradita, gli unici capaci di fare anche
questo sarebbero i nostri accusatori, ai cui misfatti manca
soltanto uno, il tradimento[9]. Quanto a voi, poiché siete qui 258
in armi, dovete assolvere a questo altissimo dovere di giustizia,
difendere la metropoli e contribuire ad abbattere questi op-
pressori che hanno tolto di mezzo i tribunali e, calpestando le
leggi, fanno emanare le sentenze dalle loro spade. I piú galan- 259
tuomini fra i notabili li hanno trascinati per la piazza, li hanno
gettati ignominiosamente in prigione e, senza ascoltare una
loro parola o una loro supplica, li hanno messi a morte. Se 260
voi entrerete in città, non come nemici vincitori, potrete ve-
dere le prove di ciò che dico: case svuotate dalle loro ruberie,
mogli e figli degli uccisi in lutto, gemiti e lamenti per tutta
la città; infatti non v'è nessuno che non abbia subito le scor-
rerie di quegli empi. Essi sono giunti a tal punto di follia, 261
che non solo hanno trasferito la loro audacia brigantesca dal
contado e dalle altre città su questa, che è il volto e la testa
di tutta la nazione, ma anche dalla città sul tempio. Questo 262
è diventato la loro base, il loro rifugio, la fucina dei loro pre-
parativi contro di noi, e il luogo venerato da tutto il mondo
e rispettato per fama dagli stranieri dei paesi piú lontani è
ora calpestato da questi mostri nati proprio fra noi. Presi 263

θηρίων καταπατεῖται· νεανιεύονταί τε ἐν ταῖς ἀπογνώσεσιν 263
ἤδη δήμους τε δήμοις καὶ πόλεσι πόλεις συγκρούειν καὶ
κατὰ τῶν σπλάγχνων τῶν ἰδίων τὸ ἔθνος στρατολογεῖν.
ἀνθ' ὧν τὸ μὲν κάλλιστον καὶ πρέπον, ὡς ἔφην, ὑμῖν συν- 264
140 εξαιρεῖν τοὺς ἀλιτηρίους καὶ ὑπὲρ αὐτῆς τῆς ἀπάτης ἀμυ-
νομένους, ὅτι συμμάχους ἐτόλμησαν καλεῖν οὓς ἔδει τιμω-
ροὺς δεδιέναι· εἰ δ' αἰδεῖσθε τὰς τῶν τοιούτων ἐπικλήσεις, 265
ἀλλά τοι πάρεστι θεμένοις τὰ ὅπλα καὶ παρελθοῦσιν εἰς
τὴν πόλιν σχήματι συγγενῶν ἀναλαβεῖν τὸ μέσον συμμάχων
145 τε καὶ πολεμίων ὄνομα, δικαστὰς γενομένους. καίτοι λογίσα- 266
σθε, πόσον κερδήσουσιν ἐφ' ὁμολογουμένοις καὶ τηλι-
κούτοις κρινόμενοι παρ' ὑμῖν οἱ τοῖς ἀκαταιτιάτοις μηδὲ
λόγου μεταδόντες· λαμβανέτωσαν δ' οὖν ταύτην ἐκ τῆς
ὑμετέρας ἀφίξεως τὴν χάριν. εἰ δ' οὔτε συναγανακτεῖν 267
150 ἡμῖν οὔτε κρίνεσθαι δεῖ, τρίτον ἐστὶ καταλιπεῖν ἑκατέρους
καὶ μήτε ταῖς ἡμετέραις ἐπεμβαίνειν συμφοραῖς μήτε τοῖς
ἐπιβούλοις τῆς μητροπόλεως συνέρχεσθαι. εἰ γὰρ καὶ τὰ 268
μάλιστα Ῥωμαίοις ὑποπτεύετε διειλέχθαι τινάς, παρατη-
ρεῖν ἔξεστι τὰς ἐφόδους, κἄν τι τῶν διαβεβλημένων ἔργῳ
155 διακαλύπτηται, τότε φρουρεῖν τὴν μητρόπολιν ἐλθόντας,
κολάζειν τε τοὺς αἰτίους πεφωραμένους· οὐ γὰρ ἂν ὑμᾶς
φθάσειαν οἱ πολέμιοι τῇ πόλει προσῳκημένους. εἰ δ' οὐδὲν 269
ὑμῖν τούτων εὔγνωμον ἢ μέτριον δοκεῖ, μὴ θαυμάζετε
τὰ κλεῖθρα τῶν πυλῶν, ἕως ἂν φέρητε τὰ ὅπλα.»

160 **4**, 4. τοιαῦτα μὲν ὁ Ἰησοῦς ἔλεγε. τῶν δὲ Ἰδουμαίων 270
οὐδὲν τὸ πλῆθος προσεῖχεν, ἀλλὰ τεθύμωτο μὴ τυχὸν
ἑτοίμης τῆς εἰσόδου, καὶ διηγανάκτουν οἱ στρατηγοὶ πρὸς
ἀπόθεσιν τῶν ὅπλων, αἰχμαλωσίαν ἡγούμενοι τὸ κελευόντων
τινῶν αὐτὰ ῥῖψαι. Σίμων δὲ υἱὸς Κααθὰ τῶν ἡγεμόνων 271

138. τῶν σπλάγχνων τῶν ἰδίων: τῶν ἰδίων σπλάγχνων LVRC 139-40. συν-εξαιρεῖν L. Dindorf συνεξαίρειν codd. 142. αἰδεῖσθε: αἰδεῖσθαι A[1]LV[1]C 151. ἐπεμβαίνειν: ἐπιβαίνειν PALR 152. συνέρχεσθαι: συμμένειν καὶ συνέρχεσθαι A συμμένειν VRC 157. προσῳκημένους L προσωκισμένους PAMVRC 161. οὐδὲν: οὔτε VRC 164. Κααθά: κλαθᾶ M καθλᾶ VRC *cathla* (gen.) Lat

dalla disperazione, ormai si studiano stoltamente di aizzare un popolo contro l'altro, una città contro l'altra, e di armare la nazione contro il suo stesso centro vitale. Sicché per voi la 264 cosa piú bella e piú conveniente, come ho detto, è quella di contribuire a togliere di mezzo questi profanatori, punendoli anche dell'inganno per aver osato chiamare in aiuto quelli che dovevano temere come punitori. Ma se provate imbarazzo 265 perché essi vi hanno rivolto una preghiera, potrete deporre le armi, entrare in città come consanguinei e assumervi una parte a metà fra quella degli alleati e quella dei nemici facendovi arbitri. E considerate anche quale vantaggio avranno ad 266 essere giudicati da voi per colpe cosí manifeste e cosí gravi, essi che a persone innocentissime non concessero nemmeno di parlare; ricevano dunque questo beneficio dal vostro arrivo! Se poi non volete né condividere il nostro rancore né far da 267 giudici, c'è una terza possibilità, quella di abbandonare a sé stesse le due parti senza né accrescere le nostre pene, né collaborare con i nemici della metropoli. Se proprio avete un for- 268 tissimo sospetto che alcuni di noi si siano messi in contatto con i romani, è in vostra facoltà di tener sotto controllo le strade di accesso, e se si scoprirà che è vera qualcuna delle accuse, potrete venire a presidiare la metropoli e a punire i colpevoli: i nemici non potrebbero prevenirvi essendo voi accampati nei pressi della città. Se, infine, nessuna di queste 269 proposte vi sembra ragionevole o equilibrata, non vi stupite se le porte rimarranno chiuse fino a che sarete in armi.»

4, 4. Cosí parlò Gesú, ma la massa degli Idumei non gli 270 dette ascolto, anzi era infuriata di non poter entrare immediatamente, mentre i capi fremevano all'idea di deporre le armi: a farlo per ingiunzione di altri pareva loro come di esser caduti prigionieri. Simone figlio di Caatha[10], uno dei coman- 271

165 εἷς, μόλις τῶν οἰκείων καταστείλας τὸν θόρυβον καὶ στὰς
εἰς ἐπήκοον τοῖς ἀρχιερεῦσιν, οὐκέτι θαυμάζειν ἔφη φρου- 272
ρουμένων ἐν τῷ ἱερῷ τῶν προμάχων τῆς ἐλευθερίας, εἴ
γε καὶ τῷ ἔθνει κλείουσί τινες ἤδη τὴν κοινὴν πόλιν, καὶ 273
Ῥωμαίους μὲν εἰσδέχεσθαι παρασκευάζονται, τάχα καὶ
170 στεφανώσαντες τὰς πύλας, Ἰδουμαίοις δὲ ἀπὸ τῶν πύργων
διαλέγονται καὶ τὰ ὑπὲρ τῆς ἐλευθερίας ὅπλα κελεύουσι
ῥῖψαι, μὴ πιστεύοντες δὲ τοῖς συγγενέσι τὴν τῆς μητρο- 274
πόλεως φυλακὴν τοὺς αὐτοὺς δικαστὰς ποιοῦνται τῶν δια-
φόρων, καὶ κατηγοροῦντές τινων ὡς ἀποκτείνειαν ἀκρίτους,
175 αὐτοὶ καταδικάζοιεν ὅλου τοῦ ἔθνους ἀτιμίαν· τὴν γοῦν 275
ἅπασι τοῖς ἀλλοφύλοις ἀναπεπταμένην εἰς θρησκείαν πόλιν
τοῖς οἰκείοις νῦν ἀποτετειχίσθαι. «πάνυ γὰρ ἐπὶ σφαγὰς 276
ἐσπεύδομεν καὶ τὸν κατὰ τῶν ὁμοφύλων πόλεμον οἱ διὰ
τοῦτο ταχύναντες, ἵν' ὑμᾶς τηρήσωμεν ἐλευθέρους. τοιαῦτα 277
180 μέντοι καὶ πρὸς τῶν φρουρουμένων ἠδίκησθε, καὶ πιθανὰς
οὕτως ὑποψίας οἶμαι κατ' ἐκείνων συνελέξατε. ἔπειτα τῶν 278
ἔνδον φρουρᾷ κρατοῦντες ὅσοι κήδονται τῶν κοινῶν πραγ-
μάτων, καὶ τοῖς συγγενεστάτοις ἔθνεσιν ἀθρόοις ἀποκλεί-
σαντες μὲν τὴν πόλιν ὑβριστικὰ δ' οὕτως προστάγματα
185 κελεύοντες, τυραννεῖσθαι λέγετε καὶ τὸ τῆς δυναστείας
ὄνομα τοῖς ὑφ' ὑμῶν τυραννουμένοις περιάπτετε. τίς ἂν 279
ἐνέγκαι τὴν εἰρωνείαν τῶν λόγων ἀφορῶν εἰς τὴν ἐναν-
τιότητα τῶν πραγμάτων; εἰ μὴ καὶ νῦν ὑμᾶς ἀποκλείουσιν
Ἰδουμαῖοι τῆς μητροπόλεως, οὓς αὐτοὶ τῶν πατρίων ἱερῶν
190 εἴργετε. μέμψαιτ' ἂν εἰκότως τις τοὺς ἐν τῷ ἱερῷ πολιορ- 280
κουμένους, ὅτι θαρσήσαντες τοὺς προδότας κολάζειν, οὓς
ὑμεῖς ἄνδρας ἐπισήμους καὶ ἀκαταιτιάτους λέγετε διὰ τὴν
κοινωνίαν, οὐκ ἀφ' ὑμῶν ἤρξαντο καὶ τὰ καιριώτατα τῆς

177. ἀποτετειχίσθαι: ἀποτετειχίσθε A 178. τὸν: om. PAR τῶν C | οἱ: οἳ PA[1] 178-9. διὰ τοῦτο ταχύναντες, ἵν' ὑμᾶς: διαταχύναντες ἵν' ὑμᾶς PA διὰ τοῦτ' ἀτυχήσαντες ἵν' ὑμᾶς L διὰ τοῦτο ταχύναντες ἵνα ἀτυχήσαντες VRC 181. κατ': καὶ κατ' MLVRC 184. προστάγματα: πρὸς τὰ πράγματα PAVR 185. λέγετε: ἐλέγετε PA 188. ὑμᾶς: ἡμᾶς PAL 189. Ἰδουμαῖοι: ἰδουμαίους PAL Lat | οὓς: ὡς P 193. τὰ καιριώτατα τῆς: τῆς καιριωτάτης

danti, sedati a stento gli schiamazzi dei suoi e collocatosi in un luogo donde poteva essere udito dai sommi sacerdoti, rispose che non si meravigliava piú che fossero assediati nel 272 tempio i paladini della libertà dal momento che s'impediva ai connazionali di entrare nella città comune; non si meravigliava 273 che essi si apprestassero ad accogliere i romani, magari adornando di corone le porte, mentre con gli Idumei parlavano dall'alto delle torri e ordinavano loro di gettare le armi impugnate per difendere la libertà; non si meravigliava che essi, 274 pur non volendo affidare la difesa della metropoli a consanguinei, li scegliessero poi ad arbitri dei loro contrasti; non si meravigliava che essi, mentre accusavano taluni di aver condannato a morte senza processi, alla lor volta condannavano l'intera nazione alla vergogna. E la città, normalmente aperta 275 per il culto divino a tutti gli stranieri, adesso era preclusa ai suoi stessi cittadini. « Proprio a far stragi e combattere 276 contro i connazionali ci siamo precipitati noi che invece siamo accorsi al solo scopo di preservare la vostra indipendenza[11]! Tali saranno stati anche i torti che avete subito dagli assediati. 277 e altrettanto fondati io penso che siano i sospetti da voi raccolti contro di loro! E poi, mentre tenete rinchiusi i cittadini 278 che si preoccupano del bene comune, e impedite di entrare in città a un intero popolo fratello con un'ingiunzione cosí offensiva, affermate di essere oppressi, e date il nome di tiranni a chi è invece calpestato da voi. Chi potrebbe tollerare l'ironia 279 di tali parole considerando che i fatti stanno tutt'al contrario? A meno che anche in questo caso non siano gli Idumei a impedirvi di entrare nella metropoli, quegli Idumei cui in realtà voi precludete l'accesso ai sacri riti tradizionali. Se veramente 280 un rimprovero meritano gli assediati nel tempio è che essi, pur avendo avuto il coraggio di punire i traditori, quelli che voi chiamate galantuomini e innocentissimi perché ne eravate i complici, non hanno cominciato da voi mozzando le membra

προδοσίας μέρη προαπέκοψαν. ἀλλ' εἰ κἀκεῖνοι τῆς χρείας ἐγένοντο μαλακώτεροι, τηρήσομεν Ἰδουμαῖοι τὸν οἶκον τοῦ θεοῦ καὶ τῆς κοινῆς πατρίδος προπολεμήσομεν, ἅμα τούς τε ἔξωθεν ἐπιόντας καὶ τοὺς ἔνδον προδιδόντας ἀμυνόμενοι πολεμίους. ἐνθάδε πρὸ τῶν τειχῶν μενοῦμεν ἐν τοῖς ὅπλοις, ἕως ἂν Ῥωμαῖοι κάμωσι προσέχοντες ὑμῖν ἢ ὑμεῖς ἐλεύθερα φρονήσαντες μεταβάλησθε.»

4, 5. τούτοις τὸ μὲν τῶν Ἰδουμαίων ἐπεβόα πλῆθος, ὁ δὲ Ἰησοῦς ἀθυμῶν ἀνεχώρει τοὺς μὲν Ἰδουμαίους μηδὲν φρονοῦντας ὁρῶν μέτριον, διχόθεν δὲ τὴν πόλιν πολεμουμένην. ἦν δ' οὐδὲ τοῖς Ἰδουμαίοις ἐν ἠρεμίᾳ τὰ φρονήματα· καὶ γὰρ τεθύμωντο πρὸς τὴν ὕβριν εἰρχθέντες τῆς πόλεως καὶ τὰ τῶν ζηλωτῶν ἰσχυρὰ δοκοῦντες, ὡς οὐδὲν ἐπαμύνοντας ἑώρων, ἠποροῦντο καὶ μετενόουν πολλοὶ τὴν ἄφιξιν. ἡ δὲ αἰδὼς τοῦ τέλεον ἀπράκτους ὑποστρέφειν ἐνίκα τὴν μεταμέλειαν, ὥστε μένειν αὐτόθι πρὸ τοῦ τείχους κακῶς αὐλιζομένους· διὰ γὰρ τῆς νυκτὸς ἀμήχανος ἐκρήγνυται χειμὼν ἄνεμοί τε βίαιοι σὺν ὄμβροις λαβροτάτοις καὶ συνεχεῖς ἀστραπαὶ βρονταί τε φρικώδεις καὶ μυκήματα σειομένης τῆς γῆς ἐξαίσια. πρόδηλον δ' ἦν ἐπ' ἀνθρώπων ὀλέθρῳ τὸ κατάστημα τῶν ὅλων συγκεχυμένον, καὶ οὐχὶ μικροῦ τις ἂν εἰκάσαι συμπτώματος τὰ τέρατα.

4, 6. μία δὲ τοῖς Ἰδουμαίοις καὶ τοῖς ἐν τῇ πόλει παρέστη δόξα, τοῖς μὲν ὀργίζεσθαι τὸν θεὸν ἐπὶ τῇ στρατείᾳ καὶ οὐκ ἂν διαφυγεῖν ἐπενεγκόντας ὅπλα τῇ μητροπόλει, τοῖς δὲ περὶ τὸν Ἄνανον νενικηκέναι χωρὶς παρατάξεως καὶ τὸν θεὸν ὑπὲρ αὐτῶν στρατηγεῖν. κακοὶ δ' ἦσαν ἄρα τῶν μελλόντων στοχασταὶ καὶ κατεμαντεύοντο τῶν ἐχθρῶν ἃ τοῖς ἰδίοις αὐτῶν ἐπῄει παθεῖν· οἱ μὲν γὰρ Ἰδουμαῖοι συσπειραθέντες τοῖς σώμασιν ἀλλήλους ἀντέθαλπον καὶ τοὺς

195. τηρήσομεν: τηρήσωμεν PAMLVR 196. προπολεμήσομεν: προπολεμήσωμεν AMLVR 199. ὑμῖν Hudson ἡμῖν codd. 209. μένειν: ἐμμένειν PAM 217. τὸν θεὸν: τὸ θεῖον L | στρατείᾳ: στρατιᾷ PAMVRC 223. συσπειραθέντες: συμπειραθέντες C συστραφέντες PAMVR

piú importanti del tradimento. Ma se quelli furono troppo clementi, penseremo noi Idumei a preservare la casa di dio e a batterci per la patria comune, affrontando sia i nemici che avanzano dall'esterno, sia quelli che la tradiscono all'interno. Qui dinanzi alle mura noi resteremo in armi, finché i romani non si stanchino di darvi retta o voi non vi convertiate alla causa della libertà.»

4, 5. A questo discorso la massa degli Idumei gridò il suo assenso, mentre Gesú si ritirava scoraggiato al vedere che fra gli Idumei non v'era alcun proposito di moderazione e che la città si trovava ad esser combattuta da due parti. Ma nemmeno gli Idumei erano sereni: li bruciava l'affronto di esser stati esclusi dalla città, e poi credevano che gli Zeloti fossero forti, ma quando videro che nessuno accorreva in loro sostegno restarono perplessi e molti si pentirono di aver intrapreso la spedizione. Ma la vergogna di tornare indietro senza aver concluso proprio nulla fu piú forte del pentimento, sí che essi rimasero lí accampati alla peggio dinanzi alle mura. Durante la notte scoppiò un violento temporale con venti impetuosi, piogge torrenziali, un terrificante susseguirsi di fulmini e tuoni e spaventosi boati di terremoto[12]. Sembrava la rovina dell'universo per la distruzione del genere umano, e vi si potevano riconoscere i segni di un'immane catastrofe.

4, 6. Gli Idumei e quelli nella città ebbero uno stesso pensiero: gli uni che il dio fosse offeso per la spedizione e che non sarebbero sfuggiti al suo castigo per aver portato le armi contro la metropoli, gli uomini del seguito di Anano ritennero di aver in pugno la vittoria senza combattere e che il dio si fosse posto alla loro testa. Ma furono cattivi indovini del futuro, e la rovina che presagivano ai nemici stava per abbattersi sui loro compagni. Gli Idumei raccogliendosi in gruppi si scaldarono a vicenda e, riuniti gli scudi al di sopra

θυρεοὺς ὑπὲρ κεφαλῆς συμφράξαντες ἧττον ἐκακοῦντο τοῖς
225 ὑετοῖς, οἱ δὲ ζηλωταὶ μᾶλλον τοῦ καθ' αὑτοὺς κινδύνου 291
ὑπὲρ ἐκείνων ἐβασανίζοντο καὶ συνελθόντες ἐσκόπουν, εἴ
τινα μηχανὴν αὐτοῖς ἀμύνης ἐπινοήσειαν. τοῖς μὲν οὖν 292
θερμοτέροις ἐδόκει μετὰ τῶν ὅπλων βιάζεσθαι τοὺς παρα-
φυλάσσοντας, ἔπειτα δ' εἰσπεσόντας εἰς μέσαν τῆς πόλεως
230 ἀναφανδὸν ἀνοίγειν τοῖς συμμάχοις τὰς πύλας· τούς τε 293
γὰρ φύλακας εἴξειν πρὸς τὸ ἀδόκητον αὐτῶν τεταραγμέ-
νους, ἄλλως τε καὶ τοὺς πλείονας ὄντας ἀνόπλους καὶ πολέ-
μων ἀπείρους, καὶ τῶν κατὰ τὴν πόλιν δυσσύνακτον ἔσεσθαι
τὸ πλῆθος κατειλημένον ὑπὸ τοῦ χειμῶνος εἰς τὰς οἰκίας.
235 εἰ δὲ καί τις γένοιτο κίνδυνος, πρέπειν αὐτοῖς πᾶν ὁτιοῦν 294
παθεῖν ἢ περιιδεῖν τοσοῦτον πλῆθος δι' αὐτοὺς αἰσχρῶς
ἀπολλύμενον. οἱ δὲ συνετώτεροι βιάζεσθαι μὲν ἀπεγίνωσκον, 295
ὁρῶντες οὐ μόνον τὴν αὐτῶν φρουρὰν πληθύουσαν ἀλλὰ καὶ
τὸ τῆς πόλεως τεῖχος διὰ τοὺς Ἰδουμαίους ἐπιμελῶς φυλασ-
240 σόμενον, ᾤοντό τε πανταχοῦ τὸν Ἄνανον παρεῖναι καὶ 296
κατὰ πᾶσαν ὥραν ἐπισκέπτεσθαι τὰς φυλακάς· ὃ δὴ ταῖς 297
μὲν ἄλλαις νυξὶν οὕτως εἶχεν, ἀνείθη δὲ κατ' ἐκείνην, οὔτι
κατὰ τὴν Ἀνάνου ῥᾳθυμίαν, ἀλλ' ὡς αὐτός τ' ἐκεῖνος
ἀπόλοιτο καὶ τὸ πλῆθος τῶν φυλάκων στρατηγούσης τῆς
245 εἱμαρμένης. ἣ δὴ καὶ τότε τῆς νυκτὸς προκοπτούσης καὶ 298
τοῦ χειμῶνος ἐπακμάζοντος κοιμίζει μὲν τοὺς ἐπὶ τῇ στοᾷ
φρουρούς, τοῖς δὲ ζηλωταῖς ἐπίνοιαν ἐμβάλλει τῶν ἱερῶν
αἴροντας πριόνων ἐκτεμεῖν τοὺς μοχλοὺς τῶν πυλῶν. συνήρ- 299
γησε δ' αὐτοῖς πρὸς τὸ μὴ κατακουσθῆναι τὸν ψόφον ὅ
250 τε τῶν ἀνέμων ἦχος καὶ τὸ τῶν βροντῶν ἐπάλληλον.

4, 7. διαλαθόντες δ' ἐκ τοῦ ἱεροῦ παραγίνονται πρὸς 300
τὸ τεῖχος καὶ τοῖς αὐτοῖς πρίοσι χρώμενοι τὴν κατὰ τοὺς

225. καθ'αὑτοὺς: καθ'ἑαυτῶν L 231. αὐτῶν: αὐτοῖς L 232. πλείονας: πλείονας αὐτῶν PAMVRC 234. κατειλημένον Bekker κατειλημμένον codd. 238. πληθύουσαν: πλήθουσαν VRC 242. ἀνείθη: ἀνέθη ML | οὔτι: οὐ PA Lat οὔτε L 243. ἀλλ' ὡς: ἀλλ'ὥστε PALVR ἄλλως τε M | τ' ins. Herwerden 245. καὶ τότε: καὶ δὴ τότε M καὶ δὴ VC 251. διαλαθόντες: διαλανθάνοντες A διαλανθάνοντας P

delle teste, ridussero i danni della pioggia; nel frattempo gli 291
Zeloti, preoccupati piú per gli Idumei che per la loro critica
situazione, si radunarono per vedere se si poteva trovare il
mezzo per soccorrerli. Le teste piú calde proponevano di 292
aprirsi con le armi la strada attraverso gli assedianti e poi,
piombati nel mezzo della città, correre senza esitazione a spa-
lancare le porte agli alleati; i nemici di guardia, sconvolti 293
dalla loro improvvisa apparizione, avrebbero ceduto, anche
perché erano per lo piú disarmati e inesperti del combatti-
mento, mentre la massa dei cittadini difficilmente si sarebbe
potuta radunare essendo stata costretta in casa dalla bufera.
E se anche si fosse presentato qualche pericolo, avevano il 294
dovere di affrontare qualunque prova pur di non lasciar perire
miseramente per colpa loro una cosí grande moltitudine. Gli 295
elementi piú cauti però sconsigliarono questa prova di forza,
vedendo che non solo erano pieni di nemici i posti di blocco
sistemati contro di loro, ma che anche le mura della città
erano sottoposte ad attenta vigilanza a causa degli Idumei;
inoltre essi ritenevano che Anano si presentasse dappertutto 296
e ispezionasse continuamente le sentinelle. E in realtà cosí 297
era stato nelle notti precedenti, ma il controllo venne allen-
tato proprio in quella, e non per negligenza di Anano, ma
perché fu volere del destino che perissero lui e la moltitudine
degli uomini di guardia[13]. Fu il destino che allora, mentre 298
avanzava la notte e il temporale raggiungeva il massimo della
furia, fece addormentare gli uomini di guardia ai portici e
suggerí agli Zeloti di prendere le seghe che stavano nel tem-
pio[14] per tagliare le sbarre che tenevano chiuse le porte. A 299
non far sentire il rumore che facevano contribuí il sibilare dei
venti e il continuo rimbombo dei tuoni.

4, 7. Senza che nessuno se n'accorgesse, quegli uomini 300
arrivarono dal tempio alle porte e, usando le stesse seghe,

Ἰδουμαίους ἀνοίγουσι πύλην. τοῖς δὲ τὸ μὲν πρῶτον ἐμπί- 301
πτει ταραχὴ τοὺς περὶ τὸν Ἄνανον ἐπιχειρεῖν οἰηθεῖσι,
255 καὶ πᾶς ἐπὶ τοῦ ξίφους ἔσχε τὴν δεξιὰν ὡς ἀμυνόμενος·
ταχέως δὲ γνωρίζοντες τοὺς ἥκοντας εἰσῄεσαν. εἰ μὲν οὖν 302
ἐτράποντο περὶ τὴν πόλιν, οὐδὲν ἐκώλυσεν ἂν ἀπολωλέναι
τὸν δῆμον αὔτανδρον, οὕτως εἶχον ὀργῆς· νῦν δὲ πρώτους
τοὺς ζηλωτὰς ἔσπευδον τῆς φρουρᾶς ἐξελέσθαι, δεομένων
260 πολλὰ καὶ τῶν εἰσδεξαμένων μὴ περιιδεῖν δι' οὓς ἦλθον
ἐν μέσοις τοῖς δεινοῖς μηδ' αὐτοῖς χαλεπώτερον ἐπισεῖσαι
τὸν κίνδυνον· τῶν μὲν γὰρ φρουρῶν ἁλόντων ῥᾴδιον αὐτοῖς 303
εἶναι χωρεῖν ἐπὶ τὴν πόλιν, εἰ δ' ἅπαξ ταύτην προκινήσειαν,
οὐκ ἂν ἔτ' ἐκείνων κρατῆσαι· πρὸς γὰρ τὴν αἴσθησιν συν- 304
265 τάξεσθαι αὐτοὺς καὶ τὰς ἀνόδους ἀποφράξειν.

5, 1. συνεδόκει ταῦτα τοῖς Ἰδουμαίοις, καὶ διὰ τῆς 305
πόλεως ἀνέβαινον πρὸς τὸ ἱερόν, μετέωροί τε οἱ ζηλωταὶ
τὴν ἄφιξιν αὐτῶν ἐκαραδόκουν καὶ παριόντων εἴσω καὶ
αὐτοὶ θαρροῦντες προῄεσαν ἐκ τοῦ ἐνδοτέρου ἱεροῦ. μιγέντες 306
5 δὲ τοῖς Ἰδουμαίοις προσέβαλλον ταῖς φυλακαῖς, καὶ τινὰς
μὲν τῶν προκοιτούντων ἀπέσφαξαν κοιμωμένους, πρὸς δὲ
τὴν τῶν ἐγρηγορότων βοὴν διανέστη πᾶν τὸ πλῆθος καὶ
μετ' ἐκπλήξεως ἁρπάζοντες τὰ ὅπλα πρὸς τὴν ἄμυναν
ἐχώρουν. ἕως μὲν οὖν μόνους τοὺς ζηλωτὰς ἐπιχειρεῖν ὑπε- 307
10 λάμβανον, ἐθάρρουν ὡς τῷ πλήθει περιεσόμενοι, κατιδόν-
τες δ' ἔξωθεν ἐπεισχεομένους ἄλλους ᾔσθοντο τὴν εἰσβολὴν
τῶν Ἰδουμαίων, καὶ τὸ μὲν πλέον αὐτῶν ἅμα ταῖς ψυχαῖς 308
κατέβαλλε τὰ ὅπλα καὶ πρὸς οἰμωγαῖς ἦν, φραξάμενοι δὲ
ὀλίγοι τῶν νέων γενναίως ἐδέχοντο τοὺς Ἰδουμαίους καὶ
15 μέχρι πολλοῦ τὴν ἀργοτέραν πληθὺν ἔσκεπον. οἱ δὲ κραυγῇ 309

254. τοὺς: τοῖς PMC 255. ἀμυνόμενος: ἀμυνούμενος R 256. γνωρίζοντες: γνωρίσαντες MVRC 259. ἔσπευδον: σπεύδοντες PAMLVR 264-5. συντάξεσθαι Bekker συντάξασθαι codd.
5, 4. προῄεσαν: προΐεσαν PA προσίεσαν L 11. ἐπεισχεομένους: ἐπιχεομένους PA ἐπισχεομένους C 13. κατέβαλλε: κατέβαλε MV[2] κατέβαλλον L

aprirono la porta dirimpetto agli Idumei. Questi dapprima 301
ne furono scompigliati credendo di essere assaliti dagli uomini
di Anano, e tutti misero mano alle spade per difendersi; ma
ben presto riconobbero chi erano ed entrarono nella città. Se 302
si fossero scatenati per la città, niente avrebbe potuto impedire
che il popolo fosse sterminato fino all'ultimo uomo, tanto
erano inferociti; invece per prima cosa si affrettarono a libe-
rare gli Zeloti dal blocco, anche per le molte insistenze di
quelli che li avevano fatti entrare, che li pregavano di non
dimenticarsi nel momento del pericolo di coloro in cui aiuto
erano venuti e di non esporre sé stessi a rischi piú gravi. In- 303
fatti, una volta eliminati gli uomini di guardia, piú facilmente
avrebbero potuto rivolgersi contro la città, mentre se aves-
sero cominciato da questa non sarebbero piú riusciti ad aver
ragione di quelli, che al primo sentore si sarebbero raccolti 304
a battaglia sbarrando ogni via di accesso.

5, 1. Gli Idumei furono d'accordo e attraversando la città 305
salirono al tempio. Gli Zeloti aspettavano ansiosamente il
loro arrivo e, quando essi entrarono nel recinto, si fecero loro
incontro baldanzosamente dall'interno del tempio. Unitisi agli 306
Idumei si scagliarono sugli assedianti e ne uccisero alcuni dei
piú vicini immersi nel sonno; alle grida di chi si svegliava
balzarono tutti in piedi atterriti e, afferrate le armi, s'avanza-
rono a battaglia. Fino a che credettero che ad assalirli fossero 307
i soli Zeloti, si batterono coraggiosamente confidando di
aver la meglio per il loro gran numero, ma quando videro
che altri irrompevano dal di fuori capirono che gli Idumei
erano penetrati nella città. Allora i piú furono presi dallo 308
sconforto e, gettate le armi, scoppiarono in lamenti; soltanto
pochi fra i giovani, strettisi insieme, opposero un'animosa
resistenza agli Idumei e per parecchio tempo protessero la
moltitudine inerte. Questa con le sue grida rivelò ai cittadini 309

www.scribd.com/Cultura_in_Ita5

διεσήμαινον τοῖς κατὰ τὴν πόλιν τὰς συμφοράς, κἀκείνων
ἀμῦναι μὲν οὐδεὶς ἐτόλμησεν, ὡς ἔμαθον εἰσπεπαικότας
τοὺς Ἰδουμαίους, ἀργὰ δ' ἀντεβόων καὶ ἀντωλοφύροντο,
καὶ πολὺς κωκυτὸς γυναικῶν ἠγείρετο κινδυνεύοντος ἑκάστη
20 τινὸς τῶν φυλάκων. οἱ δὲ ζηλωταὶ τοῖς Ἰδουμαίοις συνε- 310
πηλάλαζον καὶ τὴν ἐκ πάντων βοὴν ὁ χειμὼν ἐποίει φοβερω-
τέραν. ἐφείδοντό τε οὐδενὸς Ἰδουμαῖοι, φύσει τε ὠμότατοι
φονεύειν ὄντες καὶ τῷ χειμῶνι κεκακωμένοι κατὰ τῶν ἀπο-
κλεισάντων ἐχρῶντο τοῖς θυμοῖς· ἦσαν δ' ὅμοιοι τοῖς ἱκε- 311
25 τεύουσι καὶ τοῖς ἀμυνομένοις καὶ πολλοὺς τήν τε συγ-
γένειαν ἀναμιμνήσκοντας καὶ δεομένους τοῦ κοινοῦ ἱεροῦ
λαβεῖν αἰδῶ διήλαυνον τοῖς ξίφεσιν. ἦν δὲ φυγῆς μὲν οὐδεὶς 312
τόπος οὐδὲ σωτηρίας ἐλπίς, συνωθούμενοι δὲ περὶ ἀλλήλους
κατεκόπτοντο, καὶ τὸ πλέον ἐκβιαζόμενοι, ὡς οὐκέτ' ἦν
30 ὑποχωρήσεως τόπος ἐπῄεσαν δ' οἱ φονεύοντες, ὑπ' ἀμη-
χανίας κατεκρήμνιζον ἑαυτοὺς εἰς τὴν πόλιν, οἰκτρότερον
ἔμοιγε δοκεῖν οὗ διέφευγον ὀλέθρου τὸν αὐθαίρετον ὑπο-
μένοντες. ἐπεκλύσθη δὲ τὸ ἔξωθεν ἱερὸν πᾶν αἵματι, καὶ 313
νεκροὺς ὀκτακισχιλίους πεντακοσίους ἡ ἡμέρα κατελάμβανεν.
35 **5,** 2. οὐκ ἐκορέσθησαν δὲ τούτοις οἱ θυμοὶ τῶν Ἰδου- 314
μαίων, ἀλλ' ἐπὶ τὴν πόλιν τραπόμενοι πᾶσαν μὲν οἰκίαν
διήρπαζον, ἔκτεινον δὲ τὸν περιτυχόντα. καὶ τὸ μὲν ἄλλο 315
πλῆθος αὐτοῖς ἐδόκει παρανάλωμα, τοὺς δ' ἀρχιερεῖς ἀνε-
ζήτουν, καὶ κατ' ἐκείνων ἦν τοῖς πλείστοις ἡ φορά. ταχέως 316
40 δ' ἁλόντες διεφθείροντο, καὶ τοῖς νεκροῖς αὐτῶν ἐπιστάντες
τὸν μὲν Ἄνανον τῆς πρὸς τὸν δῆμον εὐνοίας, τὸν δὲ Ἰησοῦν
τῶν ἀπὸ τοῦ τείχους λόγων ἐπέσκωπτον. προῆλθον δὲ εἰς 317
τοσοῦτον ἀσεβείας, ὥστε καὶ ἀτάφους ῥῖψαι, καίτοι τοσαύτην
Ἰουδαίων περὶ τὰς ταφὰς πρόνοιαν ποιουμένων, ὥστε καὶ

17. εἰσπεπαικότας: εἰσπεπτωκότας MC εἰσπεπεκότας R 18. ἀργὰ: ἄγαν MLVRC 19. ἑκάστη: ἑκάστης PA ἕκαστοι VRC 24. θυμοῖς: ὅπλοις PAMC ἐχθροῖς LR Lat 26. τοῦ: τὴν τοῦ P 30. ἐπῄεσαν: ἐπίεσαν PA 32. δοκεῖν L. Dindorf δοκεῖ codd. | διέφευγον: διέφυγον PAMLV 44. ποι-ουμένων: πεποιημένων PMVR

la tragica situazione che s'era creata, ma nessuno di quelli ebbe l'ardire di venire al soccorso quando seppero che gli Idumei erano entrati in città, e si limitarono a rispondere con inutili grida e lamenti, mentre si levava un coro di gemiti da tutte le donne in ansia per qualcuno degli uomini di guardia. Dall'altra parte gli Zeloti facevano eco al grido di guerra degli (310) Idumei, e i loro clamori riuniti erano resi ancora piú terrificanti dal frastuono della tempesta. Gli Idumei non risparmiarono nessuno, sia perché erano per natura feroci e sanguinari, sia perché, ridotti a mal partito dal temporale, si sfogarono contro chi li aveva tenuti fuori delle mura; trattarono con (311) uguale spietatezza tanto chi li implorava quanto chi opponeva resistenza, e passarono a fil di spada anche molti che si appellavano ai legami di parentela o li supplicavano di aver rispetto per il loro santuario comune. Non v'era alcuna via (312) di scampo né speranza di salvezza, ma risospinti l'uno sull'altro venivano trucidati, e i piú, incalzati dove non c'era piú spazio per indietreggiare mentre i loro carnefici avanzavano, presi dalla disperazione si precipitavano a capo fitto sulla città[1], affrontando volontariamente una morte a mio parere piú dolorosa di quella cui si sottraevano. Il piazzale (313) antistante al tempio fu tutto un lago di sangue, e il giorno spuntò su ottomila e cinquecento cadaveri[2].

5, 2. Costoro non bastarono però ad appagare il furore (314) degli Idumei, che, rovesciatisi sulla città, depredavano ogni casa e uccidevano chiunque capitava. Ma a sfogarsi sulla gente (315) comune sembrava loro di perdere il tempo, e diedero la caccia ai sommi sacerdoti sguinzagliandosi per la maggior parte contro di loro. In breve li presero e li uccisero; poi, accalcandosi (316) presso i loro cadaveri, beffeggiavano Anano per il suo amor di patria e Gesú per il suo discorso dalle mura. Giunsero a tal (317) punto di empietà, da gettarli via insepolti, mentre i giudei si danno tanta cura di seppellire i morti, che finanche i condan-

45 τοὺς ἐκ καταδίκης ἀνεσταυρωμένους πρὸ δύντος ἡλίου κα-
θελεῖν τε καὶ θάπτειν. οὐκ ἂν ἁμάρτοιμι δ' εἰπὼν ἁλώσεως 318
ἄρξαι τῇ πόλει τὸν 'Ανάνου θάνατον, καὶ ἀπ' ἐκείνης τῆς
ἡμέρας ἀνατραπῆναι τὸ τεῖχος καὶ διαφθαρῆναι τὰ πράγ-
ματα 'Ιουδαίοις, ἐν ᾗ τὸν ἀρχιερέα καὶ ἡγεμόνα τῆς ἰδίας
50 σωτηρίας αὐτῶν ἐπὶ μέσης τῆς πόλεως εἶδον ἀπεσφαγμένον.
ἦν γὰρ δὴ τά τε ἄλλα σεμνὸς ἀνὴρ καὶ δικαιότατος, καὶ 319
παρὰ τὸν ὄγκον τῆς τε εὐγενείας καὶ τῆς ἀξίας καὶ ἧς
εἶχε τιμῆς ἠγαπηκὼς τὸ ἰσότιμον καὶ πρὸς τοὺς ταπεινο-
τάτους, φιλελεύθερός τε ἐκτόπως καὶ δημοκρατίας ἐραστής, 320
55 πρό τε τῶν ἰδίων λυσιτελῶν τὸ κοινῇ συμφέρον ἀεὶ τιθέ-
μενος καὶ περὶ παντὸς ποιούμενος τὴν εἰρήνην· ἄμαχα
γὰρ ᾔδει τὰ 'Ρωμαίων· προσκοπούμενος δ' ὑπ' ἀνάγκης
καὶ τὰ κατὰ τὸν πόλεμον, ὅπως, εἰ μὴ διαλύσαιντο 'Ιουδαῖοι,
δεξιῶς διαφέροιντο. καθόλου δ' εἰπεῖν, ζῶντος 'Ανάνου πάν- 321
60 τως ἂν ἢ διελύθησαν· δεινὸς γὰρ ἦν εἰπεῖν τε καὶ πεῖσαι
τὸν δῆμον, ἤδη δὲ ἐχειροῦτο καὶ τοὺς ἐμποδίζοντας· ἢ
πολεμοῦντες πλείστην ἂν τριβὴν 'Ρωμαίοις παρέσχον ὑπὸ
τοιούτῳ στρατηγῷ. παρέζευκτο δ' αὐτῷ καὶ ὁ 'Ιησοῦς, 322
αὐτοῦ μὲν λειπόμενος κατὰ σύγκρισιν, προύχων δὲ τῶν
65 ἄλλων. ἀλλ' οἶμαι κατακρίνας ὁ θεὸς ὡς μεμιασμένης τῆς 323
πόλεως ἀπώλειαν καὶ πυρὶ βουλόμενος ἐκκαθαρθῆναι τὰ
ἅγια τοὺς ἀντεχομένους αὐτῶν καὶ φιλοστοργοῦντας πε-
ριέκοπτεν. οἱ δὲ πρὸ ὀλίγου τὴν ἱερὰν ἐσθῆτα περικείμενοι 324
καὶ τῆς κοσμικῆς θρησκείας κατάρχοντες προσκυνούμενοί
70 τε τοῖς ἐκ τῆς οἰκουμένης παραβάλλουσιν εἰς τὴν πόλιν,
ἐρριμμένοι γυμνοὶ βορὰ κυνῶν καὶ θηρίων ἐβλέποντο. αὐτὴν 325
ἐπ' ἐκείνοις στενάξαι τοῖς ἀνδράσι δοκῶ τὴν ἀρετήν, ὀλο-

45-6. καθελεῖν: καθαιρεῖν M καθαίρειν L 51. ἀνὴρ Destinon ἁνὴρ PAMVRC ὁ ἀνὴρ L 55. πρό τε: πρότερον P πρό γε L πρός τε R[a] 57. ᾔδει: ἤδη VRC 58. τὰ: om. ALVRC 59. διαφέροιντο: διαφθείροιντο PAMLV[1]C 60. ἢ διελύθησαν Niese διελύθησαν codd. 62. πολεμοῦντες Destinon et Niese πολεμοῦντας codd. 71. ἐρριμμένοι: ἐρριμένοι AVR ἐριμμένοι C

nati alla crocifissione vengono deposti e sepolti prima del calar del sole[3]. Non credo di sbagliare dicendo che la morte di 318 Anano segnò l'inizio della distruzione della città, e che le sue mura caddero e lo stato dei giudei andò in rovina a cominciare dal giorno in cui essi videro scannato in mezzo alla città il loro sommo sacerdote e il capo della loro salvezza. Era 319 stato un uomo venerando sotto ogni rispetto e di assoluta integrità, che pur dall'alto della sua nobiltà, del suo rango e della sua onorifica posizione si era sempre compiaciuto di trattare alla pari anche le persone piú umili, un uomo straordinariamente attaccato alla libertà e alla democrazia, che al- 320 l'interesse privato aveva sempre anteposto il bene comune. Quello di salvare la pace fu il primo dei suoi pensieri, perché sapeva che non sarebbe stato possibile battere i romani, ma, costretto dalla necessità, si preparò anche alla guerra in modo che, se i giudei non fossero riusciti a raggiungere un accordo, potessero almeno scendere in campo in condizioni favorevoli. Insomma, se Anano fosse sopravvissuto, certamente i giudei 321 sarebbero venuti a un'intesa, perché egli era un abile parlatore, capace di convincere il popolo, e già aveva preso il sopravvento sugli avversari; altrimenti, in caso di guerra, avrebbero dato molto filo da torcere ai romani sotto un simile comandante[4]. A lui si affiancava degnamente Gesú, inferiore rispetto 322 ad Anano, ma superiore agli altri. Debbo ritenere che dio, 323 avendo condannato alla distruzione la città contaminata e volendo purificare col fuoco i luoghi santi, eliminò coloro che vi erano attaccati con tanto amore. E quelli che poco prima, 324 avvolti nei sacri paramenti, avevano presieduto a cerimonie di culto di portata universale[5] ed erano stati oggetto di venerazione da gente venuta nella città da ogni paese, era dato ora di vederli gettati ignudi in pasto ai cani e alle fiere. Su uomini 325 siffatti io credo che la stessa Virtú abbia lacrimato, lamentando

φυρομένην ὅτι τοσοῦτον ἥττητο τῆς κακίας. ἀλλὰ γὰρ τὸ
μὲν Ἀνάνου καὶ Ἰησοῦ τέλος τοιοῦτον ἀπέβη.

75 **5, 3.** μετὰ δ' ἐκείνους οἵ τε ζηλωταὶ καὶ τῶν Ἰδου- 326
μαίων τὸ πλῆθος τὸν λαὸν ὥσπερ ἀνοσίων ζῴων ἀγέλην
ἐπιόντες ἔσφαζον. καὶ τὸ μὲν εἰκαῖον ἐφ' οὗ καταληφθείη 327
τόπου διεφθείρετο, τοὺς δὲ εὐγενεῖς καὶ νέους συλλαμβά-
νοντες εἰς εἱρκτὴν κατέκλειον δεδεμένους, κατ' ἐλπίδα τοῦ
80 προσθήσεσθαί τινας αὐτοῖς τὴν ἀναίρεσιν ὑπερτιθέμενοι.
προσέσχε δ' οὐδείς, ἀλλὰ πάντες τοῦ τάξασθαι μετὰ τῶν 328
πονηρῶν κατὰ τῆς πατρίδος προείλοντο τὸν θάνατον. δεινὰς 329
δὲ τῆς ἀρνήσεως αἰκίας ὑπέμενον μαστιγούμενοί τε καὶ
στρεβλούμενοι, μετὰ δὲ τὸ μηκέτ' ἀρκεῖν τὸ σῶμα ταῖς
85 βασάνοις μόλις ἠξιοῦντο τοῦ ξίφους. οἱ συλληφθέντες δὲ 330
μεθ' ἡμέραν ἀνῃροῦντο νύκτωρ, καὶ τοὺς νεκροὺς ἐκφοροῦν-
τες ἔρριπτον, ὡς ἑτέροις εἴη δεσμώταις τόπος. ἦν δὲ 331
τοσαύτη τοῦ δήμου κατάπληξις, ὡς μηδένα τολμῆσαι μήτε
κλαίειν φανερῶς τὸν προσήκοντα νεκρὸν μήτε θάπτειν,
90 ἀλλὰ λαθραῖα μὲν ἦν αὐτῶν κατακεκλεισμένων τὰ δάκρυα
καὶ μετὰ περισκέψεως, μή τις ἐπακούσῃ τῶν ἐχθρῶν,
ἔστενον· ἴσα γὰρ τοῖς πενθουμένοις ὁ πενθήσας εὐθὺς ἔπασχε· 332
νύκτωρ δὲ κόνιν αἴροντες χεροῖν ὀλίγην ἐπερρίπτουν τοῖς
σώμασι, καὶ μεθ' ἡμέραν εἴ τις παράβολος. μύριοι καὶ δισ- 333
95 χίλιοι τῶν εὐγενῶν νέων οὕτως διεφθάρησαν.

5, 4. οἱ δὲ ἤδη διαμεμισηκότες τὸ φονεύειν ἀνέδην 334
εἰρωνεύοντο δικαστήρια καὶ κρίσεις. καὶ δή τινα τῶν ἐπι- 335
φανεστάτων ἀποκτείνειν προθέμενοι Ζαχαρίαν υἱὸν Βάρεις·
παρώξυνε δ' αὐτοὺς τὸ λίαν τἀνδρὸς μισοπόνηρον καὶ φι-
100 λελεύθερον, ἦν δὲ καὶ πλούσιος, ὥστε μὴ μόνον ἐλπίζειν
τὴν ἁρπαγὴν τῆς οὐσίας, ἀλλὰ καὶ προσαποσκευάσεσθαι

77. καταληφθείη: κατελήφθη VR 80. προσθήσεσθαι: προστεθήσεσθαι PAMVRC | ἀναίρεσιν: αἵρεσιν PL 86. ἀνῃροῦντο: ἀνήγοντο L Lat 93. χεροῖν: χερσίν L χαιροῖν C 94. μύριοι: μύριοι δὲ AMVRC 96. ἀνέδην: ἀνάιδην LVR 98. ἀποκτείνειν: ἀποκτεῖναι MVR^{2}C | Βάρεις: βαρεῖς VR βαρούχου MC βαρισκαίου LM^{2}

di esser stata cosí calpestata dalla malvagità: tale fu la fine di Anano e di Gesú.

5, 3. Dopo la loro uccisione gli Zeloti e la massa degli 326 Idumei si avventarono sul popolo facendone macello come di un branco di bestie immonde. La gente comune veniva mas- 327 sacrata sul posto appena era presa, mentre i giovani della nobiltà dopo la cattura li incatenarono e li gettarono in prigione, rinviandone l'uccisione nella speranza che qualcuno passasse dalla loro parte. Ma nessuno si lasciò persuadere, 328 perché tutti preferirono morire anziché schierarsi insieme con quei criminali contro la patria. Terribili furono i supplizi 329 cui vennero sottoposti dopo il rifiuto; furono flagellati e torturati, e solo quando il corpo non era piú in grado di resistere ai tormenti, a stento concedevano loro il colpo di grazia. Quelli presi di giorno venivano massacrati di notte, e i loro 330 cadaveri erano trasportati fuori e buttati via per far posto ad altri prigionieri. Tale fu il terrore del popolo, che nessuno 331 osava né lacrimare apertamente un congiunto ucciso né dargli sepoltura, ma piangevano nascostamente dopo essersi rinchiusi in casa, e gemevano badando a non farsi sentire dai nemici, altrimenti chi piangeva avrebbe immediatamente su- 332 bito la stessa sorte del compianto. Sui cadaveri, durante la notte, raccoglievano e gettavano un pugno di terra, e non mancò qualche coraggioso che osò farlo anche in pieno giorno. Dodicimila furono i giovani della nobiltà che perirono in 333 questo modo[6].

5, 4. Nauseati ormai dai massacri indiscriminati, quelli or- 334 ganizzarono la farsa di un regolare processo[7]. Si erano prefissi 335 di eliminare uno dei personaggi piú in vista, Zaccaria figlio di Baris[8], contro il quale li avevano inveleniti la sua grande avversione al male e l'amore per la libertà; inoltre era anche ricco, sí che non solo speravano di appropriarsi dei suoi beni,

δυνατὸν ἄνθρωπον εἰς τὴν ἑαυτῶν κατάλυσιν· συγκαλοῦσι 336
μὲν ἐξ ἐπιτάγματος ἑβδομήκοντα τῶν ἐν τέλει δημοτῶν
εἰς τὸ ἱερόν, περιθέντες δ' αὐτοῖς ὥσπερ ἐπὶ σκηνῆς σχῆμα
105 δικαστῶν ἔρημον ἐξουσίας τοῦ Ζαχαρίου κατηγόρουν, ὡς
ἐνδιδοίη τὰ πράγματα Ῥωμαίοις καὶ περὶ προδοσίας δια-
πέμψαιτο πρὸς Οὐεσπασιανόν. ἦν δὲ οὔτ' ἔλεγχός τις τῶν 337
κατηγορουμένων οὔτε τεκμήριον, ἀλλ' αὐτοὶ πεπεῖσθαι κα-
λῶς ἔφασαν καὶ τοῦτ' εἶναι πίστιν τῆς ἀληθείας ἠξίουν.
110 ὅ γε μὴν Ζαχαρίας συνιδὼν μηδεμίαν αὐτῷ καταλειπομένην 338
σωτηρίας ἐλπίδα, κεκλῆσθαι γὰρ κατ' ἐνέδραν εἰς εἱρκτήν,
οὐκ ἐπὶ δικαστήριον, ἐποιήσατο τὴν τοῦ ζῆν ἀπόγνωσιν
οὐκ ἀπαρρησίαστον, ἀλλὰ καταστὰς τὸ μὲν πιθανὸν τῶν
κατηγορημένων διεχλεύασε καὶ διὰ βραχέων ἀπελύσατο τὰς
115 ἐπιφερομένας αἰτίας. ἔπειτα δὲ τὸν λόγον εἰς τοὺς κατηγό- 339
ρους ἀποστρέψας ἑξῆς πάσας αὐτῶν διεξῄει τὰς παρανομίας
καὶ πολλὰ περὶ τῆς συγχύσεως κατωλοφύρατο τῶν πραγ-
μάτων. οἱ ζηλωταὶ δ' ἐθορύβουν καὶ μόλις τῶν ξιφῶν 340
ἀπεκράτουν, τὸ σχῆμα καὶ τὴν εἰρωνείαν τοῦ δικαστηρίου
120 μέχρι τέλους παῖξαι προαιρούμενοι, καὶ ἄλλως πειράσαι
θέλοντες τοὺς δικαστάς, εἰ παρὰ τὸν αὐτῶν κίνδυνον μνη-
σθήσονται τοῦ δικαίου. φέρουσι δ' οἱ ἑβδομήκοντα τῷ κρι- 341
νομένῳ τὰς ψήφους ἅπαντες καὶ σὺν αὐτῷ προείλοντο τε-
θνάναι μᾶλλον ἢ τῆς ἀναιρέσεως αὐτοῦ λαβεῖν τὴν ἐπι-
125 γραφήν. ἤρθη δὲ βοὴ τῶν ζηλωτῶν πρὸς τὴν ἀπόλυσιν, καὶ 342
πάντων μὲν ἦν ἀγανάκτησις ἐπὶ τοῖς δικασταῖς ὡς μὴ
συνιεῖσι τὴν εἰρωνείαν τῆς δοθείσης αὐτοῖς ἐξουσίας, δύο 343
δὲ τῶν τολμηροτάτων προσπεσόντες ἐν μέσῳ τῷ ἱερῷ
διαφθείρουσι τὸν Ζαχαρίαν καὶ πεσόντι ἐπιχλευάσαν-
130 τες ἔφασαν «καὶ παρ' ἡμῶν τὴν ψῆφον ἔχεις καὶ βεβαιο-

101. προσαποσκευάσεσθαι ed. pr. *remotum iri* Lat προσαποσκευάζεσθαι codd. 106-7. διαπέμψαιτο: διεπέμψατο PA 115. ἔπειτα: εἶτα LVRC 120. παῖξαι: πῆξαι PAL 121. αὐτῶν: ἑαυτῶν L αὐτῶν PAR αὐτὸν VC 123. ἅπαντες: ἀπολύσεως MVR τῆς ἀπολύσεως C 128. τῶν τολμηροτάτων: τολμηρότατοι PAMV τολμηρότεροι R 129-30. ἐπιχλευάσαντες: ἐπιχλευάζοντες LVRC

ma anche di liberarsi di un avversario potente e temibile. Pertanto intimarono a settanta dei cittadini piú ragguardevoli 336 di radunarsi nel tempio, assegnarono a questi come in una rappresentazione teatrale la funzione di giudici senza alcun effettivo potere, e dinanzi a loro accusarono Zaccaria di voler consegnare la patria ai romani e di aver organizzato il tradimento mettendosi in relazione con Vespasiano. Le accuse 337 non si fondavano né su una prova né su un indizio, ma essi dichiararono di esserne fermamente convinti e pretendevano che ciò bastasse a ritenerle vere. Zaccaria, visto che non gli 338 restava alcuna speranza di salvezza, giacché era stato convocato non in un tribunale ma in una prigione, non si lasciò chiudere la bocca dalla disperazione, ma si levò a sottolineare la balordaggine delle accuse e in breve demolí gli argomenti addotti contro di lui. Poi, ritorcendo il discorso contro gli 339 accusatori, enumerò tutti i loro misfatti e si soffermò a deplorare la catastrofica situazione che n'era derivata. Gli Zeloti 340 andarono sulle furie e a stento si trattennero dallo sguainare le spade perché volevano spingere fin in fondo la celebrazione del processo per gioco e, per di piú, mettere alla prova i giudici, per vedere se avrebbero rispettato la giustizia anche con pericolo della loro vita. I settanta all'unanimità votarono per 341 l'assoluzione dell'imputato, preferendo affrontare la morte insieme con lui anziché accollarsi la responsabilità della sua condanna. Di fronte alla sentenza di assoluzione gli Zeloti scop- 342 piarono in schiamazzi, e mentre tutti inveivano contro i giudici per non aver capito che si era trattato solo di una burla, due dei piú facinorosi si avventarono su Zaccaria, lo uccisero 343 in mezzo al tempio e ne schernirono il cadavere dicendo: « Eccoti anche il nostro voto per essere piú sicuro di andar-

τέραν ἀπόλυσιν», ῥίπτουσί τε αὐτὸν εὐθέως ἀπὸ τοῦ ἱεροῦ
κατὰ τῆς ὑποκειμένης φάραγγος. τοὺς δὲ δικαστὰς πρὸς 344
ὕβριν ἀπεστραμμένοις τοῖς ξίφεσι τύπτοντες ἐξέωσαν τοῦ
περιβόλου, δι' ἓν τοῦτο φεισάμενοι τῆς σφαγῆς αὐτῶν,
135 ἵνα σκεδασθέντες ἀνὰ τὴν πόλιν ἄγγελοι πᾶσι τῆς δουλείας
γένωνται.

5, 5. τοῖς δ' Ἰδουμαίοις ἤδη τῆς παρουσίας μετέμελε 345
καὶ προσίστατο τὰ πραττόμενα. συναγαγὼν δὲ αὐτούς τις 346
ἀπὸ τῶν ζηλωτῶν κατ' ἰδίαν ἐλθὼν ἐνεδείκνυτο τὰ συμπα-
140 ρανομηθέντα τοῖς καλέσασι καὶ τὸ κατὰ τῆς μητροπόλεως
διεξῄει· παρατάσσεσθαι μὲν γὰρ ὡς ὑπὸ τῶν ἀρχιερέων 347
προδιδομένης Ῥωμαίοις τῆς μητροπόλεως, εὑρηκέναι δὲ
προδοσίας μὲν τεκμήριον οὐδέν, τοὺς δ' ἐκείνην ὑποκρινομέ-
νους φυλάττεσθαι καὶ πολέμου καὶ τυραννίδος ἔργα τολμῶν-
145 τας. προσήκειν μὲν οὖν αὐτοῖς διακωλύειν ἀπ' ἀρχῆς· ἐπειδὴ 348
δ' ἅπαξ εἰς κοινωνίαν ἐμφυλίου φόνου προέπεσον, ὅρον γοῦν
ἐπιθεῖναι τοῖς ἁμαρτήμασι καὶ μὴ παραμένειν χορηγοῦντας
ἰσχὺν τοῖς καταλύουσι τὰ πάτρια. καὶ γὰρ εἴ τινες χαλε- 349
παίνουσι τῷ κλεισθῆναι τὰς πύλας καὶ μὴ δοθῆναι μετὰ
150 τῶν ὅπλων αὐτοῖς ἑτοίμην τὴν εἴσοδον, ἀλλὰ τοὺς εἴρξαντας
τετιμωρῆσθαι· καὶ τεθνάναι μὲν Ἄνανον, διεφθάρθαι δ' ἐπὶ
μιᾶς νυκτὸς ὀλίγου δεῖν πάντα τὸν δῆμον. ἐφ' οἷς τῶν μὲν 350
οἰκείων πολλοὺς αἰσθάνεσθαι μετανοοῦντας, τῶν ἐπικα-
λεσαμένων δὲ ὁρᾶν ἄμετρον τὴν ὠμότητα μηδὲ δι' οὓς
155 ἐσώθησαν αἰδουμένων· ἐν ὄμμασι γοῦν τῶν συμμάχων τὰ 351
αἴσχιστα τολμᾶν, καὶ τὰς ἐκείνων παρανομίας Ἰδουμαίοις
προσάπτεσθαι, μέχρις ἂν μήτε κωλύῃ τις μήτε χωρίζηται
τῶν δρωμένων. δεῖν οὖν, ἐπειδὴ διαβολὴ μὲν πέφηνε τὰ 352
τῆς προδοσίας, ἔφοδος δὲ Ῥωμαίων οὐδεμία προσδοκᾶται,

138. προσίστατο: προΐστατο PL 140. μητροπόλεως: πόλεως ML 141. μὲν: om. VRC 146. προέπεσον R προσέπεσον PAMVC μετέπεσον L 149. τῷ Dindorf τὸ codd. 150. εἴσοδον: εἰς εἴσοδον PAMVRC καὶ τὴν εἴσοδον L 155. ἐν: ἐπ' PAMVR

tene »[9]; poi dall'alto del tempio lo gettarono nel sottostante burrone. I giudici li percossero ignominiosamente col rove- 344 scio delle spade scacciandoli dal tempio, e li risparmiarono soltanto perché, ritornandosene alle loro case, facessero sapere a tutti chi erano i padroni.

5, 5. Mentre gli Idumei erano ormai pentiti d'essersi mossi 345 e disapprovavano un tal modo d'agire, si recò fra loro in 346 veste privata uno degli Zeloti che li riuní, svelò loro i delitti di cui inconsapevolmente si erano resi complici collaborando con chi li aveva fatti venire, ed espose la vera situazione della città. Essi erano scesi in campo come se la 347 metropoli fosse stata proditoriamente venduta ai romani dai sommi sacerdoti, e invece non era emersa alcuna prova del tradimento, mentre coloro che pretendevano di difenderla commettevano le piú audaci ribalderie comportandosi da nemici e da oppressori. A questi bisognava opporsi fin dal 348 principio; tuttavia, una volta che s'erano lasciati trascinare a unirsi a loro nelle stragi della guerra civile, dovevano almeno troncare tale azione delittuosa e non insistere nell'appoggiare i sovvertitori delle patrie istituzioni. Chi si era sentito offeso 349 perché non gli avevano aperto le porte e dato il permesso di entrare in armi nella città, considerasse che i responsabili avevano pagato il fio: non era morto soltanto Anano, ma in una sola notte quasi tutto il popolo aveva perduto la vita. Ad essi non sfuggiva che tutto ciò aveva causato in molti 350 dei loro una sfavorevole reazione, e poi vedevano l'implacabile ferocia di chi li aveva indotti a intervenire e ora non usava riguardo nemmeno a coloro che li avevano tratti in salvo; infatti ardivano di perpetrare i crimini più vergognosi 351 proprio sotto gli occhi degli alleati, e i loro misfatti sarebbero stati imputati agli Idumei fino a che nessuno vi si fosse opposto o avesse dissociato le proprie responsabilità. E allora, 352 poiché la storia del tradimento si era rivelata una calunnia e non si aspettava affatto un arrivo dei romani, mentre d'altro

160 δυναστεία δ' ἐπιτετείχισται τῇ πόλει δυσκατάλυτος, αὐτοὺς
ἀναχωρεῖν ἐπ' οἴκου καὶ τῷ μὴ κοινωνεῖν τοῖς φαύλοις
ἁπάντων ἀπολογήσασθαι πέρι, ὧν φενακισθέντες μετάσχοιεν.

6, 1. τούτοις πεισθέντες οἱ Ἰδουμαῖοι πρῶτον μὲν λύουσι 353
τοὺς ἐν τοῖς δεσμωτηρίοις περὶ δισχιλίους δημότας, οἳ
παραχρῆμα φυγόντες ἐκ τῆς πόλεως ἀφικνοῦνται πρὸς Σί-
μωνα, περὶ οὗ μικρὸν ὕστερον ἐροῦμεν· ἔπειτα ἐκ τῶν Ἱερο-
5 σολύμων ἀνεχώρησαν ἐπ' οἴκου. καὶ συνέβη τὸν χωρισμὸν 354
αὐτῶν γενέσθαι παράδοξον ἀμφοτέροις· ὅ τε γὰρ δῆμος
ἀγνοῶν τὴν μετάνοιαν ἀνεθάρσησε πρὸς ὀλίγον ὡς ἐχθρῶν
κεκουφισμένος, οἵ τε ζηλωταὶ μᾶλλον ἐπανέστησαν, οὐχ ὡς 355
ὑπὸ συμμάχων καταλειφθέντες, ἀλλ' ἀπηλλαγμένοι τῶν
10 δυσωπούντων καὶ διατρεπόντων παρανομεῖν. οὐκέτι γοῦν 356
μέλλησις ἢ σκέψις ἦν τῶν ἀδικημάτων, ἀλλ' ὀξυτάταις μὲν
ἐχρῶντο ταῖς ἐπινοίαις εἰς ἕκαστα, τὰ δοχθέντα δὲ τάχιον
καὶ τῆς ἐπινοίας ἐνήργουν. μάλιστα δ' ἐπ' ἀνδρείαν τε καὶ 357
εὐγένειαν ἐφόνων, τὴν μὲν φθόνῳ λυμαινόμενοι, τὸ δὲ
15 γενναῖον δέει· μόνην γὰρ αὑτῶν ἀσφάλειαν ὑπελάμβανον τὸ
μηδένα τῶν δυνατῶν καταλιπεῖν. ἀνῃρέθη γοῦν σὺν πολλοῖς 358
ἑτέροις καὶ Γουρίων, ἀξιώματι μὲν καὶ γένει προύχων,
δημοκρατικὸς δὲ καὶ φρονήματος ἐλευθερίου μεστός, εἰ καί
τις ἕτερος Ἰουδαίων· ἀπώλεσε δ' αὐτὸν ἡ παρρησία μάλιστα
20 πρὸς τοῖς ἄλλοις πλεονεκτήμασιν. οὐδ' ὁ Περαΐτης Νίγερ 359
αὐτῶν τὰς χεῖρας διέφυγεν, ἀνὴρ ἄριστος ἐν τοῖς πρὸς
Ῥωμαίους πολέμοις γενόμενος· ὃς καὶ βοῶν πολλάκις τάς
τε ὠτειλὰς ἐπιδεικνὺς διὰ μέσης ἐσύρετο τῆς πόλεως. ἐπεὶ 360
δ' ἔξω τῶν πυλῶν ἧκτο, τὴν σωτηρίαν ἀπογνοὺς περὶ ταφῆς

160. δ': τε PAMVRC 161. τῷ: τοῦ PA[1]MLVRC[1] 162. πέρι Destinon περὶ codd. | φενακισθέντες: φαινακισθέντες PA
6, 1. τούτοις: τούτοις δὲ AMLVR 2. δημότας: δεσμώτας M δημώτας A 6. παράδοξον: παρὰ δόξαν VR 7. ἀνεθάρσησε: ἐθάρσησε PMVRC ἐθάρρησεν L 9. καταλειφθέντες: καταληφθέντες V 14. εὐγένειαν: συγγένειαν L 15. αὑτῶν Thackeray αὐτῶν codd. 18. ἐλευθερίου: ἐλευθέρου M

canto la città era caduta in preda a una banda di oppressori difficile da eliminare, se ne tornassero a casa e, mettendo fine alla collaborazione con quei delinquenti, facessero ammenda di tutte le colpe in cui avevano avuto parte trascinati con l'inganno[10].

6, 1. Gli Idumei seguirono questo consiglio e per prima 353 cosa misero in libertà circa duemila cittadini rinchiusi in carcere, che immediatamente fuggirono dalla città raggiungendo Simone[1], di cui diremo fra poco; quindi si ritirarono da Gerusalemme tornandosene a casa[2]. La loro partenza pro- 354 dusse negli altri due gruppi uno strano effetto: infatti il popolo, che non sapeva del loro pentimento, si sentí alquanto rianimato come se si fosse liberato di un nemico; dal canto 355 loro gli Zeloti diventarono ancora piú insolenti, quasi che invece di essere stati abbandonati da un alleato si fossero sbarazzati di persone che li tenevano in soggezione e li ostacolavano nelle loro malefatte. Da quel momento piú nessuna 356 esitazione o riflessione prima di commettere un delitto; i piani venivano concepiti con rapidità fulminea ed attuati ancor piú prontamente. Le loro vittime erano specialmente 357 i coraggiosi e i nobili, che venivano colpiti gli uni per invidia gli altri per paura; reputavano infatti che l'unica loro salvezza fosse riposta nell'eliminazione di tutti i personaggi di rilievo. E cosí, assieme a molti altri, fu ucciso anche Gurion[3], insigne 358 per la sua posizione e per i suoi natali, ma di tendenze democratiche e ispirato a sistemi liberali piú di qualunque altro mai fra i giudei: oltre al complesso delle sue qualità fu soprattutto la franchezza nel parlare a provocarne la morte. Dalle loro 359 mani non si salvò nemmeno Niger della Perea[4], che si era coperto di valore nei combattimenti contro i romani; tra violente proteste, e mentre metteva in mostra le sue ferite, venne trascinato per la città fino all'esterno delle mura dove, 360 perduta ogni speranza, supplicò che almeno non lo lascias-

25 ἱκέτευεν· οἱ δὲ προαπειλήσαντες ἧς ἐπεθύμει μάλιστα γῆς
μὴ μεταδώσειν αὐτῷ, τὸν φόνον ἐνήργουν. ἀναιρούμενος δὲ ὁ 361
Νίγερ τιμωροὺς Ῥωμαίους αὐτοῖς ἐπηράσατο, λιμόν τε καὶ
λοιμὸν ἐπὶ τῷ πολέμῳ καὶ πρὸς ἅπασι τὰς ἀλλήλων χεῖρας·
ἃ δὴ πάντα κατὰ τῶν ἀσεβῶν ἐκύρωσεν ὁ θεός, καὶ τὸ 362
30 δικαιότατον, ὅτι γεύσασθαι τῆς ἀλλήλων ἀπονοίας ἔμελλον
οὐκ εἰς μακρὰν στασιάσαντες. Νίγερ μὲν οὖν ἀνῃρημένος 363
τοὺς περὶ τῆς καταλύσεως αὐτῶν φόβους ἐπεκούφισε, τοῦ
λαοῦ δὲ μέρος οὐδὲν ἦν, ᾧ μὴ πρὸς ἀπώλειαν ἐπενοεῖτο
πρόφασις. τὸ μὲν γὰρ αὐτῶν διενεχθέν τινι πάλαι διέφθαρτο, 364
35 τὸ δὲ μὴ προσκροῦσαν κατ' εἰρήνην ἐπικαίρους ἐλάμβανε
τὰς αἰτίας· καὶ ὁ μὲν μηδ' ὅλως αὐτοῖς προσιὼν ὡς ὑπε-
ρήφανος, ὁ προσιὼν δὲ μετὰ παρρησίας ὡς καταφρονῶν, ὁ
θεραπεύων δ' ὡς ἐπίβουλος ὑπωπτεύετο. μία δὲ ἦν τῶν τε 365
μεγίστων καὶ μετριωτάτων ἐγκλημάτων τιμωρία θάνατος,
40 καὶ διέφυγεν οὐδείς, εἰ μὴ σφόδρα τις ἦν ταπεινὸς ἢ δι'
ἀγένειαν ἢ διὰ τύχην.

6, 2. Ῥωμαίων δὲ οἱ μὲν ἄλλοι πάντες ἡγεμόνες ἕρμαιον 366
ἡγούμενοι τὴν στάσιν τῶν πολεμίων ὥρμηντο πρὸς τὴν πόλιν
καὶ τὸν Οὐεσπασιανὸν ἤπειγον ὡς ἂν ὄντα κύριον τῶν ὅλων,
45 φάμενοι πρόνοιαν θεοῦ σύμμαχον σφίσι τῷ τετράφθαι τοὺς
ἐχθροὺς κατ' ἀλλήλων· εἶναι μέντοι τὴν ῥοπὴν ὀξεῖαν, καὶ 367
ταχέως Ἰουδαίους ὁμονοήσειν ἢ κοπιάσαντας ἐν τοῖς ἐμφυλίοις
κακοῖς ἢ μετανοήσαντας. Οὐεσπασιανὸς δὲ πλεῖστον αὐτοὺς 368
ἔφη τοῦ δέοντος ἁμαρτάνειν, ὥσπερ ἐν θεάτρῳ χειρῶν τε καὶ
50 ὅπλων ἐπίδειξιν ποιήσασθαι γλιχομένους οὐκ ἀκίνδυνον, ἀλλὰ
μὴ τὸ συμφέρον καὶ τἀσφαλὲς σκοποῦντας. εἰ μὲν γὰρ εὐθέως 369
ὁρμήσειεν ἐπὶ τὴν πόλιν, αἴτιος ὁμονοίας ἔσεσθαι τοῖς πο-

27. τιμωροὺς: τιμωρησομένους L τιμωρουμένους VRC 35. ἐπικαίρους: ἐπι-καιροὺς P ἐπὶ καιροὺς AVR *subitas* Lat 39. μετριωτάτων: μετριοτάτων P τῶν μετριωτάτων VRC 40. ἢ: om. L 45. σύμμαχον: συμμαχεῖν M fortasse recte 47. ὁμονοήσειν ed. pr. ex Lat ὁμονοήσειν ἡμῖν codd. 52. ὁρμή-σειεν: ὁρμήσαιεν PA[1]MRCV[2] ὡρμήσαιεν L ὡρμήσαμεν V[1] | αἴτιος: αἴτιοι MVRC

sero insepolto. Ma quelli prima di ucciderlo gli promisero che invece non gli avrebbero dato la sepoltura a cui tanto teneva, e Niger, morendo, invocò su di loro il castigo dei 361 romani, la fame e la pestilenza oltre agli altri orrori della guerra, e la lotta intestina. Tutte queste imprecazioni contro 362 quegli empi vennero esaudite dal dio, compresa la piú giusta, quella di subire lo strazio del furore fratricida, essendo dopo poco venuti in conflitto fra loro. L'eliminazione di Niger li 363 liberò dal timore di perdere il potere, ma non vi fu una categoria di cittadini che essi non cercassero di colpire con qualsiasi pretesto. Mentre chi aveva avuto a che dire con qual- 364 cuno di loro era stato da un pezzo eliminato, anche contro chi non aveva dato disturbo in tempo di pace venivano inventate opportune accuse; e se uno evitava di avvicinarli, era sospettato di superbia, se parlava loro con franchezza, era sospettato di disprezzo, se li trattava con riguardo, era sospettato di complotto. L'unica pena, per le imputazioni piú gravi come 365 per le piú insignificanti, era la morte e, tranne qualche caso, non si salvavano che le persone piú insignificanti per la loro umile condizione.

6, 2. Tutti gli altri comandanti dei romani, considerando 366 una fortuna inaspettata il dissenso scoppiato fra i nemici, erano ansiosi di marciare su Gerusalemme e incitavano Vespasiano, cui spettava la suprema decisione[5], mostrandogli che il favore del dio si era loro rivelato col dividere i nemici in due fazioni contrapposte. Ma un cambiamento della situazione po- 367 teva verificarsi da un momento all'altro, e in breve i giudei si sarebbero potuti riconciliare o perché stanchi della guerra civile o perché presi dal pentimento. Ma Vespasiano rispose 368 che i loro ragionamenti erano completamente fuori strada, perché essi ardevano dal desiderio di dar spettacolo, come in un teatro, del loro valore e della loro forza, uno spettacolo non scevro di pericoli, senza preoccuparsi dell'utilità e della sicurezza[6]. Se si fosse mosso subito contro la città, avrebbe 369

λεμίοις καὶ τὴν ἰσχὺν αὐτῶν ἀκμάζουσαν ἐφ' ἑαυτὸν ἐπιστρέψειν· εἰ δὲ περιμείνειεν, ὀλιγωτέροις χρήσεσθαι δαπανη-
55 θεῖσιν ἐν τῇ στάσει. στρατηγεῖν μὲν γὰρ ἄμεινον αὐτοῦ τὸν 370
θεόν, ἀπονητὶ Ῥωμαίοις παραδιδόντα Ἰουδαίους καὶ τὴν
νίκην ἀκινδύνως τῇ στρατηγίᾳ χαριζόμενον· ὥστε χρῆναι, 371
διαφθειρομένων χερσὶν οἰκείαις τῶν ἐχθρῶν καὶ τῷ μεγίστῳ
κακῷ στάσει χρωμένων, θεατὰς μᾶλλον αὐτοὺς ἀποκαθῆσθαι
60 τῶν κινδύνων ἢ θανατῶσιν ἀνθρώποις καὶ λελυσσηκόσιν κατ'
ἀλλήλων χεῖρα μίσγειν. «εἰ δέ τις οἴεται τὴν δόξαν τῆς 372
νίκης ἑωλοτέραν ἔσεσθαι δίχα μάχης, γνώτω τοῦ διὰ τῶν
ὅπλων σφαλεροῦ τὸ μεθ' ἡσυχίας κατόρθωμα λυσιτελέστερον
ὄν· καὶ γὰρ οὐχ ἧττον εὐκλεεῖς οἴεσθαι χρὴ τῶν κατὰ χεῖρα 373
65 λαμπρῶν τοὺς ἐγκρατείᾳ καὶ συνέσει τὰ ἴσα πράξαντας.»
ἅμα μέντοι μειουμένων τῶν πολεμίων καὶ τὴν αὐτοῦ στρατιάν, ἀναληφθεῖσαν ἐκ τῶν συνεχῶν πόνων, ἐρρωμενεστέραν
ἕξειν. ἄλλως τε καὶ τῶν στοχαζομένων τῆς περὶ τὴν νίκην 374
λαμπρότητος οὐ τοῦτον εἶναι τὸν καιρόν· οὐ γὰρ περὶ 375
70 κατασκευὴν ὅπλων ἢ τειχῶν οὐδὲ περὶ συλλογὴν ἐπικούρων
Ἰουδαίους ἀσχολεῖσθαι καὶ τὴν ὑπέρθεσιν ἔσεσθαι κατὰ τῶν
διδόντων, ἀλλ' ἐμφυλίῳ πολέμῳ καὶ διχονοίᾳ τραχηλιζομένους καθ' ἡμέραν οἰκτρότερα πάσχειν ὧν ἂν ἐπελθόντες
αὐτοὶ διαθεῖεν αὐτοὺς ἁλόντας. εἴτ' οὖν τἀσφαλές τις σκο- 376
75 ποίη, χρῆναι τοὺς ὑφ' ἑαυτῶν ἀναλισκομένους ἐᾶν, εἴτε τὸ
εὐκλεέστερον τοῦ κατορθώματος, οὐ δεῖν τοῖς οἴκοι νοσοῦσιν
ἐπιχειρεῖν· ῥηθήσεσθαι γὰρ εὐλόγως οὐκ αὐτῶν τὴν νίκην
ἀλλὰ τῆς στάσεως.

53-4. ἐπιστρέψειν Bekker ἐπιστρέφειν codd. 56. ἀπονητὶ: ἀκοντὶ L ἀκοντὶ VRC 57. στρατηγίᾳ: στρατιᾶ LVC 64. ὂν ins. Herwerden 68. στοχαζομένων: στοχαζόντων R 72. διδόντων: διδόντων καθ'ἡμέραν A 74. εἴτ'οὖν: εἰτοῦν P εἴτε οὖν VRC 76. δεῖν: δεῖ MLVRC 77. ῥηθήσεσθαι: ῥηθήσεται PAVR

provocato la riconciliazione dei nemici e attirato su di sé la loro potenza nel massimo vigore; se invece avesse aspettato, li avrebbe trovati ridotti di numero per i vuoti prodotti dalla guerra civile. Capitano piú valente di lui era il dio, che stava 370 consegnando i giudei ai romani senza colpo ferire e offrendo graziosamente la vittoria al generale risparmiandogli ogni rischio. In conclusione, poiché i nemici si distruggevano di 371 propria mano ed erano in preda al peggiore dei mali, la guerra fratricida, conveniva ad essi di restar spettatori della loro rovina anziché misurarsi con individui pronti a morire e inferociti l'un contro l'altro. « Se qualcuno ritiene » disse Vespa- 372 siano « che la gloria della vittoria sarà meno dolce senza combattere, consideri che il successo riportato senza esporsi a pericoli è piú vantaggioso di quello conseguito attraverso l'incerta prova delle armi. E non sono da ritenere meno glo- 373 riosi di chi si distingue in combattimento coloro che raggiungono gli stessi risultati sapendosi dominare e con il freddo calcolo. » Inoltre, mentre le schiere nemiche si andavano assottigliando, egli avrebbe potuto contare su un esercito reso piú forte dal riposo dopo tante fatiche. E specialmente 374 per chi aspirava a una bella vittoria non era quello il momento migliore; infatti i giudei non si stavano adoperando per ap- 375 prontare armi o consolidare le mura o per raccogliere alleati, sí che un rinvio dello scontro sarebbe risultato a danno di chi lo consentiva, ma consumati dalla guerra civile e dalla discordia subivano ogni giorno perdite maggiori di quelle che loro stessi gli avrebbero potuto infliggere se li avessero attaccati e sconfitti. Perciò, come badando alla sicurezza conveniva di 376 lasciare che si sterminassero da sé stessi, cosí mirando a procacciarsi maggior gloria non si doveva attaccare un nemico dilaniato dalla discordia; infatti ben a ragione si sarebbe detto che la vittoria i romani non l'avevano riportata per il loro valore, ma per la divisione dei nemici.

6, 3. ταῦτα Οὐεσπασιανῷ λέγοντι συνήνουν οἱ ἡγεμόνες, 377
80 καὶ παραχρῆμα τὸ στρατηγικὸν τῆς γνώμης ἀνεφαίνετο·
πολλοὶ γοῦν καθ' ἡμέραν ηὐτομόλουν τοὺς ζηλωτὰς διαδι-
δράσκοντες. χαλεπὴ δ' ἦν ἡ φυγὴ φρουραῖς διειληφότων τὰς 378
διεξόδους πάσας καὶ τὸν ὁπωσοῦν ἐν αὐταῖς ἁλισκόμενον
ὡς πρὸς Ῥωμαίους ἀπιόντα διαχρωμένων. ὅ γε μὴν χρήματα 379
85 δοὺς ἐξηφίετο καὶ μόνος ἦν ὁ μὴ διδοὺς προδότης, ὥστε
κατελείπετο τῶν εὐπόρων τὴν φυγὴν ὠνουμένων μόνους
ἐναποσφάττεσθαι τοὺς πένητας. νεκροὶ δὲ κατὰ τὰς λεωφόρους 380
πάσας ἐσωρεύοντο παμπληθεῖς, καὶ πολλοὶ τῶν ὁρμωμένων
αὐτομολεῖν πάλιν τὴν ἔνδον ἀπώλειαν ᾑροῦντο· τὸν γὰρ ἐπὶ
90 τῆς πατρίδος θάνατον ἐλπὶς ταφῆς ἐποίει δοκεῖν μετριώτερον.
οἱ δ' εἰς τοσοῦτον ὠμότητος ἐξώκειλαν, ὡς μήτε τοῖς ἔνδον 381
ἀναιρουμένοις μήτε τοῖς ἀνὰ τὰς ὁδοὺς μεταδοῦναι γῆς,
ἀλλὰ καθάπερ συνθήκας πεποιημένοι τοῖς τῆς πατρίδος 382
συγκαταλῦσαι καὶ τοὺς τῆς φύσεως νόμους ἅμα τε τοῖς εἰς
95 ἀνθρώπους ἀδικήμασιν συμμιᾶναι καὶ τὸ θεῖον, ὑφ' ἡλίῳ 383
τοὺς νεκροὺς μυδῶντας ἀπέλειπον. τοῖς δὲ θάπτουσί τινα
τῶν προσηκόντων, ὃ καὶ τοῖς αὐτομολοῦσιν, ἐπιτίμιον θάνατος
ἦν, καὶ δεῖσθαι παραχρῆμα ταφῆς ἔδει τὸν ἑτέρῳ χαριζό-
μενον. καθόλου τε εἰπεῖν, οὐδὲν οὕτως ἀπολώλει χρηστὸν 384
100 πάθος ἐν ταῖς τότε συμφοραῖς ὡς ἔλεος· ἃ γὰρ ἐχρῆν οἰκτεί-
ρειν, ταῦτα παρώξυνε τοὺς ἀλιτηρίους, καὶ ἀπὸ μὲν τῶν
ζώντων ἐπὶ τοὺς ἀνῃρημένους, ἀπὸ δὲ τῶν νεκρῶν ἐπὶ τοὺς
ζῶντας τὰς ὀργὰς μετέφερον· καὶ δι' ὑπερβολὴν δέους ὁ 385
περιὼν τοὺς προληφθέντας ὡς ἀναπαυσαμένους ἐμακάριζεν,
105 οἵ τε ἐν τοῖς δεσμωτηρίοις αἰκιζόμενοι κατὰ σύγκρισιν καὶ
τοὺς ἀτάφους ἀπέφαινον εὐδαίμονας. κατεπατεῖτο μὲν οὖν 386
πᾶς αὐτοῖς θεσμὸς ἀνθρώπων, ἐγελᾶτο δὲ τὰ θεῖα, καὶ

81. γοῦν: δὲ PAMVRC 96. ἀπέλειπον: ἀπέλιπον MC 97. ὃ: ὁ PA | ἐπιτίμιον: ἐπιτίμιος PA 98. τὸν ἑτέρῳ: τω νεωτέρω PA[1]

6, 3. I generali riconobbero la validità di queste considerazioni di Vespasiano, e in breve l'acutezza del suo disegno strategico fu resa manifesta dal gran numero di disertori che cominciarono ad arrivare ogni giorno eludendo la vigilanza degli Zeloti. E non era facile la fuga, perché tutti i passaggi obbligati erano stati messi sotto controllo e chiunque veniva sorpreso era passato per le armi con l'imputazione di voler raggiungere i romani. Però chi pagava veniva lasciato andare, sicché traditori erano solo quelli che non potevano pagare, con la conseguenza che ad essere uccisi erano solo i poveri mentre i ricchi si compravano il lasciapassare. Lungo tutte le strade si accumulavano grossi mucchi di cadaveri, e molti che si apprestavano a fuggire cambiavano idea preferendo morire entro la città: la speranza di ricevere sepoltura rendeva ai loro occhi meno amara la morte in patria. Gli Zeloti, comunque, arrivarono a tanta ferocia, da non seppellire né gli uccisi in città né quelli uccisi sulle strade, e come se si fossero espressamente impegnati a calpestare le leggi della patria in una con le leggi della natura, e a contaminare la divinità in aggiunta alle offese contro gli uomini, lasciavano che i cadaveri andassero in putrefazione sotto i raggi del sole[7]. Per chiunque seppelliva un parente, come per i disertori, era la pena di morte, e chi si preoccupava di dare sepoltura ad un altro si trovava poco dopo a doverla implorare per sé. In breve, fra tutte quelle miserie nessun nobile sentimento andò cosí completamente perduto come la pietà. Infatti ciò che avrebbe dovuto ispirare compassione aveva invece l'effetto di eccitare quegli scellerati, che dai vivi passavano a sfogare la loro furia bestiale sui morti, e dai morti sui vivi. Era tanto il terrore, che chi non aveva ancora avuto a che fare con gli Zeloti invidiava chi già era caduto nelle loro mani, come se si fosse liberato da un incubo, e a quelli che venivano torturati nelle prigioni parevano fortunati, al loro confronto, anche gli uccisi lasciati insepolti. Ogni legge umana fu da loro violata,

τοὺς τῶν προφητῶν χρησμοὺς ὥσπερ ἀγυρτικὰς λογοποιίας
ἐχλεύαζον. πολλὰ δ' οὗτοι περὶ ἀρετῆς καὶ κακίας προε- 387
110 θέσπισαν, ἃ παραβάντες οἱ ζηλωταὶ καὶ τὴν κατὰ τῆς
πατρίδος προφητείαν τέλους ἠξίωσαν. ἦν γὰρ δή τις πα- 388
λαιὸς λόγος ἀνδρῶν ἐνθέων τότε τὴν πόλιν ἁλώσεσθαι καὶ
καταφλέξεσθαι τὸ ἁγιώτατον νόμῳ πολέμου, στάσις ἐὰν
κατασκήψῃ καὶ χεῖρες οἰκεῖαι προμιάνωσι τὸ τοῦ θεοῦ
115 τέμενος· οἷς οὐκ ἀπιστήσαντες οἱ ζηλωταὶ διακόνους αὐ-
τοὺς ἐπέδοσαν.

7, 1. ἤδη δὲ Ἰωάννῃ τυραννιῶντι τὸ πρὸς τοὺς ὁμοίους 389
ἰσότιμον ἠδοξεῖτο, καὶ κατ' ὀλίγους προσποιούμενος τῶν
πονηροτέρων ἀφηνίαζε τοῦ συντάγματος. ἀεὶ δὲ τοῖς μὲν 390
τῶν ἄλλων δόγμασιν ἀπειθῶν, τὰ δὲ αὐτοῦ προστάσσων
5 δεσποτικώτερον, δῆλος ἦν μοναρχίας ἀντιποιούμενος. εἶκον 391
δ' αὐτῷ τινὲς μὲν δέει, τινὲς δὲ κατ' εὔνοιαν, δεινὸς γὰρ
ἦν ἀπάτῃ καὶ λόγῳ προσαγαγέσθαι, πολλοὶ δὲ πρὸς ἀσφα-
λείας ἡγούμενοι τῆς αὐτῶν τὰς αἰτίας ἤδη τῶν τολμωμένων
ἐφ' ἕνα καὶ μὴ πολλοὺς ἀναφέρεσθαι. τό γε μὴν δραστήριον 392
10 αὐτοῦ κατά τε χεῖρα καὶ κατὰ γνώμην δορυφόρους εἶχεν
οὐκ ὀλίγους. πολλὴ δὲ μοῖρα τῶν ἀντικαθισταμένων ἀπε- 393
λείπετο, παρ' οἷς ἴσχυε μὲν καὶ φθόνος, δεινὸν ἡγουμένων
ὑποτετάχθαι τὸ πρὶν ἰσοτίμῳ, τὸ πλέον δ' εὐλάβεια τῆς
μοναρχίας ἀπέτρεπεν· οὔτε γὰρ καταλύσειν ῥᾳδίως ἤλπιζον 394
15 αὐτὸν ἅπαξ κρατήσαντα, καὶ καθ' αὐτῶν πρόφασιν ἕξειν
τὸ τὴν ἀρχὴν ἀντιπρᾶξαι· προῃρεῖτο δ' οὖν πολεμῶν ἕκαστος
ὁτιοῦν παθεῖν ἢ δουλεύσας ἑκουσίως ἐν ἀνδραπόδου μοίρᾳ
παραπολέσθαι. διαιρεῖται μὲν οὖν ἡ στάσις ἐκ τούτων, καὶ 395

108. χρησμοὺς: θεσμοὺς PAMVRC 109. δ' οὗτοι: δ' αὐτοῖς L δὲ οὗτοι VRC
110. τὴν: τῆς L 112. ἐνθέων Holwerda ἔνθα codd. 113-4. ἐὰν κατα-
σκήψῃ: ἐγκατασκήψῃ PAML 115-6. αὐτοὺς: αὑτοὺς MV
7, 3. ἀφηνίαζε: ἀφηνιάζετο L 4. προστάσσων: προτάσσων PA 8. αὐτῶν:
αὑτῶν AMLR[1]C 11. ἀντικαθισταμένων: ἀντικαθημένων AMLVR 13. τὸ:
τῷ MLVR 16. δ' οὖν: δὲ R δὲ ἢ VC

furono messe in burla le cose divine e derise le predizioni dei profeti come chiacchiere di ciarlatani. E invece in quelle pre- 387 dizioni si toccavano i fondamenti del bene e del male, che gli Zeloti offesero provocando l'avverarsi della profezia contro la patria. Esisteva infatti un antico detto d'ispirazione divina 388 secondo cui, quando la città fosse caduta in preda alla guerra civile e il tempio del dio profanato per colpa dei cittadini, allora essa sarebbe stata espugnata e il santuario distrutto col fuoco dai nemici. Pur non negando fede a questa profezia, gli Zeloti si fecero strumento del suo avverarsi[8].

7, 1. Giovanni, che ormai aspirava a un dominio di ca- 389 rattere personale, era insofferente di aver dignità uguale a quella dei suoi pari e, attirando a sé un po' alla volta alcuni dei piú facinorosi, si estraniò dal gruppo al potere[1]. Egli 390 contravveniva sempre agli ordini emanati dagli altri mentre imponeva inflessibilmente il rispetto di quelli emanati da lui, e fu chiaro che pensava a farsi padrone assoluto. I suoi se- 391 guaci erano mossi parte dal timore, parte dalla simpatia (essendo egli molto abile a conciliarsela con raggiri e discorsi), mentre erano in parecchi a pensare che alla loro incolumità conveniva che la colpa dei misfatti ricadesse ormai non su molti, ma su uno solo. Il suo energico impegno nell'agire e 392 nel far piani gli guadagnò non pochi partigiani, ma grande 393 rimase anche il numero degli avversari. Fra questi si faceva sentire l'invidia, perché non sopportavano di dover ubbidienza a chi prima era un loro pari, ma fu soprattutto la preoccupazione di evitare l'instaurarsi di un regime monarchico ad allontanarli da Giovanni; una volta impadronitosi del potere 394 non sarebbe stato facile abbatterlo, ed essi avrebbero avuto contro di sé un motivo di avversione nell'averlo osteggiato al principio. Perciò ognuno preferiva affrontare i rischi di una lotta anziché piegare volontariamente la schiena e fare la fine di uno schiavo. Tale fu l'origine della spaccatura fra le due 395

τοῖς ἐναντιωθεῖσιν Ἰωάννης ἀντεβασίλευσεν. ἀλλὰ τὰ μὲν 396
20 πρὸς ἀλλήλους αὐτοῖς διὰ φυλακῆς ἦν, καὶ οὐδὲν ἢ μικρὸν
εἴ ποτε διηκροβολίζοντο τοῖς ὅπλοις, ἤριζον δὲ κατὰ τοῦ
δήμου καὶ πότεροι πλείονα λείαν ἄξουσιν ἀντεφιλονείκουν.
ἐπεὶ δὲ ἡ πόλις τρισὶ τοῖς μεγίστοις κακοῖς ἐχειμάζετο, 397
πολέμῳ καὶ τυραννίδι καὶ στάσει, κατὰ σύγκρισιν με-
25 τριώτερον ἦν τοῖς δημοτικοῖς ὁ πόλεμος· ἀμέλει διαδι-
δράσκοντες ἐκ τῶν οἰκείων ἔφευγον πρὸς τοὺς ἀλλοφύλους
καὶ παρὰ Ῥωμαίοις ἧς ἀπήλπισαν ἐν τοῖς ἰδίοις σωτη-
ρίας ἠξιοῦντο.

7, 2. τέταρτον δὲ ἄλλο κακὸν ἐκινεῖτο πρὸς τὴν τοῦ 398
30 ἔθνους κατάλυσιν. φρούριον ἦν οὐ πόρρω Ἱεροσολύμων 399
καρτερώτατον, ὑπὸ τῶν ἀρχαίων βασιλέων εἴς τε ὑπέκ-
θεσιν κτήσεως ἐν πολέμου ῥοπαῖς καὶ σωμάτων ἀσφάλειαν
κατεσκευασμένον, ὃ ἐκαλεῖτο Μασάδα. τοῦτο κατειληφότες 400
οἱ προσαγορευόμενοι σικάριοι τέως μὲν τὰς πλησίον χώρας
35 κατέτρεχον οὐδὲν πλέον τῶν ἐπιτηδείων ποριζόμενοι· δέει
γὰρ ἀνεστέλλοντο τῆς πλείονος ἁρπαγῆς· ὡς δὲ τὴν Ῥω- 401
μαίων μὲν στρατιὰν ἠρεμοῦσαν, στάσει δὲ καὶ τυραννίδι
ἰδίᾳ τοὺς ἐν Ἱεροσολύμοις Ἰουδαίους ἐπύθοντο διηρη-
μένους, ἁδροτέρων ἥπτοντο τολμημάτων. καὶ κατὰ τὴν ἑορ- 402
40 τὴν τῶν ἀζύμων, ἣν ἄγουσιν Ἰουδαῖοι σωτήρια ἐξ οὗ τῆς
ὑπ' Αἰγυπτίοις δουλείας ἀνεθέντες εἰς τὴν πάτριον γῆν
κατῆλθον, νύκτωρ τοὺς ἐμποδὼν ὄντας διαλαθόντες πολί-
χνην τινὰ κατατρέχουσιν καλουμένην Ἐνγαδδί, ἐν ᾗ τὸ 403
μὲν ἀμύνεσθαι δυνάμενον, πρὶν ὅπλων ἅψασθαι καὶ συν-
45 ελθεῖν, φθάσαντες ἐσκέδασαν καὶ τῆς πόλεως ἐξέβαλον, τὸ
δὲ φυγεῖν ἧττον ὄν, γύναιά τε καὶ παῖδας, ὑπὲρ ἑπτακο-

20. οὐδὲν ἢ μικρὸν: οὐδὲ μικρὸν ἦν L *nihil autem parvum agebatur* Lat 22. ἄξουσιν: ἀνάξουσιν MLVRC 26. ἀλλοφύλους: ἀλλοτρίους VRC 33. ὃ ἐκαλεῖτο: ἐκαλεῖτο δὲ L 34. σικάριοι: σικάριοι λησταὶ M 34-5. τέως-ποριζόμενοι: om. LVRC Lat 36. ὡς δὲ: ὡς PA[1] εἶθ' ὡς A[2] 39. ἁδροτέρων: ἀνδροτέρων PA[1] 40. Ἰουδαῖοι: ἑβραῖοι L Lat | ἐξ οὗ: ἐξόδου PAVR ἐξόδου ὅτε C 42-3. πολίχνην: καὶ πολίχνην LVRC 44. ἀμύνεσθαι: ἀμύνασθαι L 45. ἐσκέδασαν: ἐκόλασαν P[1]A[1]VR 46. ὄν: ὢν PA ἦν L

fazioni, e Giovanni nei confronti dei suoi avversari prese a comportarsi come un re nemico. Tuttavia nei loro rapporti (396) si limitarono a un vicendevole controllo, e poche, se non addirittura nessuna, furono le occasioni in cui scesero in lotta aperta; la loro rivalità si sfogava sul popolo e facevano a gara a chi lo tartassava di piú. Dei tre mali peggiori che ora affliggevano la città, (397) la guerra[2], l'oppressione e la lotta delle fazioni, quello che al popolo sembrava il piú lieve al confronto degli altri era la guerra, e sta di fatto che essi, fuggendo dai compatrioti, cercavano scampo presso stranieri, e chiedevano ai romani quella sicurezza che disperavano di poter trovare in patria.

7, 2. Ma ancora un quarto malanno sopraggiunse a provocare (398) la rovina[3] della nazione. Non lontano da Gerusalemme (399) era una fortezza munitissima, di nome Masada[4], costruita dagli antichi re per depositarvi i tesori e a riparo delle loro persone in caso di guerra. L'aveva occupata la banda detta (400) dei sicari[5], e fino a quel momento si era limitata a taglieggiare il territorio circonvicino prendendo soltanto il necessario per vivere, perché la paura li tratteneva dall'estendere le ruberie. Ma poi seppero che l'esercito dei romani non si muoveva e (401) che in Gerusalemme i giudei erano dilaniati dalle lotte civili e dall'insorgere di un'oppressione monarchica[6], e allora intrapresero scorrerie a piú largo raggio. Il giorno della festa (402) degli Azimi[7], che i giudei celebrano nella ricorrenza della liberazione dalla schiavitú in Egitto fin da quando fecero ritorno in patria, di nottetempo, senza farsi notare da chi poteva opporsi ai loro disegni, scesero a dar l'assalto a una cittadina di nome Engadde[8]. Quivi gli abitanti in grado di opporre (403) resistenza[9], prima che potessero prendere le armi e radunarsi, li dispersero costringendoli a fuggire dalla città, mentre chi non poteva fuggire, le donne e i bambini, li uccisero in nu-

σίους ἀναιροῦσιν. ἔπειτα τούς τε οἴκους ἐξεσκευασμένοι καὶ 404
τῶν καρπῶν τοὺς ἀκμαιοτάτους ἁρπάσαντες ἀνήνεγκαν εἰς
τὴν Μασάδαν. καὶ οἱ μὲν ἐλῄζοντο πάσας τὰς περὶ τὸ φρού- 405
50 ριον κώμας καὶ τὴν χώραν ἐπόρθουν ἅπασαν, προσδια-
φθειρομένων αὐτοῖς καθ' ἡμέραν ἑκασταχόθεν οὐκ ὀλίγων·
ἐκινεῖτο δὲ καὶ κατὰ τἄλλα τῆς Ἰουδαίας κλίματα τὸ τέως 406
ἠρεμοῦν τὸ ληστρικόν, καθάπερ δὲ ἐν σώματι τοῦ κυριω-
τάτου φλεγμαίνοντος πάντα τὰ μέλη συνενόσει· διὰ γοῦν 407
55 τὴν ἐν τῇ μητροπόλει στάσιν καὶ ταραχὴν ἄδειαν ἔσχον
οἱ κατὰ τὴν χώραν πονηροὶ τῶν ἁρπαγῶν καὶ τὰς οἰκείας
ἕκαστοι κώμας ἁρπάζοντες ἔπειτα εἰς τὴν ἐρημίαν ἀφί-
σταντο. συναθροιζόμενοί τε καὶ συνομνύμενοι κατὰ λόχους, 408
στρατιᾶς μὲν ὀλιγώτεροι πλείους δὲ ληστηρίου, προσέπιπτον
60 ἱεροῖς καὶ πόλεσιν, καὶ κακοῦσθαι μὲν συνέβαινεν ἐφ' οὓς 409
ὁρμήσειαν ὡς ἐν πολέμῳ καταληφθέντας, φθάνεσθαι δὲ τὰς
ἀμύνας ὡς ληστῶν ἅμα ταῖς ἁρπαγαῖς ἀποδιδρασκόντων.
οὐδὲν δὲ μέρος ἦν τῆς Ἰουδαίας, ὃ μὴ τῇ προανεχούσῃ
πόλει συναπώλλυτο.

65 **7, 3.** ταῦτα Οὐεσπασιανῷ παρὰ τῶν αὐτομόλων διηγ- 410
γέλλετο· καίπερ γὰρ φρουρούντων τὰς ἐξόδους τῶν στα-
σιαστῶν ἁπάσας καὶ διαφθειρόντων τοὺς ὁπωσοῦν προσι-
όντας, ὅμως ἦσαν οἳ διελάνθανον καὶ καταφεύγοντες εἰς
τοὺς Ῥωμαίους τὸν στρατηγὸν ἐνῆγον ἀμῦναι τῇ πόλει καὶ
70 τὰ τοῦ δήμου περισῶσαι λείψανα· διὰ γὰρ τὴν πρὸς Ῥω- 411
μαίους εὔνοιαν ἀνῃρῆσθαί τε τοὺς πολλοὺς καὶ κινδυνεύειν
τοὺς περιόντας. ὁ δὲ οἰκτείρων ἤδη τὰς συμφορὰς αὐτῶν 412
τὸ μὲν δοκεῖν ἐκπολιορκήσων ἀφίσταται τὰ Ἱεροσόλυμα,
τὸ δ' ἀληθὲς ἀπαλλάξων πολιορκίας. ἔδει μέντοι προκα- 413
75 ταστρέψασθαι τὰ λειπόμενα καὶ μηδὲν ἔξωθεν ἐμπόδιον

48. ἀκμαιοτάτους: ἀκμαίους LVRC 52. κατὰ: om. PA[1]LVRC | τὸ τέως: τότε ὡς P τότε τέως VRC 57. ἕκαστοι: ἕκαστος PAMVRC 60. οὓς: οὓς ἂν L 61. καταληφθέντας: καταλειφθέντας LR 73. τὸ: τῷ AMLV[1]R | ἀφίσταται Niese[2] ἐφίσταται PAML ἀνίσταται VRC 74. μέντοι Destinon μὲν τοῦ L μὲν PA δὲ MVRC

mero di oltre settecento. Poi svuotarono le case, s'impadro- 404
nirono dei prodotti agricoli piú maturi e trasportarono il
bottino a Masada. Allo stesso modo razziarono tutte le bor- 405
gate nei dintorni della fortezza e depredarono tutto il territorio,
mentre le loro file s'ingrossavano ogni giorno per l'arrivo
da ogni parte di non pochi delinquenti. Inoltre anche nelle 406
altre regioni della Giudea entrarono in azione le bande dei
briganti che fino a quel momento non s'erano mosse, come
avviene in un corpo quando, ammalandosi una parte vitale,
ne risentono tutte quante le altre. La discordia e il disordine 407
nella metropoli fecero sí che i briganti[10] sparsi nel paese si
abbandonassero impunemente alle rapine e tutti costoro, dopo
aver saccheggiato i propri villaggi, si ritirarono nel deserto.
Quivi legandosi con un giuramento si raccolsero in gruppi, 408
meno numerosi di un esercito ma piú nutriti di una banda, e si
gettarono su templi[11] e città, infliggendo alle loro vittime i 409
danni che avrebbero subito in una guerra perduta e senza la
possibilità di una rivincita perché, alla maniera dei briganti,
sparivano appena raccolto il bottino. Non v'era distretto della
Giudea che non fosse straziato dagli stessi mali della capitale.

7, 3. Di tale situazione Vespasiano era informato dai di- 410
sertori; infatti, sebbene i rivoluzionari tenessero sotto con-
trollo tutte le vie d'uscita e passassero per le armi chiunque
cercava di violare il blocco, non mancò tuttavia chi riuscí a
farla franca e poi, rifugiatosi presso i romani, insisteva presso
il capo perché si muovesse a soccorrere la città e a salvare ciò
che restava del popolo: era per la loro simpatia verso i romani 411
se i piú avevano perduto la vita e i superstiti correvano peri-
colo. Vespasiano, che già provava pietà per le loro sventure[12], 412
si mise in marcia; si sarebbe detto che andava ad assediare
Gerusalemme, ma in realtà egli si recava a liberarla dall'as-
sedio. Però bisognava prima assoggettare il resto del paese, 413
e non lasciar fuori nulla che potesse poi intralciare l'assedio.

www.scribd.com/Cultura_in_Ita5

τῇ πολιορκίᾳ καταλιπεῖν· ἐλθὼν οὖν ἐπὶ τὰ Γάδαρα μη-
τρόπολιν τῆς Περαίας καρτερὰν τετράδι Δύστρου μηνὸς
εἴσεισιν εἰς τὴν πόλιν. καὶ γὰρ ἔτυχον οἱ δυνατοὶ λάθρα 414
τῶν στασιωδῶν πρεσβευσάμενοι πρὸς αὐτὸν περὶ παρα-
80 δόσεως πόθῳ τε εἰρήνης καὶ διὰ τὰς οὐσίας· πολλοὶ δὲ
τὰ Γάδαρα κατῴκουν πλούσιοι. τούτων τὴν πρεσβείαν 415
ἠγνοήκεσαν οἱ διάφοροι, πλησίον δὲ ἤδη ὄντος Οὐεσπα-
σιανοῦ διεπύθοντο, καὶ κατασχεῖν μὲν αὐτοὶ τὴν πόλιν ἀπέ-
γνωσαν δύνασθαι, τῶν τε ἔνδον ἐχθρῶν πλήθει λειπόμενοι
85 καὶ Ῥωμαίους ὁρῶντες οὐ μακρὰν τῆς πόλεως, φεύγειν
δὲ κρίνοντες ἠδόξουν ἀναιμωτὶ καὶ μηδεμίαν παρὰ τῶν
αἰτίων εἰσπραξάμενοι τιμωρίαν. συλλαβόντες δὴ τὸν Δό- 416
λεσον, οὗτος γὰρ ἦν οὐ μόνον ἀξιώματι καὶ γένει τῆς πό-
λεως πρῶτος, ἀλλ' ἐδόκει καὶ τῆς πρεσβείας αἴτιος, κτεί-
90 νουσί τε αὐτὸν καὶ δι' ὑπερβολὴν ὀργῆς νεκρὸν αἰκισά-
μενοι διέδρασαν ἐκ τῆς πόλεως. ἐπιούσης δὲ ἤδη τῆς Ῥω- 417
μαϊκῆς δυνάμεως ὅ τε δῆμος τῶν Γαδαρέων μετ' εὐφημίας
τὸν Οὐεσπασιανὸν εἰσδεξάμενοι δεξιὰς παρ' αὐτοῦ πίστεως
ἔλαβον καὶ φρουρὰν ἱππέων τε καὶ πεζῶν πρὸς τὰς τῶν
95 φυγάδων καταδρομάς· τὸ γὰρ τεῖχος αὐτοὶ πρὶν ἀξιῶσαι 418
Ῥωμαίους καθεῖλον, ὅπως εἴη πίστις αὐτοῖς τοῦ τὴν εἰρή-
νην ἀγαπᾶν τὸ μηδὲ βουληθέντας δύνασθαι πολεμεῖν.

7, 4. Οὐεσπασιανὸς δ' ἐπὶ μὲν τοὺς διαδράντας ἐκ τῶν 419
Γαδάρων Πλάκιδον σὺν ἱππεῦσιν πεντακοσίοις καὶ πεζοῖς
100 τρισχιλίοις πέμπει, αὐτὸς δὲ μετὰ τῆς ἄλλης στρατιᾶς
ὑπέστρεψεν εἰς Καισάρειαν. οἱ δὲ φυγάδες ὡς αἰφνίδιον 420
τοὺς διώκοντας ἱππεῖς ἐθεάσαντο, πρὶν εἰς χεῖρας ἐλθεῖν
εἴς τινα κώμην συνειλοῦνται Βηθενναβρὶν προσαγορευομέ-
νην· ἐν ᾗ νέων πλῆθος οὐκ ὀλίγον εὑρόντες καὶ τοὺς μὲν 421
105 ἑκόντας τοὺς δὲ βίᾳ καθοπλίσαντες εἰκαίως, προπηδῶσιν

76. ἐλθὼν οὖν: ἐλθόντων οὖν PAVRC ἐξελθόντων οὖν M ἐλθὼν γοῦν L   84. τε: δὲ PA[1]   86. κρίνοντες: κρίναντες MVRC   87. δή: δὲ PAMVRC   92. Γαδαρέων: γαδάρων LVRC   97. δύνασθαι: om. PA[1]MLVRC   104. ἐν ᾗ νέων: ἐν ᾗ ἰουδαίων PAM ἔνθα ἰουδαίων L

Pertanto, presentatosi dinanzi a Gadara[13], la forte capitale della Perea, il quarto giorno del mese di Distro[14] fece il suo ingresso nella città. I notabili, desiderosi di pace e preoccupati per le loro sostanze, avevano trattato con lui la resa senza che i rivoluzionari ne avessero sentore, ed erano molti i ricchi fra gli abitanti di Gadara. Le loro trattative restarono segrete agli avversari, che ne vennero a conoscenza quando Vespasiano era ormai vicino; essi allora abbandonarono ogni speranza di poter assumere il controllo della città, essendo inferiori di numero ai loro oppositori di dentro e vedendo non lungi i romani. Decisero pertanto di fuggire, ma non senza aver prima fatto scorrere il sangue ed essersi vendicati sui responsabili. Perciò catturarono Doleso, che non solo era il primo dei cittadini per dignità e per nobiltà di natali, ma era anche ritenuto l'ispiratore delle trattative, lo uccisero e, dopo aver fatto scempio del cadavere nel colmo del loro furore, fuggirono dalla città. Poco dopo arrivava l'esercito romano; il popolo di Gadara accolse Vespasiano con festose acclamazioni e ne ottenne rassicuranti garanzie e un presidio di cavalieri e fanti a difesa dalle incursioni dei fuggitivi; il muro infatti, prima ancora che i romani glielo chiedessero, lo abbatterono essi stessi per confermare cosí la loro volontà di pace con l'impossibilità, ormai, di far la guerra anche se lo volessero. [414–418]

7, 4. Contro quelli fuggiti da Gadara Vespasiano inviò Placido[15] con cinquecento cavalieri e tremila fanti, mentre egli col resto dell'esercito prese la via del ritorno a Cesarea[16]. I fuggitivi, all'improvvisa apparizione dei cavalieri inseguitori, prima di venire a battaglia si radunarono in un villaggio di nome Bethennabris[17] dove, avendo trovato un non piccolo numero di giovani, li armarono alla meglio chi di buon grado, chi a forza, e si gettarono all'attacco degli uomini di [419–421]

ἐπὶ τοὺς περὶ τὸν Πλάκιδον. οἱ δὲ πρὸς μὲν τὴν πρώτην 422
ἐμβολὴν ὀλίγον εἶξαν, ἅμα καὶ προκαλέσασθαι τεχνιτεύοντες
αὐτοὺς ἀπὸ τοῦ τείχους πορρωτέρω, λαβόντες δ' εἰς ἐπι- 423
τήδειον περιήλαυνόν τε καὶ κατηκόντιζον, καὶ τὰς μὲν
110 φυγὰς αὐτῶν οἱ ἱππεῖς ὑπετέμνοντο, τὰς συμπλοκὰς δὲ
τὸ πεζὸν εὐτόνως διέφθειρον. οὐ μέντοι πλέον τι τόλμης 424
ἐπιδεικνύμενοι οἱ Ἰουδαῖοι διεφθείροντο· πεπυκνωμένοις γὰρ
τοῖς Ῥωμαίοις προσπίπτοντες καὶ ταῖς πανοπλίαις ὥσπερ
τετειχισμένοις, αὐτοὶ μὲν οὐχ εὕρισκον βέλους παράδυσιν
115 οὐδ' ηὐτόνουν ῥῆξαι τὴν φάλαγγα, περιεπείροντο δὲ τοῖς 425
ἐκείνων βέλεσι καὶ τοῖς ἀγριωτάτοις παραπλήσιοι θηρίοις
ὥρμων ἐπὶ τὸν σίδηρον, διεφθείροντο δ' οἱ μὲν κατὰ στόμα
παιόμενοι τοῖς ξίφεσιν, οἱ δὲ ὑπὸ τῶν ἱππέων σκεδαν-
νύμενοι.

120 **7,** 5. σπουδὴ γὰρ ἦν τῷ Πλακίδῳ τὰς ἐπὶ τὴν κώμην 426
ὁρμὰς αὐτῶν διακλείειν, καὶ συνεχῶς παρελαύνων κατ' 427
ἐκεῖνο τὸ μέρος, ἔπειτα ἐπιστρέφων ἅμα καὶ τοῖς βέλεσι
χρώμενος εὐστόχως ἀνῄρει τοὺς πλησιάζοντας καὶ δέει
τοὺς πόρρωθεν ἀνέστρεφεν, μέχρι βίᾳ διεκπεσόντες οἱ γεν-
125 ναιότατοι πρὸς τὸ τεῖχος διέφευγον. ἀπορία δ' εἶχε τοὺς 428
φύλακας· οὔτε γὰρ ἀποκλεῖσαι τοὺς ἀπὸ τῶν Γαδάρων
ὑπέμενον διὰ τοὺς σφετέρους καὶ δεξάμενοι συναπολεῖσθαι
προσεδόκων. ὃ δὴ καὶ συνέβη· συνωσθέντων γὰρ αὐτῶν 429
εἰς τὸ τεῖχος παρ' ὀλίγον μὲν οἱ τῶν Ῥωμαίων ἱππεῖς
130 συνεισέπεσον, οὐ μὴν ἀλλὰ καὶ φθασάντων ἀποκλεῖσαι τὰς
πύλας προσβαλὼν ὁ Πλάκιδος καὶ μέχρι δείλης γενναίως
ἀγωνισάμενος τοῦ τείχους καὶ τῶν ἐν τῇ κώμῃ κρατεῖ.
τὰ μὲν οὖν ἀργὰ πλήθη διεφθείρετο, φυγὴ δ' ἦν τῶν δυνα- 430
τωτέρων, τὰς δ'οἰκίας οἱ στρατιῶται διήρπασαν καὶ τὴν
135 κώμην ἐνέπρησαν. οἱ δὲ διαδράντες ἐξ αὐτῆς τοὺς κατὰ 431

107. ἐμβολὴν: συμβολὴν L 109-10. τὰς μὲν φυγὰς Destinon τοὺς μὲν φυγάδας codd. 111. διέφθειρον: διέφθειρεν L 112. οἱ Ἰουδαῖοι: Ἰουδαῖοι C 124. διεκπεσόντες: διεκπαίοντες VRC 125. διέφευγον: διέφυγον PA 132. κρατεῖ Niese: δὲ κρατεῖ L ἐκράτει PAMVRC 134. διήρπασαν: διέπρησαν PA

Placido. Questi al primo assalto cedettero un poco, anche 422
con l'intenzione di attirarli a una certa distanza dal muro;
poi li presero in mezzo in una posizione favorevole e comin- 423
ciarono a bersagliarli: i cavalieri tagliavano loro la via della
ritirata mentre i fanti aprivano larghi vuoti fra quelli che op-
ponevano resistenza. I giudei caddero dopo aver fatto nul- 424
l'altro che una vana esibizione di coraggio; scagliandosi contro
i ranghi serrati dei romani, che erano protetti dalle loro co-
razze come da un muro, essi non trovavano un varco per i
loro dardi né avevano la forza necessaria per incrinare la
falange[18], e intanto erano trafitti dalle armi da getto avver- 425
sarie e, simili alle belve piú feroci, si slanciavano contro il
ferro e finivano gli uni colpiti in pieno petto dalle spade, gli
altri inseguiti dalla cavalleria.

7, 5. Placido infatti badava a impedir loro di raggiungere 426
il villaggio[19] e senza tregua li sorpassava con i suoi cavalieri 427
verso quella direzione, poi faceva dietro front e con tiro pre-
ciso abbatteva i piú vicini costringendo i piú lontani a tornare
indietro per la paura. Alla fine i piú coraggiosi riuscirono a
sfondare e corsero verso le mura. A questo punto gli uomini 428
di guardia furono incerti sul da farsi: non avevano l'animo di
tener fuori quelli di Gadara perché v'erano mescolati anche i
loro[20], e d'altro canto temevano che, se li avessero fatti entrare,
ne avrebbero condiviso la sorte. E fu proprio ciò che accadde: 429
incalzando gli avversari sotto le mura, i cavalieri romani per
poco non penetrarono anch'essi nella città; gli altri riuscirono
a chiudere le porte, ma poi arrivò Placido che con una serie
di valorosi attacchi fino a sera superò il muro e prese il vil-
laggio. La massa inerme fu sterminata, mentre gli uomini piú 430
validi si mettevano in salvo con la fuga; i soldati saccheggia-
rono le case e incendiarono il villaggio. I fuggitivi gettarono 431

τὴν χώραν συνανέστησαν, καὶ τὰς μὲν αὐτῶν συμφορὰς
ἐξαίροντες ἐπὶ μεῖζον, τῶν δὲ Ῥωμαίων τὴν στρατιὰν
πᾶσαν ἐπιέναι λέγοντες πάντας πανταχόθεν ἐξέσεισαν τῷ
δέει, γενόμενοί τε παμπληθεῖς ἔφευγον ἐπὶ Ἱεριχοῦντος·
140 αὕτη γὰρ ἔτι μόνη τὰς ἐλπίδας αὐτῶν ἔθαλπε τῆς σω- 432
τηρίας καρτερὰ πλήθει γε οἰκητόρων. Πλάκιδος δὲ τοῖς 433
ἱππεῦσι καὶ ταῖς προαγούσαις εὐπραγίαις τεθαρρηκὼς εἵ-
πετο, καὶ μέχρι μὲν Ἰορδάνου τοὺς ἀεὶ καταλαμβανομένους
ἀνῄρει, συνελάσας δὲ πρὸς τὸν ποταμὸν πᾶν τὸ πλῆθος
145 εἰργομένοις ὑπὸ τοῦ ῥεύματος, τραφὲν γὰρ ὑπ' ὄμβρων ἄβα-
τον ἦν, ἀντικρὺ παρετάσσετο. παρώξυνε δ' ἡ ἀνάγκη πρὸς 434
μάχην τοὺς φυγῆς τόπον οὐκ ἔχοντας, καὶ ταῖς ὄχθαις
ἐπὶ μήκιστον παρεκτείναντες σφᾶς αὐτοὺς ἐδέχοντο τὰ βέλη
καὶ τὰς τῶν ἱππέων ἐμβολάς, οἳ πολλοὺς αὐτῶν παίοντες
150 εἰς τὸ ῥεῦμα κατέβαλον. καὶ τὸ μὲν ἐν χερσὶν αὐτῶν δια- 435
φθαρὲν μύριοι πεντακισχίλιοι, τὸ δὲ βιασθὲν ἐμπηδῆσαι εἰς
τὸν Ἰορδάνην πλῆθος ἑκουσίως ἄπειρον ἦν. ἑάλωσαν δὲ 436
περὶ δισχιλίους καὶ διακοσίους, λεία τε παμπληθὴς ὄνων
τε καὶ προβάτων καὶ καμήλων καὶ βοῶν.

155 **7,** 6. Ἰουδαίοις μὲν οὖν οὐδενὸς ἐλάττων ἥδε ἡ πληγὴ 437
προσπεσοῦσα καὶ μείζων ἔδοξεν ἑαυτῆς διὰ τὸ μὴ μόνον
τὴν χώραν ἅπασαν δι' ἧς ἔφευγον πληρωθῆναι φόνου,
μηδὲ νεκροῖς διαβατὸν γενέσθαι τὸν Ἰορδάνην, ἐμπλη-
σθῆναι δὲ τῶν σωμάτων καὶ τὴν Ἀσφαλτῖτιν λίμνην, εἰς
160 ἣν παμπληθεῖς ὑπὸ τοῦ ποταμοῦ κατεσύρησαν. Πλάκιδος 438
δὲ δεξιᾷ τύχῃ χρώμενος ὥρμησεν ἐπὶ τὰς πέριξ πολίχνας
τε καὶ κώμας, καταλαμβανόμενός τε Ἄβιλα καὶ Ἰουλιάδα
καὶ Βησιμὼθ τάς τε μέχρι τῆς Ἀσφαλτίτιδος πάσας ἐγκα-

137. τῶν δὲ Ῥωμαίων τὴν: τὴν δὲ τῶν ῥωμαίων M τὴν δὲ ῥωμαίων LVRC 141. γε: τε PAL τῶν C om. M 145. εἰργομένοις: εἰργομένοις AL εἰργομένους PM εἰργόμενος C 146. ἀντικρὺ: ἄντικρυς L 148. παρεκτείναντες: παρεκτείνοντες PALR 152. ἑκουσίως: ἀκουσίως L 155. οὐδενὸς Thackeray οὐδὲν codd. 159. Ἀσφαλτῖτιν: ἀσφαλτικὴν PA 161. τύχῃ: τῆι τύχηι L fortasse recte 162. καταλαμβανόμενος: καταλαβόμενος ML 163. Βησιμὼθ τάς: βησιμὼ τάς A βησιμώτας P | τῆς: om. PAM

il panico fra gli abitanti del contado, ed ora esagerando l'entità del disastro subito, ora affermando di avere alle calcagna l'intero esercito dei romani, fecero in modo che da ogni parte tutti si ritirarono dalle loro case e, raccoltisi tutti insieme, puntarono in massa su Gerico, l'unica città a dar loro speranza di 432 salvezza, forte com'era per il gran numero degli abitanti. Placido, fidando nei suoi cavalieri e imbaldanzito dai prece- 433 denti successi, si diede a inseguirli e fino al Giordano fece strage di tutti quelli che raggiunse; poi compresse lungo la riva del fiume la massa, che non riusciva a superarlo per l'impetuosa corrente alimentata dalle recenti piogge, e le schierò di contro le sue forze. I giudei furono spinti a battersi dal non 434 veder via di scampo, e si distesero il piú possibile lungo la riva, dove vennero raggiunti dai proiettili dei romani e caricati dai cavalieri che ne ferirono molti facendoli precipitare nel fiume. Quindicimila furono quelli che essi uccisero, mentre 435 un numero incalcolabile venne costretto a gettarsi da sé nel Giordano. I prigionieri ammontarono a duemiladuecento, e 436 insieme si fece un gran bottino di asini, pecore, cammelli e buoi.

7, 6. Questo fu il disastro piú grave patito dai giudei, e le 437 sue proporzioni apparvero ancora maggiori perché non solo era disseminato di morti tutto il paese attraverso il quale erano fuggiti e il Giordano era ricolmo di cadaveri, ma questi avevano riempito anche il lago Asfaltite[21] dove in gran numero li aveva trascinati la corrente. Placido, sfruttando il suc- 438 cesso, si rivolse contro le cittadine e le borgate circostanti; prese Abila[22], Giuliade[23], Besimoth[24] e tutte le altre fino al lago Asfaltite collocando in ciascuna un presidio formato dai

θίστησιν ἑκάστῃ τοὺς ἐπιτηδείους τῶν αὐτομόλων. ἔπειτα 439
165 σκάφεσιν ἐπιβήσας τοὺς στρατιώτας αἱρεῖ τοὺς εἰς τὴν
λίμνην καταφεύγοντας. καὶ τὰ μὲν κατὰ τὴν Περαίαν
προσεχώρησεν ἢ ἑάλω πάντα μέχρι Μαχαιροῦντος.

8, 1. ἐν δὲ τούτῳ τὸ περὶ τὴν Γαλατίαν ἀγγέλλεται 440
κίνημα καὶ Οὐίνδιξ ἅμα τοῖς δυνατοῖς τῶν ἐπιχωρίων
ἀφεστὼς Νέρωνος, περὶ ὧν ἐν ἀκριβεστέροις ἀναγέγραπται.
Οὐεσπασιανὸν δ' ἐπήγειρεν εἰς τὴν ὁρμὴν τοῦ πολέμου 441
5 τὰ ἠγγελμένα, προορώμενον ἤδη τοὺς μέλλοντας ἐμφυ-
λίους πολέμους καὶ τὸν ὅλης κίνδυνον τῆς ἡγεμονίας, ἐν
ᾧ προειρηνεύσας τὰ κατὰ τὴν ἀνατολὴν ἐπικουφίσειν ᾤετο
τοὺς κατὰ τὴν Ἰταλίαν φόβους. ἕως μὲν οὖν ἐπεῖχεν ὁ 442
χειμὼν τὰς ὑπηγμένας διησφαλίζετο κώμας τε καὶ πολίχνας
10 φρουραῖς, δεκαδάρχας μὲν κώμαις ἐγκαθιστάς, ἑκατοντάρ-
χας δὲ πόλεσι· πολλὰ δὲ ἀνῴκιζε καὶ τῶν πεπορθημένων.
ὑπὸ δὲ τὴν ἀρχὴν τοῦ ἔαρος ἀναλαβὼν τὸ πλέον τῆς δυ- 443
νάμεως ἤγαγεν ἀπὸ τῆς Καισαρείας ἐπὶ Ἀντιπατρίδος,
ἔνθα δυσὶν ἡμέραις καταστησάμενος τὴν πόλιν τῇ τρίτῃ
15 προῄει πορθῶν καὶ καίων τὰς πέριξ πάσας. καταστρεψά- 444
μενος δὲ τὰ περὶ τὴν Θαμνᾶ τοπαρχίαν ἐπὶ Λύδδων καὶ
Ἰαμνείας ἐχώρει καὶ προκεχειρωμέναις ἑκατέραις ἐγκα-
ταστήσας οἰκήτορας τῶν προσκεχωρηκότων ἱκανοὺς εἰς
Ἀμμαοῦντα ἀφικνεῖται. καταλαβόμενος δὲ τὰς ἐπὶ τὴν 445
20 μητρόπολιν αὐτῶν εἰσβολὰς στρατόπεδόν τε τειχίζει καὶ
τὸ πέμπτον ἐν αὐτῇ τάγμα καταλιπὼν πρόεισι μετὰ τῆς
9, 10. Simone, dopo aver strappato la moglie dalle mani degli Zeloti, si rivolse di nuovo contro ciò che restava dell'Idumea, e assaltando da ogni parte la popolazione costrinse i piú a fuggire a Gerusalemme. Egli li inseguí fino alla città e, circondate di nuovo le mura, metteva a morte tutti quelli che uscivano per lavorare in campagna e cadevano nelle sue mani[33]. Cosí per il popolo Simone era, fuori le mura, un nemico piú terribile dei romani, mentre all'interno piú feroci degli altri due erano gli Zeloti, fra i quali si distingueva per i disegni delittuosi e per la temerità il gruppo dei Galilei; erano stati infatti costoro a portare al potere Giovanni, ed egli li ricompensava del predominio che gli avevano procurato concedendo a ciascuno di fare ciò che voleva. Con un insaziabile desiderio di preda frugavano le case dei ricchi, uccidevano gli uomini e stupravano le donne come fosse un gioco; poi col bottino lordo di sangue gozzovigliavano e infine, sazi, si abbandonavano senza ritegno all'effeminatezza acconciandosi

245 καὶ γυναικείας ἐσθῆτας ἀναλαμβάνοντες, καταντλούμενοι
δὲ μύροις καὶ πρὸς εὐπρέπειαν ὑπογράφοντες ὀφθαλμούς.
οὐ μόνον δὲ κόσμον, ἀλλὰ καὶ πάθη γυναικῶν ἐμιμοῦντο 562
καὶ δι' ὑπερβολὴν ἀσελγείας ἀθεμίτους ἐπενόησαν ἔρωτας·
ἐνηλινδοῦντο δ' ὡς πορνείῳ τῇ πόλει καὶ πᾶσαν ἀκαθάρ-
250 τοις ἐμίαναν ἔργοις. γυναικιζόμενοι δὲ τὰς ὄψεις ἐφόνων 563
ταῖς δεξιαῖς, θρυπτόμενοί τε τοῖς βαδίσμασιν ἐπιόντες ἐξα-
πίνης ἐγίνοντο πολεμισταί, τά τε ξίφη προφέροντες ἀπὸ
τῶν βεβαμμένων χλανιδίων τὸν προστυχόντα διήλαυνον.
τοὺς ἀποδιδράσκοντας δὲ Ἰωάννην Σίμων φονικώτερον ἐξε- 564
255 δέχετο, καὶ διαφυγών τις τὸν ἐντὸς τείχους τύραννον ὑπὸ
τοῦ πρὸ πυλῶν διεφθείρετο. πᾶσα δὲ φυγῆς ὁδὸς τοῖς αὐ- 565
τομολεῖν πρὸς Ῥωμαίους βουλομένοις ἀπεκέκοπτο.

9, 11. διεστασιάζετο δὲ πρὸς τὸν Ἰωάννην ἡ δύναμις, 566
καὶ πᾶν ὅσον ἦν Ἰδουμαίων ἐν αὐτῇ χωρισθὲν ἐπεχείρει
260 τῷ τυράννῳ φθόνῳ τε τῆς ἰσχύος αὐτοῦ καὶ μίσει τῆς
ὠμότητος. συμβαλόντες δὲ ἀναιροῦσί τε πολλοὺς τῶν ζη- 567
λωτῶν καὶ συνελαύνουσι τοὺς λοιποὺς εἰς τὴν βασιλικὴν
αὐλὴν κατασκευασθεῖσαν ὑπὸ Γραπτῆς· συγγενὴς δ' ἦν
αὕτη τοῦ τῶν Ἀδιαβηνῶν βασιλέως Ἰζᾶ· συνεισπίπτουσι 568
265 δ' οἱ Ἰδουμαῖοι, κἀκεῖθεν εἰς τὸ ἱερὸν ἐξώσαντες τοὺς
ζηλωτὰς ἐφ' ἁρπαγὴν ἐτράποντο τῶν Ἰωάννου χρημάτων·
κατὰ γὰρ τὴν προειρημένην αὐλὴν αὐτός τε ᾤκει καὶ τὰ 569
λάφυρα τῆς τυραννίδος κατέθετο. ἐν δὲ τούτῳ τὸ κατὰ 570
τὴν πόλιν ἐσκεδασμένον πλῆθος τῶν ζηλωτῶν εἰς τὸ ἱερὸν
270 πρὸς τοὺς διαπεφευγότας ἠθροίσθη, καὶ κατάγειν αὐτοὺς
παρεσκευάσατο Ἰωάννης ἐπί τε τὸν δῆμον καὶ τοὺς Ἰδου-
μαίους. τοῖς δὲ οὐχ οὕτω τὴν ἔφοδον αὐτῶν καταδεῖσαι 571

248. ἀσελγείας ἀθεμίτους ἐπενόησαν ἔρωτας: ἀσωτίας ἀσελγείας ἀθεμίτους ἐπενόησαν P ἀσελγείας ἀθεμίτους ἐπενόησαν A ἀσελγείας ἀθεμίτους ἡδονὰς ἐπενόησαν LVRC 251. τε: δὲ PAMRVC 252. προφέροντες: προβάλλοντες L προσφέροντες C 253. βεβαμμένων L περιβεβλημένων PAMVRC 259. ἦν: om. P | Ἰδουμαίων: ἰδουμαῖον ALR 262. λοιποὺς: πολλοὺς PA 265. ἐξώσαντες: περιεξώσαντες L περιώσαντες C 267. ᾤκει καὶ Destinon coll. Lat *degebat et*: ὧν ἐκεῖ καὶ PALVR ἦν ἐκεῖ καὶ M ἦν κἀκεῖ C 271. παρεσκευάσατο: παρεσκευάζετο LVRC

i capelli, indossando abiti da donna, cospargendosi di profumi
e dandosi il bistro agli occhi per farsi piú belli. E le donne 562
non le imitavano soltanto nel modo di agghindarsi, ma anche
nelle pratiche amorose, ideando con frenetica dissolutezza in-
fami amplessi, rotolandosi nella città come in un bordello,
dopo averla tutta insozzata con le loro nefandezze. Ma se 563
avevano visi di donna, le loro erano mani d'assassini: mentre
procedevano con molle andatura all'improvviso si trasforma-
vano in audaci uomini d'arme, ed estraendo le spade da sotto
alle vesti dai colori sgargianti trafiggevano chiunque capi-
tava[34]. Chi fuggiva da Giovanni riceveva da Simone un'acco- 564
glienza ancora piú funesta, e se uno si salvava dal tiranno di
dentro periva ad opera di quello di fuori. Per chi voleva pas- 565
sare ai romani ogni via di scampo era sbarrata.

9, 11. Ma tra le forze di Giovanni scoppiò la rivolta, e 566
tutti gli Idumei che ne facevano parte[35] si staccarono e insor-
sero contro il despota, invidiosi della sua potenza e stanchi
della sua crudeltà. Passati all'attacco, uccisero un gran nu- 567
mero di Zeloti e i rimanenti li costrinsero a rifugiarsi nel
palazzo reale costruito da Grapte, una parente di Iza, re degli
Adiabeni[36]. Ma assieme agli Zeloti vi fecero irruzione anche 568
gli Idumei, che di là li ricacciarono fin nel tempio; poi si
diedero al saccheggio dei tesori di Giovanni, che abitava nel 569
palazzo suddetto e vi aveva riposto il frutto della sua prepo-
tenza. Nel frattempo la massa degli Zeloti che era dispersa 570
nella città si raccolse nel tempio unendosi a quelli che erano
stati messi in fuga, e Giovanni si preparò a guidarli giú contro
il popolo e gli Idumei. Questi ebbero paura non tanto del 571

παρέστη μαχιμωτέροις οὖσιν ὡς τὴν ἀπόνοιαν, μὴ νύκτωρ
ἐκ τοῦ ἱεροῦ παρεισδύντες αὐτούς τε διαφθείρωσι καὶ τὸ
275 ἄστυ καταπιμπρῶσι. συνελθόντες οὖν μετὰ τῶν ἀρχιερέων 572
ἐβουλεύοντο, τίνα χρὴ τρόπον φυλάξασθαι τὴν ἐπίθεσιν.
θεὸς δ' ἄρα τὰς γνώμας αὐτῶν εἰς κακὸν ἔτρεψε, καὶ χα- 573
λεπώτερον ἀπωλείας ἐπενόησαν τὸ πρὸς σωτηρίαν φάρμα-
κον· ἵνα γοῦν καταλύσωσιν Ἰωάννην, ἔκριναν δέχεσθαι Σί-
280 μωνα καὶ μεθ' ἱκετηριῶν δεύτερον εἰσαγαγεῖν ἑαυτοῖς τύ-
ραννον. ἐπεραίνετο δ' ἡ βουλή, καὶ τὸν ἀρχιερέα Ματθίαν 574
πέμψαντες ἐδέοντο Σίμωνος εἰσελθεῖν ὃν πολλὰ ἔδεισαν·
συμπαρεκάλουν δ' οἱ ἐκ τῶν Ἱεροσολύμων τοὺς ζηλωτὰς
φεύγοντες πόθῳ τῶν οἴκων καὶ τῶν κτημάτων. ὁ δ' αὐτοῖς 575
285 ὑπερηφάνως κατανεύσας τὸ δεσπόζειν εἰσέρχεται μὲν ὡς
ἀπαλλάξων τῶν ζηλωτῶν τὴν πόλιν, σωτὴρ ὑπὸ τοῦ δήμου
καὶ κηδεμὼν εὐφημούμενος, παρελθὼν δὲ μετὰ τῆς δυνά- 576
μεως ἐσκόπει τὰ περὶ τῆς ἑαυτοῦ δυναστείας καὶ τοὺς
καλέσαντας οὐχ ἧττον ἐχθροὺς ἐνόμιζεν ἢ καθ' ὧν ἐκέκλητο.

290 **9,** 12. Σίμων μὲν οὕτως ἐνιαυτῷ τρίτῳ τοῦ πολέμου 577
Ξανθικῷ μηνὶ Ἱεροσολύμων ἐγκρατὴς γίνεται· Ἰωάννης δὲ
καὶ τὸ τῶν ζηλωτῶν πλῆθος εἰργόμενοι τῶν ἐξόδων τοῦ
ἱεροῦ καὶ τὰ τῆς πόλεως ἀπολωλεκότες, παραχρῆμα γὰρ
τὰ ἐκείνων οἱ περὶ τὸν Σίμωνα διήρπασαν, ἐν ἀπόρῳ τὴν
295 σωτηρίαν εἶχον. προσέβαλλε δὲ τῷ ἱερῷ Σίμων τοῦ δήμου 578
βοηθοῦντος, κἀκεῖνοι καταστάντες ἐπὶ τῶν στοῶν καὶ τῶν
ἐπάλξεων ἠμύνοντο τὰς προσβολάς. συχνοὶ δ' ἔπιπτον τῶν 579
περὶ Σίμωνα καὶ πολλοὶ τραυματίαι κατεφέροντο· ῥᾳδίως
γὰρ ἐξ ὑπερδεξίου τὰς βολὰς οἱ ζηλωταὶ καὶ οὐκ ἀστό-
300 χους ἐποιοῦντο. πλεονεκτοῦντες δὲ τῷ τόπῳ καὶ πύργους 580
ἔτι προσκατεσκεύασαν τέσσαρας μεγίστους, ὡς ἀφ' ὑψηλο-
τέρων ποιοῖντο τὰς ἀφέσεις, τὸν μὲν κατὰ τὴν ἀνατολικὴν 581

275. καταπιμπρῶσι: καταπρήσωσι MVRC 278. ἐπενόησαν τὸ: ἐπενοήσαντο MLVR 282. Σίμωνος: σίμωνι PA[1] | πολλὰ: πολλάκις L *saepe* Lat 291. γίνεται: ἐγένετο VRC 295. προσέβαλλε: προσέβαλε ML προσεβάλλετο PAVR 298. ῥᾳδίως: ῥαδίους LRC 301. ὡς: ὡς ἂν L

loro attacco, essendo piú forti in combattimento, quanto della loro follia, pensando che quelli di nottetempo potevano fare una sortita dal tempio, ucciderli e dar fuoco alla città. Si radu- 572 narono allora a consiglio con i sommi sacerdoti per deliberare come difendersi dal loro assalto[37]. Ma il dio sconvolse le loro 573 menti ed essi pensarono di ricorrere a un rimedio peggiore del male; infatti per liberarsi di Giovanni decisero di far entrare Simone, cioè di attirarsi un secondo padrone, e per di piú sollecitandolo con le preghiere. La decisione venne eseguita 574 e il sommo sacerdote Mattia[38] fu inviato a pregare quel Simone, che tanto avevano temuto, di voler entrare in città. Unirono le loro insistenze anche tutti quelli che erano stati costretti a fuggire da Gerusalemme per gli Zeloti e che desideravano di recuperare case e averi. Simone acconsentí con 575 grande degnazione di far loro da padrone e fece il suo ingresso come per liberare la città dagli Zeloti, acclamato dal popolo quale salvatore e protettore; ma quando fu dentro col 576 suo esercito non pensò che al suo potere, considerando quelli che l'avevano invocato non meno nemici di coloro contro cui era stato invocato.

9, 12. Cosí il mese di Xanthico[39] del terzo anno di guerra 577 Simone si fece signore di Gerusalemme mentre Giovanni e la banda degli Zeloti, impediti di uscire dal tempio e perduto tutto ciò che avevano in città e che era stato immediatamente saccheggiato dagli uomini di Simone, cominciavano a disperare della loro sorte. Con l'aiuto del popolo Simone diede 578 l'assalto al tempio, ma gli avversari, dispostisi sui portici e dietro le merlature, respinsero gli attacchi. Tra le file di 579 Simone caddero parecchi e molti riportarono ferite; gli Zeloti infatti, stando piú in alto, potevano effettuare i loro tiri con maggiore facilità ed efficacia. Tale vantaggio della posizione 580 essi l'accrebbero con la costruzione di quattro torri grandissime per poter tirare da un'altezza superiore, una all'angolo

www.scribd.com/Cultura_in_Ita5

καὶ βόρειον γωνίαν, τὸν δὲ τοῦ ξυστοῦ καθύπερθεν, τὸν
δὲ τρίτον κατὰ γωνίαν ἄλλην ἀντικρὺ τῆς κάτω πόλεως·
305 ὁ δὲ λοιπὸς ὑπὲρ τὴν κορυφὴν κατεσκεύαστο τῶν παστο- 582
φορίων, ἔνθα τῶν ἱερέων εἷς ἐξ ἔθους ἱστάμενος ἑκάστην
ἑβδομάδα εἰσιοῦσαν προεσήμαινε σάλπιγγι δείλης καὶ τε-
λεσθεῖσαν αὖθις περὶ ἑσπέραν, ὅτε μὲν ἀνέργειαν τῷ λαῷ
καταγγέλλων, ὅτε δ' ἔργων ἔχεσθαι. διέστησαν δ' ἐπὶ 583
310 τῶν πύργων ὀξυβελεῖς τε καὶ λιθοβόλους μηχανὰς τούς
τε τοξότας καὶ σφενδονήτας. ἔνθα δὴ τὰς μὲν προσβολὰς 584
ὀκνηροτέρας ἐποιεῖτο ὁ Σίμων, μαλακιζομένων αὐτῷ τῶν
πλειόνων, ἀντεῖχε δ' ὅμως περιουσίᾳ δυνάμεως· τὰ δ' ἀπὸ
τῶν ὀργάνων βέλη πορρωρέρω φερόμενα πολλοὺς τῶν μα-
315 χομένων ἀνῄρει.

10, 1. κατὰ δὲ τὸν αὐτὸν καιρὸν περιέσχε καὶ τὴν Ῥώ- 585
μην πάθη χαλεπά. παρῆν μὲν γὰρ ἀπὸ Γερμανίας Οὐιτέλλιος 586
ἅμα τῷ στρατιωτικῷ πολὺ πλῆθος ἐπισυρόμενος ἕτερον,
μὴ χωρούμενος δὲ τοῖς ἀποδεδειγμένοις εἰς τοὺς στρα-
5 τιώτας περιβόλοις ὅλην ἐποιήσατο τὴν Ῥώμην στρατόπεδον
καὶ πᾶσαν οἰκίαν ὁπλιτῶν ἐπλήρωσεν. οἱ δ' ἀήθεσιν ὀφθαλ- 587
μοῖς τὸν Ῥωμαίων πλοῦτον θεασάμενοι καὶ περιλαμ-
φθέντες πάντοθεν ἀργύρῳ τε καὶ χρυσῷ τὰς ἐπιθυμίας μόλις
κατεῖχον, ὥστε μὴ ἐφ' ἁρπαγὰς τρέπεσθαί τε καὶ τοὺς
10 ἐμποδὼν γινομένους ἀναιρεῖν. καὶ τὰ μὲν κατὰ τὴν Ἰταλίαν
ἐν τούτοις ἦν.

10, 2. Οὐεσπασιανὸς δὲ ὡς τὰ πλησίον Ἱεροσολύμων 588
καταστρεψάμενος ὑπέστρεψεν εἰς Καισάρειαν, ἀκούει τὰς
κατὰ τὴν Ῥώμην ταραχὰς καὶ Οὐιτέλλιον αὐτοκράτορα.
15 τοῦτο αὐτόν, καίπερ ἄρχεσθαι καθάπερ ἄρχειν καλῶς ἐπι- 589

306. εἷς: τις C 308. ἀνέργειαν: ἐνέργειαν M ἀνείργειν LVRC 310. μηχα-νὰς: καὶ μηχανὰς C 313. ἀντεῖχε: ἀντέχει L
10, 2. χαλεπά: χαλεπώτερα L fortasse recte *saeviora* Lat | γὰρ: om. A 7. τὸν: τῶν PA 9. τρέπεσθαι: τραπέσθαι L 10. καὶ: om. LVRC 15. τοῦτο: τούτ' (sic) οὖν L τοῦτο οὖν VRC

nord-orientale, l'altra sovrastante al Xisto[40], la terza all'altro 581
angolo dirimpetto alla città bassa[41]; la quarta venne innalzata 582
sul tetto degli alloggi sacerdotali, dove ogni settimana secondo
il rito uno dei sacerdoti[42] saliva per preannunziare nel pome-
riggio con il suono di una tromba l'inizio del sabato e, la
sera del giorno dopo, per annunziare la sua fine, dando cosí
al popolo il segnale per la sospensione e la ripresa del lavoro.
Sulle torri, oltre agli arcieri e ai frombolieri, collocarono ca- 583
tapulte e lanciamissili[43], e da quel momento Simone rallentò 584
gli attacchi, essendosi i suoi uomini perduti d'animo, pur
continuando a battersi validamente per il vantaggio della
superiorità numerica; ma i proiettili delle catapulte a lunga
gittata aprivano numerosi vuoti fra i suoi.

10, 1. All'incirca nello stesso tempo anche Roma fu af- 585
flitta da gravi disastri. Era infatti arrivato dalla Germania 586
Vitellio, che assieme all'esercito si trascinava dietro un'altra
numerosa moltitudine e, non potendo sistemare tutti nei
quartieri costruiti per i militari, trasformò l'intera Roma in
un accampamento riempiendo ogni casa di soldati. Questi 587
all'inconsueto spettacolo dell'opulenza dei romani, e trovan-
dosi in mezzo a tutto quell'argento e quell'oro, solo a gran
fatica riuscirono a frenare i desideri, astenendosi dal saccheg-
giare e dall'uccidere chi si opponeva. Tale era, dunque, la
situazione nell'Italia[1].

10, 2. Quando fece ritorno a Cesarea dopo aver devastato 588
la regione vicina a Gerusalemme, Vespasiano ebbe notizia
della caotica situazione di Roma e dell'acclamazione a impera-
tore di Vitellio. Sebbene egli fosse bravo nell'ubbidire non 589
meno che nel comandare, la cosa lo indignò perché non po-

στάμενον, εἰς ἀγανάκτησιν προήγαγεν, καὶ τὸν μὲν ὡς ἐρή-
μου καταμανέντα τῆς ἡγεμονίας ἠδόξει δεσπότην, περι- 590
αλγήσας δὲ τῷ πάθει καρτερεῖν τὴν βάσανον οὐχ οἷός τε
ἦν καὶ τῆς πατρίδος πορθουμένης ἑτέροις προσευσχολεῖν
20 πολέμοις. ἀλλ' ὅσον ὁ θυμὸς ἤπειγεν ἐπὶ τὴν ἄμυναν, το- 591
σοῦτον εἶργεν ἔννοια τοῦ διαστήματος· πολλὰ γὰρ ἂν φθάσαι
πανουργήσασαν τὴν τύχην πρὶν αὐτὸν εἰς τὴν Ἰταλίαν
περαιωθῆναι, καὶ ταῦτα χειμῶνος ὥρᾳ πλέοντα, καὶ σφα-
δάζουσαν ἤδη κατεῖχεν τὴν ὀργήν.

25 **10,** 3. συνιόντες δὲ οἵ τε ἡγεμόνες καὶ στρατιῶται καθ' 592
ἑταιρίαν φανερῶς ἤδη μεταβολὴν ἐβουλεύοντο καὶ διαγα-
νακτοῦντες ἐβόων, ὡς οἱ μὲν ἐπὶ τῆς Ῥώμης στρατιῶται
τρυφῶντες καὶ μηδ' ἀκούειν πολέμου φήμην ὑπομένοντες
διαχειροτονοῦσιν οἷς βούλονται τὴν ἡγεμονίαν καὶ πρὸς
30 ἐλπίδα λημμάτων ἀποδεικνύουσιν αὐτοκράτορας, αὐτοὶ δὲ 593
διὰ τοσούτων κεχωρηκότες πόνων καὶ γηρῶντες ὑπὸ τοῖς
κράνεσιν ἑτέροις χαρίζονται τὴν ἐξουσίαν, καὶ ταῦτα τὸν
ἀξιώτερον ἄρχειν παρ' αὐτοῖς ἔχοντες. ᾧ τίνα δικαιοτέραν 594
ποτὲ τῆς εἰς αὐτοὺς εὐνοίας ἀποδώσειν ἀμοιβήν, εἰ τὴν
35 νῦν καταπροοῖντο; τοσούτῳ δ' εἶναι Οὐεσπασιανὸν ἡγεμο-
νεύειν Οὐιτελλίου δικαιότερον, ὅσῳ καὶ αὐτοὺς τῶν ἐκεῖνον
ἀποδειξάντων· οὐ γὰρ δὴ μικροτέρους τῶν ἀπὸ Γερμανίας 595
διενηνοχέναι πολέμους οὐδὲ τῶν ἐκεῖθεν καταγαγόντων τὸν
τύραννον ἡττῆσθαι τοῖς ὅπλοις. ἀγῶνος ἐνδεήσειν δὲ οὐδέν· 596
40 οὐ γὰρ τὴν σύγκλητον ἢ τὸν Ῥωμαίων δῆμον ἀνέξεσθαι
τῆς Οὐιτελλίου λαγνείας ἀντὶ τῆς Οὐεσπασιανοῦ σω-
φροσύνης, οὐδ' ἀντὶ μὲν ἡγεμόνος ἀγαθοῦ τύραννον ὠμότατον,
ἄπαιδα δὲ ἀντὶ πατρὸς αἱρήσεσθαι προστάτην· μέγιστον

16. μὲν: om. MLVRC 19. προσευσχολεῖν: προσασχολεῖν M πρὸς εὐσχολὴν C 21. ἂν ins. Herwerden | πανουργήσασαν: *nova facere* (id est καινουργήσασαν) Lat καλλιουργήσασαν L 23. καὶ ins. Destinon 25. συνιόντες: συνιέντες PLVR | καὶ: καὶ οἱ LVRC 27. ὡς: om. PAVR 33. αὐτοῖς: αὑτοῖς PAVRC ἑαυτοῖς L 38. καταγαγόντων: καταγόντων LVRC 39. ἐνδεήσειν δὲ: δὲ ἐνδεήσειν M ἐνδεηθεῖσιν L 40. τὸν: τῶν PA 43. ἄπαιδα ed. pr. παῖδα codd. | αἱρήσεσθαι: αἱρεῖσθαι PAMVR

teva sopportare di stare agli ordini di uno che si era gettato
come un forsennato sull'impero quasi fosse un deserto, e 590
afflitto da tale infamia non riusciva a sopportarne il tormento,
né a pensare ad altre guerre mentre la patria andava in rovina.
Ma quanto piú l'ira lo spingeva alla vendetta, tanto piú lo 591
tratteneva il pensiero della lontananza: prima di un suo sbarco
in Italia – e si doveva affrontare una navigazione invernale –
la fortuna avrebbe potuto giocare molti brutti tiri; perciò
tenne a freno il suo prorompente furore.

10, 3. Ma gli ufficiali e la truppa adunandosi in riunioni 592
amichevoli parlavano ormai apertamente di rivolta, sottoli-
neando con sdegno che i soldati che stavano a Roma a gozzo-
vigliare senza nemmeno voler sentire parlare di guerra innal-
zavano al principato chi gli andava a genio, ed acclamavano
gli imperatori in vista dei donativi[2], mentre essi, che erano 593
passati attraverso tante prove ed erano invecchiati sotto le
armi, lasciavano fare agli altri quando invece avevano presso
di loro chi era piú degno della porpora imperiale. A costui 594
quale occasione piú opportuna avrebbero avuto di ricambiare
la benevolenza con cui li trattava, se si fossero lasciati sfuggire
quella che allora si offriva? Inoltre era tanto piú giusto che a
salire al principato fosse Vespasiano anziché Vitellio, quanto
loro erano superiori a chi aveva eletto quest'ultimo; infatti 595
essi, al paragone delle legioni di Germania, avevano soste-
nuto guerre non meno importanti, né come forza stavano al
di sotto di coloro che erano venuti da laggiú per insediare il
tiranno[3]. E poi, non sarebbero sorti contrasti, perché né il 596
senato né il popolo romano avrebbero sopportato la dissolu-
tezza di Vitellio in luogo della temperanza di Vespasiano, né
come capo avrebbero preferito a un capitano valente un cru-
delissimo tiranno, e un uomo senza figli a chi invece ne aveva,

γὰρ δὴ πρὸς ἀσφάλειαν εἰρήνης εἶναι τὰς γνησίους τῶν βασιλέων διαδοχάς. εἴτε οὖν ἐμπειρίᾳ γήρως προσήκει τὸ ἄρχειν, Οὐεσπασιανὸν αὐτοὺς ἔχειν, εἴτε νεότητος ἀλκῇ, Τίτον· κραθήσεσθαι γὰρ τῆς παρ' ἀμφοῖν ἡλικίας τὸ ὠφέλιμον. χορηγήσειν δ' οὐ μόνον αὐτοὶ τὴν ἰσχὺν τοῖς ἀποδειχθεῖσι τρία τάγματα καὶ τὰς παρὰ τῶν βασιλέων συμμαχίας ἔχοντες, συνεργήσειν δὲ τά τε πρὸς ἕω πάντα καὶ τῆς Εὐρώπης ὅσα τῶν ἀπὸ Οὐιτελλίου φόβων κεχώρισται, καὶ τοὺς ἐπὶ τῆς Ἰταλίας δὲ συμμάχους, ἀδελφὸν Οὐεσπασιανοῦ καὶ παῖδα ἕτερον, ὧν τῷ μὲν προσθήσεσθαι πολλοὺς τῶν ἐν ἀξιώματι νέων, τὸν δὲ καὶ τὴν τῆς πόλεως φυλακὴν πεπιστεῦσθαι, μέρος οὐκ ὀλίγον εἰς ἐπιβολὴν ἡγεμονίας. καθόλου τε ἂν βραδύνωσιν αὐτοί, τάχα τὴν σύγκλητον ἀποδείξειν τὸν ὑπὸ τῶν συγγεγηρακότων στρατιωτῶν ἀτιμούμενον.

10, 4. τοιαῦτα κατὰ συστροφὰς οἱ στρατιῶται διελάλουν· ἔπειτα συναθροισθέντες καὶ παρακροτήσαντες ἀλλήλους ἀναγορεύουσι τὸν Οὐεσπασιανὸν αὐτοκράτορα καὶ σώζειν τὴν κινδυνεύουσαν ἡγεμονίαν παρεκάλουν. τῷ δὲ φροντὶς μὲν ἦν πάλαι περὶ τῶν ὅλων, οὔτι γε μὴν αὐτὸς ἄρχειν προῄρητο, τοῖς μὲν ἔργοις ἑαυτὸν ἄξιον ἡγούμενος, προκρίνων δὲ τῶν ἐν λαμπρότητι κινδύνων τὴν ἐν ἰδιωτείαις ἀσφάλειαν. ἀρνουμένῳ δὲ μᾶλλον οἱ ἡγεμόνες ἐπέκειντο καὶ περιχυθέντες οἱ στρατιῶται ξιφήρεις ἀναιρεῖν αὐτὸν ἠπείλουν, εἰ μὴ βούλοιτο ζῆν ἀξίως. πολλὰ δὲ πρὸς αὐτοὺς διατεινάμενος ἐξ ὧν διωθεῖτο τὴν ἀρχὴν τελευταῖον, ὡς οὐκ ἔπειθεν, εἴκει τοῖς ὀνομάσασι.

10, 5. προτρεπομένων δ' αὐτὸν ἤδη Μουκιανοῦ τε καὶ τῶν ἄλλων ἡγεμόνων ὡς αὐτοκράτορα καὶ τῆς ἄλλης στρα-

45. διαδοχὰς Bekker ὑπεροχὰς codd. 48. αὐτοὶ Niese αὐτοὺς PAM αὐτοῖς L αὐτοὺς τότε VRC 50. συνεργήσειν δὲ: ἀλλὰ συνεργήσειν VR ἀλλὰ καὶ συνεργήσειν C συνετηρήσαμεν PAL 55. ἐπιβολὴν: ἐπιβουλὴν PAMVRC 57. συγγεγηρακότων Destinon συντετηρηκότων codd. 64. προῄρητο: προηρεῖτο PAMVRC 71. αὐτὸν: αὐτῶν PAC 72. ὡς: εἰς LVRC

poiché la successione al trono di eredi legittimi rappresenta la piú salda garanzia di pace[4]. Se per governare si richiedeva l'esperienza degli anni maturi, allora essi avevano Vespasiano, se il vigore della giovinezza, allora avevano Tito: si sarebbero infatti assommati i pregi dell'età di entrambi. Agli eletti, poi, avrebbero dato valido sostegno non soltanto loro, e si trattava di tre legioni[5] con gli ausiliari inviati dai re, ma avrebbero anche collaborato tutto l'oriente, le province dell'Europa abbastanza lontane per non aver paura di Vitellio, gli alleati d'Italia, un fratello di Vespasiano[6] e un altro figlio[7]. Di questi due il secondo avrebbe attirato il consenso di molti giovani, appartenenti alla nobiltà, mentre il primo, fra l'altro, rivestiva la carica di prefetto urbano, un elemento di non poca importanza per la conquista del potere imperiale. Insomma, se loro non si decidevano, poteva accadere che fosse il senato a eleggere l'uomo che i soldati invecchiati al suo fianco non stimavano degno di tale onore.

10, 4. Questi i discorsi che si scambiavano i soldati nelle loro riunioni; poi si radunarono tutti insieme e, facendosi coraggio l'un l'altro, acclamarono imperatore Vespasiano[8] scongiurandolo di salvare l'impero in pericolo. Egli da gran tempo si preoccupava della situazione politica, ma non aveva mai pensato di assumere il potere, e non perché non se ne stimasse degno per le prove già date, ma perché preferiva la sicurezza di una condizione privata ai pericoli del fasto imperiale. Al suo rifiuto, però, i generali moltiplicarono le loro insistenze mentre i soldati gli si stringevano intorno con le spade in pugno minacciando di ucciderlo[9] se non voleva vivere in maniera degna di lui. Vespasiano, dopo aver a lungo esposte le ragioni che lo inducevano a respingere il potere, alla fine, non riuscendo a convincerli, si lasciò sopraffare dalle loro acclamazioni[10].

10, 5. Poiché Muciano[11] e gli altri generali lo incitavano a intraprendere la sua azione da principe, mentre dal canto

τιᾶς ἄγειν βοώσης αὐτὴν ἐπὶ πᾶν τὸ ἀντίπαλον, ὁ δὲ
πρῶτον τῶν ἐπ' Ἀλεξανδρείας εἴχετο πραγμάτων, εἰδὼς
75 πλεῖστον τῆς ἡγεμονίας μέρος τὴν Αἴγυπτον οὖσαν διὰ
τὴν τοῦ σίτου χορηγίαν, ἧς κρατήσας εἰ παρέλκοι καὶ 606
βίᾳ καθαιρήσειν ἤλπιζεν Οὐιτέλλιον, οὐ γὰρ ἀνέξεσθαι πείνης
ἐπὶ Ῥώμης τὸ πλῆθος, τά δύο τε ἐπὶ τῆς Ἀλεξανδρείας
τάγματα προσποιήσασθαι βουλόμενος. ἐνεθυμεῖτο δὲ καὶ 607
80 πρόβλημα τὴν χώραν ἔχειν τῶν ἀπὸ τῆς τύχης ἀδήλων·
ἔστι γὰρ κατά τε γῆν δυσέμβολος καὶ τὰ πρὸς θαλάσσης
ἀλίμενος, κατὰ μὲν ἑσπέραν προβεβλημένη τὰ ἄνυδρα τῆς 608
Λιβύης, κατὰ δὲ μεσημβρίαν τὴν διορίζουσαν ἀπὸ Αἰθιόπων
τὴν Συήνην καὶ τούς ἀπλώτους τοῦ ποταμοῦ καταράκτας,
85 ἀπὸ δὲ τῆς ἀνατολῆς τὴν ἐρυθρὰν θάλασσαν ἀναχεομένην
μέχρι Κοπτοῦ. βόρειον δὲ τεῖχος αὐτῆς ἥ τε μέχρι Συ- 609
ρίας γῆ καὶ τὸ καλούμενον Αἰγύπτιον πέλαγος, πᾶν ἄπορον
ὅρμων. τετείχισται μὲν οὕτως ἡ Αἴγυπτος πάντοθεν· τὸ 610
μεταξὺ δὲ Πηλουσίου καὶ Συήνης μῆκος αὐτῆς σταδίων
90 δισχιλίων, ὅ τε ἀπὸ τῆς Πλινθίνης ἀνάπλους εἰς τὸ Πηλού-
σιον σταδίων τρισχιλίων ἑξακοσίων. ὁ δὲ Νεῖλος ἀνα- 611
πλεῖται μέχρι τῆς Ἐλεφάντων καλουμένης πόλεως, ὑπὲρ ἣν
εἴργουσι προσωτέρω χωρεῖν οὓς προειρήκαμεν καταράκτας.
δυσπρόσιτος δὲ λιμὴν ναυσὶ καὶ κατ' εἰρήνην Ἀλεξαν- 612
95 δρείας· στενός τε γὰρ εἴσπλους καὶ πέτραις ὑφάλοις τὸν
ἐπ' εὐθὺ καμπτόμενος δρόμον. καὶ τὸ μὲν ἀριστερὸν αὐτοῦ 613
μέρος πέφρακται χειροκμήτοις σκέλεσιν, ἐν δεξιᾷ δὲ ἡ
προσαγορευομένη Φάρος νῆσος πρόκειται, πύργον ἀνέ-
χουσα μέγιστον ἐκπυρσεύοντα τοῖς καταπλέουσιν ἐπὶ τρια-
100 κοσίους σταδίους, ὡς ἐν νυκτὶ πόρρωθεν ὁρμίζοιντο πρὸς

73. ἄγειν βοώσης αὐτὴν ed. pr. ἄγειν PAM ἄγειν βοώσης VR ἄγειν βοώσης αὐτὸν LC 74. ἐπ': ἀπ' LVRC 79. προσποιήσασθαι: προσποιήσεσθαι PAML 85. τὴν: ἐπὶ τὴν codd sed cfr. Lat | ἀναχεομένην: ἀναχεομένη PAMVRC 86. αὐτῆς Niese αὐτῇ codd. 98. νῆσος: νησίς VRC et in marg. M | πρόκειται: πρόσκειται RC 98-9. ἀνέχουσα: ἔχουσα PAM

suo l'esercito lo spronava a mettersi alla sua testa per abbattere qualunque rivale, Vespasiano per prima cosa rivolse la sua attenzione ad Alessandria: egli ben sapeva che l'Egitto rappresentava una delle regioni piú importanti dell'impero per l'approvvigionamento del grano, e contava che, una volta 606 assicuratosene il controllo, avrebbe alla lunga costretto Vitellio ad arrendersi perché il popolo di Roma non si sarebbe assoggettato a patir la fame[12]. Inoltre mirava ad attirare dalla 607 sua parte le due legioni di stanza in Alessandria[13], e a fare di quel paese un riparo contro i colpi della fortuna. L'Egitto è infatti di difficile accesso per via di terra, mentre sul mare è privo di porti. Verso occidente è al riparo dei deserti dell'Africa; 608 a sud della frontiera con l'Etiopia, Siene[14] e le cateratte non navigabili del Nilo; ad oriente del Mar Rosso, che si pro- 609 tende fino a Copto[15]; a nord[16] le sue barriere sono la regione fino alla Siria e il cosiddetto Mar Egizio, completamente sprovvisto di porti. In tal modo l'Egitto risulta protetto da 610 ogni lato. Fra Pelusio e Siene la sua lunghezza è di duemila stadi; la distanza per via di mare tra Plintina e Pelusio di tremilaseicento stadi[17]. Il Nilo è navigabile fino alla città chia- 611 mata Elefantina[18], oltre la quale impediscono di spingersi le suddette cateratte. Il porto di Alessandria è difficilmente 612 accessibile alle navi anche in tempo di pace perché ha l'ingresso stretto e tortuoso a causa di scogli sottomarini. Il suo 613 fianco sinistro è protetto da moli artificiali, mentre sulla destra c'è l'isola chiamata Faro ove sorge una torre grandissima che fa luce ai naviganti in arrivo fino a trecento stadi di distanza, in modo che essi nella notte si fermino lontano per

τὴν δυσχέρειαν τοῦ κατάπλου. περὶ ταύτην τὴν νῆσον κατα- 614
βέβληται χειροποίητα τείχη μέγιστα, προσαρασσόμενον δὲ
τούτοις τὸ πέλαγος καὶ τοῖς ἄντικρυς ἕρκεσιν ἀμφαγνυ-
μένον ἐκτραχύνει τὸν πόρον καὶ σφαλερὰν διὰ στενοῦ τὴν
105 εἴσοδον ἀπεργάζεται. ὁ μέντοι γε λιμὴν ἀσφαλέστατος ἔνδον 615
καὶ τριάκοντα σταδίων τὸ μέγεθος, εἰς ὃν τά τε λείποντα
τῇ χώρᾳ πρὸς εὐδαιμονίαν κατάγεται καὶ τὰ περισσεύοντα
τῶν ἐπιχωρίων ἀγαθῶν εἰς πᾶσαν χωρίζεται τὴν οἰκου-
μένην.

110 **10,** 6. ἐφίετο μὲν οὖν εἰκότως τῶν ταύτῃ πραγμάτων 616
Οὐεσπασιανὸς εἰς βεβαίωσιν τῆς ὅλης ἡγεμονίας, ἐπι-
στέλλει δ' εὐθὺς τῷ διέποντι τὴν Αἴγυπτον καὶ τὴν Ἀλε-
ξάνδρειαν Τιβερίῳ Ἀλεξάνδρῳ, δηλῶν τὸ τῆς στρατιᾶς
πρόθυμον, καὶ ὡς αὐτὸς ὑποδὺς ἀναγκαίως τὸ βάρος τῆς
115 ἡγεμονίας συνεργὸν αὐτὸν καὶ βοηθὸν προσλαμβάνοι. παρα- 617
ναγνοὺς δὲ τὴν ἐπιστολὴν Ἀλέξανδρος προθύμως τά τε
τάγματα καὶ τὸ πλῆθος εἰς αὐτὸν ὥρκωσεν. ἑκάτεροι δ'
ἀσμένως ὑπήκουσαν τὴν ἀρετὴν τἀνδρὸς ἐκ τῆς ἐγγὺς
στρατηγίας εἰδότες. καὶ ὁ μὲν πεπιστευμένος ἤδη τὰ περὶ 618
120 τὴν ἀρχὴν προπαρεσκεύαζεν αὐτῷ καὶ τὰ πρὸς τὴν ἄφιξιν,
τάχιον δ' ἐπινοίας διήγγελλον αἱ φῆμαι τὸν ἐπὶ τῆς ἀνα-
τολῆς αὐτοκράτορα, καὶ πᾶσα μὲν πόλις ἑώρταζεν εὐαγ-
γέλια καὶ θυσίας ὑπὲρ αὐτοῦ ἐπετέλει. τὰ δὲ κατὰ Μυσίαν 619
καὶ Παννονίαν τάγματα, μικρῷ πρόσθεν κεκινημένα πρὸς
125 τὴν Οὐιτελλίου τόλμαν, μείζονι χαρᾷ Οὐεσπασιανῷ τὴν
ἡγεμονίαν ὤμνυον. ὁ δ' ἀναζεύξας ἀπὸ Καισαρείας εἰς 620
Βηρυτὸν παρῆν, ἔνθα πολλαὶ μὲν ἀπὸ τῆς Συρίας αὐτῷ,
πολλαὶ δὲ κἀπὸ τῶν ἄλλων ἐπαρχιῶν πρεσβεῖαι συνήντων,
στεφάνους παρ' ἑκάστης πόλεως καὶ συγχαρτικὰ προσφέ-

101. νῆσον: νησίδα LVRC et in marg. M 101-2. καταβέβληται: καταβάλλεται L 103-4. ἀμφαγνυμένον Dindorf ἀφικνύμενον P ἀφικνούμενον AM ἀφιγνύμενον LRC ἀφιγνυμένον V *fractum* Lat 108. χωρίζεται: μερίζεται MVRC μεριζόμενα L 113. στρατιᾶς: στρατείας P 115-6 παραναγνοὺς: παραγνοὺς P προσαναγνοὺς VRC 128. κἀπὸ: καὶ ἀπὸ PMLRC ἀπὸ V 129. συγχαρτικὰ: συγχαριτικὰ PVRC συνχαριτικὰ A συγχαρητικὰ M

la difficoltà di entrare. Attorno a quest'isola sono stati alzati 614
immensi bastioni, e il mare, battendovi contro e infrangendosi
sulle scogliere antistanti, fa ribollire il canale e per la stret-
tezza rende difficile l'ingresso. Dentro, però, il porto è quanto 615
mai sicuro e lungo trenta stadi[19]; ivi confluiscono tutti i pro-
dotti che mancano al benessere del paese e di lí partono per
tutto il mondo i prodotti locali sovrabbondanti.

10, 6. Ben a ragione Vespasiano mirava ad assicurarsi il 616
controllo di questo paese a sostegno di tutto l'impero, e scrisse
subito a Tiberio Alessandro, governatore dell'Egitto e di
Alessandria, informandolo della devozione manifestatagli dal-
l'esercito e aggiungendo che, avendo dovuto sobbarcarsi al
peso del principato, contava sulla sua collaborazione e sul
suo aiuto. Alessandro diede pubblica lettura del messaggio e 617
prontamente chiese che le legioni e il popolo giurassero fe-
deltà al nuovo imperatore: ciò che essi fecero di buon
grado avendo conosciuto le sue qualità dal modo come aveva
esercitato il comando in una regione tanto vicina[20]. Quindi 618
Alessandro, che ormai era investito di responsabilità di go-
verno[21], si dedicò ai preparativi per accogliere Vespasiano,
mentre piú veloce del pensiero si diffondeva la notizia del-
l'imperatore eletto in oriente, e ogni città festeggiava la lieta
novella e compiva sacrifici per lui. Le legioni della Mesia e 619
della Pannonia[22], che poco tempo prima avevano dato segni
d'insofferenza per l'audacia di Vitellio, con tanto piú entu-
siasmo giurarono fedeltà a Vespasiano. Questi da Cesarea si 620
trasferí a Berito[23], ove lo raggiunsero molte ambascerie pro-
venienti dalla Siria e dalle altre province recandogli dalle

130 ρουσαι ψηφίσματα. παρῆν δὲ καὶ Μουκιανὸς ὁ τῆς ἐπαρχίας 621
ἡγεμών, τὸ πρόθυμον τῶν δήμων καὶ τοὺς κατὰ πόλιν
ὅρκους ἀπαγγέλλων.

10, 7. προχωρούσης δὲ πανταχοῦ κατὰ νοῦν τῆς τύχης 622
καὶ τῶν πραγμάτων συννενευκότων ἐκ τοῦ πλείστου μέ-
135 ρους, ἤδη παρίστατο τῷ Οὐεσπασιανῷ νοεῖν, ὡς οὐ δίχα
δαιμονίου προνοίας ἅψαιτο τῆς ἀρχῆς, ἀλλὰ δικαία τις
εἱμαρμένη περιαγάγοι τὸ κρατεῖν τῶν ὅλων ἐπ' αὐτόν·
ἀναμιμνήσκεται γάρ τά τε ἄλλα σημεῖα, πολλὰ δ' αὐτῷ 623
γεγόνει πανταχοῦ προφαίνοντα τὴν ἡγεμονίαν, καὶ τὰς τοῦ
140 Ἰωσήπου φωνάς, ὃς αὐτὸν ἔτι ζῶντος Νέρωνος αὐτοκρά-
τορα προσειπεῖν ἐθάρσησεν. ἐξεπέπληκτο δὲ τὸν ἄνδρα δε- 624
σμώτην ἔτι ὄντα παρ' αὐτῷ, καὶ προσκαλεσάμενος Μου-
κιανὸν ἅμα τοῖς ἄλλοις ἡγεμόσι καὶ φίλοις πρῶτον μὲν
αὐτοῦ τὸ δραστήριον ἐκδιηγεῖτο καὶ ὅσα περὶ τοῖς Ἰωτα-
145 πάτοις δι' αὐτὸν ἔκαμον, ἔπειτα τὰς μαντείας, ἃς αὐτὸς 625
μὲν ὑπώπτευσε τότε πλάσματα τοῦ δέους, ἀποδειχθῆναι δὲ
ὑπὸ τοῦ χρόνου καὶ τῶν πραγμάτων θείας. «αἰσχρὸν οὖν,» 626
ἔφη, «τὸν προθεσπίσαντά μοι τὴν ἀρχὴν καὶ διάκονον τῆς
τοῦ θεοῦ φωνῆς ἔτι αἰχμαλώτου τάξιν ἢ δεσμώτου τύχην
150 ὑπομένειν», καὶ καλέσας τὸν Ἰώσηπον λυθῆναι κελεύει. τοῖς 627
μὲν οὖν ἡγεμόσιν ἐκ τῆς εἰς τὸν ἀλλόφυλον ἀμοιβῆς λαμπρὰ
καὶ περὶ αὐτῶν ἐλπίζειν παρέστη, συνὼν δὲ τῷ πατρὶ Τίτος 628
«δίκαιον, ὦ πάτερ,» ἔφη, «τοῦ Ἰωσήπου καὶ τὸ ὄνειδος
ἀφαιρεθῆναι σὺν τῷ σιδήρῳ· γενήσεται γὰρ ὅμοιος τῷ μὴ
155 δεθέντι τὴν ἀρχήν, ἂν αὐτοῦ μὴ λύσωμεν ἀλλὰ κόψωμεν τὰ
δεσμά». τοῦτο γὰρ ἐπὶ τῶν μὴ δεόντως δεθέντων πράττεται.
συνεδόκει ταῦτα, καὶ παρελθών τις πελέκει διέκοψε τὴν 629

134. τοῦ: om. LVRC fortasse recte 137. περιαγάγοι: περιάγοι MVRC
140. ὃς: ὡς PA 144. περὶ: om. PAMVRC 147. θείας: θείως R
152. αὐτῶν: αὐτῶν PALR αὐτὸν C 155. μὴ: om. R | ἀλλὰ κόψωμεν: om. VR
156. δεόντως δεθέντων: δεόντων δεθέντων δὲ PA 157. συνεδόκει: συνεδόκει
δὲ AVRC συνευδοκεῖ δὲ L

singole città corone e decreti gratulatori. Arrivò anche Mu- 621
ciano, il governatore della provincia di Siria, a testimoniare
il favore popolare e a comunicare che tutte le città avevano
prestato giuramento[24].

10, 7. Ora che la fortuna assecondava dappertutto i suoi 622
desideri e le circostanze in linea di massima cospiravano in
suo favore, a Vespasiano venne fatto di riflettere che non
senza un divino volere egli era salito al principato, e che era
stato un giusto destino[25] a farlo signore del mondo. Infatti 623
fra gli altri presagi – molti ne aveva ricevuti da ogni parte a
predirgli l'impero[26] – si ricordò delle parole di Giuseppe, che
aveva avuto il coraggio di chiamarlo imperatore mentre Ne-
rone era ancora in vita[27]. Turbato al pensiero di tenerlo ancora 624
in prigione, convocò Muciano assieme agli altri generali e
amici, e dopo aver ricordato la sua bravura e tutto il filo da
torcere che aveva dato loro a Iotapata accennò alle sue predi-
zioni, che sul momento egli aveva credute un'invenzione det- 625
tata dalla paura, mentre il tempo e i fatti ne avevano dimo-
strato l'origine divina. « Mi sembra una vergogna » concluse 626
« che chi mi predisse l'impero e fu ministro della voce di dio
sopporti ancora la condizione di prigioniero e l'umiliazione
di stare in catene. » Ciò detto, mandò a chiamare Giuseppe e
diede ordine di togliergli i ceppi. Mentre la ricompensa data 627
allo straniero faceva balenare agli occhi dei generali gli splen-
didi doni che a suo tempo anch'essi avrebbero ricevuto, Tito,
che stava presso suo padre, gli rivolse tali parole: « È giusto, 628
padre, che Giuseppe sia liberato, oltre che dei ceppi, anche
della vergogna: se le sue catene noi non le scioglieremo, ma le
spezzeremo, sarà come se non fosse mai stato incatenato ».
Cosí infatti si usa fare con chi è stato incatenato ingiustamente[28].
La richiesta venne accolta e a colpi di scure la catena fu spez- 629

ἅλωσιν. ὁ δὲ Ἰώσηπος εἰληφὼς ὑπὲρ τῶν προειρημένων γέρας
τὴν ἐπιτιμίαν ἤδη καὶ περὶ τῶν μελλόντων ἀξιόπιστος ἦν.

11, 1. Οὐεσπασιανὸς δὲ ταῖς πρεσβείαις χρηματίσας καὶ 630
καταστησάμενος ἑκάστοις τὰς ἀρχὰς δικαίως καὶ διὰ τῶν
ἀξίων, εἰς Ἀντιόχειαν ἀφικνεῖται. καὶ βουλευόμενος ποῖ 631
τρέπεσθαι, προυργιαίτερα τῆς εἰς Ἀλεξάνδρειαν ὁρμῆς τὰ
5 κατὰ τὴν Ῥώμην ἔκρινε, τὴν μὲν βέβαιον οὖσαν ὁρῶν, τὰ
δ' ὑπὸ Οὐιτελλίου ταρασσόμενα. πέμπει δὴ Μουκιανὸν εἰς 632
τὴν Ἰταλίαν παραδοὺς ἱππέων τε καὶ πεζῶν συχνὴν δύναμιν.
ὁ δὲ διὰ τὴν τοῦ χειμῶνος ἀκμὴν δείσας τὸ πλεῖν πεζῇ
τὴν στρατιὰν ἦγε διὰ Καππαδοκίας καὶ Φρυγίας.
10 **11,** 2. ἐν δὲ τούτῳ καὶ Ἀντώνιος Πρῖμος ἀναλαβὼν 633
τὸ τρίτον τάγμα τῶν κατὰ Μυσίαν, ἔτυχεν δ' ἡγεμονεύων
αὐτόθι, Οὐιτελλίῳ παραταξόμενος ἠπείγετο. Οὐιτέλλιος δ' 634
αὐτῷ συναντήσοντα μετὰ πολλῆς δυνάμεως Καικίναν Ἀλιη-
νὸν ἐκπέμπει, μέγα θαρρῶν τἀνδρὶ διὰ τὴν ἐπ' Ὄθωνι νίκην.
15 ὁ δὲ ἀπὸ τῆς Ῥώμης ἐλαύνων διὰ τάχους περὶ Κρέμωνα
τῆς Γαλατίας τὸν Ἀντώνιον καταλαμβάνει· μεθόριος δ' ἐστὶν
ἡ πόλις αὕτη τῆς Ἰταλίας. κατιδὼν δ' ἐνταῦθα τὸ πλῆθος 635
τῶν πολεμίων καὶ τὴν εὐταξίαν, συμβαλεῖν μὲν οὐκ ἐθάρρει,
σφαλερὰν δὲ τὴν ἀναχώρησιν λογιζόμενος προδοσίαν ἐβου-
20 λεύετο. συναγαγὼν δὲ τοὺς ὑφ' αὐτὸν ἑκατοντάρχας καὶ 636
χιλιάρχους ἐνῆγεν μεταβῆναι πρὸς τὸν Ἀντώνιον, ταπεινῶν
μὲν τὰ Οὐιτελλίου πράγματα, τὴν Οὐεσπασιανοῦ δ' ἰσχὺν
ἐπαίρων, καὶ παρ' ᾧ μὲν εἶναι λέγων μόνον τῆς ἀρχῆς 637
ὄνομα, παρ' ᾧ δὲ τὴν δύναμιν, καὶ αὐτοὺς δὲ ἄμεινον εἶναι
25 προλαβόντας τὴν ἀνάγκην ποιῆσαι χάριν καὶ μέλλοντας ἡττᾶ-
σθαι τοῖς ὅπλοις ταῖς γνώμαις τὸν κίνδυνον φθάσαι· Οὐεσπα- 638

158. ὑπὲρ Niese περὶ codd.
11, 3. βουλευόμενος: βουλόμενος PMC 4. τρέπεσθαι: χρὴ τρέπεσθαι MLVR 8. πλεῖν Hudson coll. Lat *navigare* πᾶν codd. 12. παραταξόμενος: παραταξάμενος PAV 13. Καικίναν C κικίλλιον PAM κικίλιον LVR 18. συμβαλεῖν: συμβάλλειν LVR 20. ἑκατοντάρχας: ἑκατοντάρχους AMLVR 23. εἶναι: om. PAMVRC

zata. Cosí Giuseppe, dopo aver ricevuto la libertà a ricompensa della sua predizione, godette di credito anche come profeta.

11, 1. Vespasiano, dopo aver congedato le ambascerie e 630 assegnato i comandi nelle province tenendo conto della giustizia e dei meriti, si trasferí in Antiochia. Qui tenne consiglio 631 sulla via da seguire, e riconobbe che piú importante di intraprendere un viaggio ad Alessandria era arrivare a Roma, perché la prima era ormai al sicuro mentre la seconda era soggetta alle angherie di Vitellio. Perciò, affidandogli una cospi- 632 cua forza di cavalieri e fanti, inviò in Italia Muciano, che non volle affrontare il mare nel cuore dell'inverno e condusse a piedi l'esercito attraverso la Cappadocia e la Frigia[1].

11, 2. Nel frattempo anche Antonio Primo alla testa della 633 legione terza di stanza nella Mesia, di cui egli era allora il governatore[2], si era messo in moto per affrontare Vitellio. Questi spedí contro di lui con grandi forze Cecina Alieno[3], 634 in cui aveva grande fiducia dopo la vittoria riportata su Otone. Cecina, risalendo rapidamente da Roma, raggiunse Antonio presso Cremona nella Gallia, una città che è sui confini dell'Italia. Ivi, allo spettacolo della moltitudine e della disciplina 635 dei nemici, non ebbe piú il coraggio di attaccar battaglia e, giudicando pericolosa una ritirata, meditò il tradimento. Rac- 636 colti i centurioni e i tribuni che erano ai suoi ordini, li istigò a passare dalla parte di Antonio rimpicciolendo la forza di Vitellio ed esagerando quella di Vespasiano; diceva che l'uno 637 aveva solo il titolo d'imperatore mentre l'altro ne aveva la potenza, che per loro era meglio fare di necessità virtú e, prima di subire una disastrosa sconfitta, schivare il pericolo con una

σιανὸν μὲν γὰρ ἱκανὸν εἶναι καὶ χωρὶς αὐτῶν προσκτήσασθαι
καὶ τὰ λείποντα, Οὐιτέλλιον δ' οὐδὲ σὺν αὐτοῖς τηρῆσαι
τὰ ὄντα.

30 **II**, 3. πολλὰ τοιαῦτα λέγων ἔπεισε καὶ πρὸς τὸν 'Αντώ- 639
νιον αὐτομολεῖ μετὰ τῆς δυνάμεως. τῆς δ' αὐτῆς νυκτὸς 640
ἐμπίπτει μετάνοια τοῖς στρατιώταις καὶ δέος τοῦ προπέμ-
ψαντος, εἰ κρείσσων γένοιτο· σπασάμενοι δὲ τὰ ξίφη τὸν
Καικίναν ὥρμησαν ἀνελεῖν, κἂν ἐπράχθη τὸ ἔργον αὐτοῖς,
35 εἰ μὴ προσπίπτοντες οἱ χιλίαρχοι καθικέτευσαν ἑκάστους.
οἱ δὲ τοῦ μὲν κτείνειν ἀπέσχοντο, δήσαντες δὲ τὸν προδότην 641
οἷοί τε ἦσαν ἀναπέμπειν Οὐιτελλίῳ. ταῦτ' ἀκούσας ὁ Πρῖμος
αὐτίκα τοὺς σφετέρους ἀνίστησι καὶ μετὰ τῶν ὅπλων ἦγεν
ἐπὶ τοὺς ἀποστάντας. οἱ δὲ παραταξάμενοι πρὸς ὀλίγον μὲν 642
40 ἀντέσχον, αὖθις δὲ τραπέντες ἔφευγον εἰς τὴν Κρέμωνα. τοὺς
δὲ ἱππεῖς ἀναλαβὼν Πρῖμος ὑποτέμνεται τὰς εἰσόδους αὐτῶν,
καὶ τὸ μὲν πολὺ πλῆθος κυκλωσάμενος πρὸ τῆς πόλεως δια-
φθείρει, τῷ δὲ λοιπῷ συνεισπεσὼν διαρπάσαι τὸ ἄστυ τοῖς
στρατιώταις ἐφῆκεν. ἔνθα δὴ πολλοὶ μὲν τῶν ξένων ἔμποροι, 643
45 πολλοὶ δὲ τῶν ἐπιχωρίων ἀπώλοντο, πᾶσα δὲ καὶ ἡ Οὐιτελ-
λίου στρατιά, μυριάδες ἀνδρῶν τρεῖς καὶ διακόσιοι· τῶν
δ' ἀπὸ τῆς Μυσίας 'Αντώνιος τετρακισχιλίους ἀποβάλλει
καὶ πεντακοσίους. λύσας δὲ τὸν Καικίναν πέμπει πρὸς 644
Οὐεσπασιανὸν ἀγγελοῦντα τὰ πεπραγμένα. καὶ ὃς ἐλθὼν
50 ἀπεδέχθη τε ὑπ' αὐτοῦ καὶ τὰ τῆς προδοσίας ὀνείδη ταῖς
παρ' ἐλπίδα τιμαῖς ἐπεκάλυψεν.

II, 4. ἀνεθάρσει δὲ ἤδη καὶ κατὰ τὴν 'Ρώμην Σαβῖνος, 645
ὡς πλησίον 'Αντώνιος ὢν ἀπηγγέλλετο, καὶ συναθροίσας τὰ
τῶν νυκτοφυλάκων στρατιωτῶν τάγματα νύκτωρ καταλαμ-
55 βάνει τὸ Καπετώλιον. μεθ' ἡμέραν δ' αὐτῷ πολλοὶ τῶν ἐπι- 646

27. προσκτήσασθαι Dindorf προσθήσεσθαι PAMVRC προκτήσασθαι L 35. ἑκάστους: αὐτοὺς PAMVR αὐτοῖς C 36. μὲν κτείνειν: κτείνειν P κτεῖναι AVRC κτεῖναι μὲν L 37. ἀναπέμπειν: πέμπειν PAMVR πέμψειν C 40-1. τοὺς δὲ: καὶ τοὺς LVRC fortasse recte 45. καὶ ἡ: ἡ ἡ A ἡ MLVRC 48. Καικίναν: κικίλλιον PAM κικίλιον LVRC 52. ἀνεθάρσει: ἀνεθάρσησε A

mossa accorta. Vespasiano poteva raggiungere i suoi restanti 638
obiettivi anche senza di loro, mentre Vitellio anche col loro
aiuto non era piú in grado di conservare la sua posizione.

II, 3. Con questi e altri ragionamenti riuscí a persuaderli 639
e passò con l'esercito dalla parte di Antonio. Ma la notte 640
stessa i suoi soldati ebbero un pentimento, presi anche dal
terrore al pensiero che Vitellio potesse alla fine risultare vin-
citore, e, sguainate le spade, si scagliarono su Cecina; lo avreb-
bero ucciso, se i tribuni non si fossero gettati ai loro piedi
implorandoli. Decisero allora di non ucciderlo, ma incatena- 641
rono il traditore preparandosi a rimandarlo a Vitellio. Primo
però, informato della cosa, immediatamente radunò i suoi e li
guidò in armi contro i ribelli, che dopo una breve resistenza 642
vennero travolti e presero la fuga verso Cremona. Primo con
la cavalleria sbarrò le vie di accesso alla città e la piú gran
parte li accerchiò e uccise davanti alla città; inseguendo poi i
superstiti penetrò anch'egli nella città abbandonandola al sac-
cheggio dei suoi soldati. Morirono allora molti mercanti fo- 643
restieri e molti abitanti, nonché tutto l'esercito di Vitellio,
trentamila e duecento uomini. Dei soldati della Mesia An-
tonio ne perdette quattromila e cinquecento[4]. Liberato Ce- 644
cina, egli lo mandò da Vespasiano a riferirgli i fatti e quello,
con le accoglienze ricevute al suo arrivo, ricoprí l'onta del
tradimento sotto gl'insperati onori.

II, 4. A Roma anche Sabino[5] riprese ormai coraggio quan- 645
do apprese che Antonio era vicino e, radunate le coorti dei
vigili, di notte occupò il Campidoglio. Il giorno dopo lo 646

σήμων προσεγένοντο καὶ Δομετιανὸς ὁ τἀδελφοῦ παῖς,
μεγίστη μοῖρα τῶν εἰς τὸ κρατεῖν ἐλπίδων. Οὐιτελλίῳ δὲ 647
Πρίμου μὲν ἐλάττων φροντὶς ἦν, τεθύμωτο δ' ἐπὶ τοὺς
συναποστάντας τῷ Σαβίνῳ, καὶ διὰ τὴν ἔμφυτον ὠμότητα
60 διψῶν αἵματος εὐγενοῦς τοῦ στρατιωτικοῦ τὴν συγκατελ-
θοῦσαν αὐτῷ δύναμιν ἐπαφίησι τῷ Καπετωλίῳ. πολλὰ μὲν 648
οὖν ἔκ τε ταύτης καὶ τῶν ἀπὸ τοῦ ἱεροῦ μαχομένων ἐτολμήθη,
τέλος δὲ τῷ πλήθει περιόντες οἱ ἀπὸ τῆς Γερμανίας ἐκράτησαν
τοῦ λόφου. καὶ Δομετιανὸς μὲν σὺν πολλοῖς τῶν ἐν τέλει 649
65 Ῥωμαίων δαιμονιώτερον διασώζεται, τὸ δὲ λοιπὸν πλῆθος
ἅπαν κατεκόπη, καὶ Σαβῖνος ἀναχθεὶς ἐπὶ Οὐιτέλλιον ἀναι-
ρεῖται, διαρπάσαντές τε οἱ στρατιῶται τὰ ἀναθήματα τὸν
ναὸν ἐνέπρησαν. καὶ μετὰ μίαν ἡμέραν εἰσελαύνει μὲν 650
Ἀντώνιος μετὰ τῆς δυνάμεως, ὑπήντων δ' οἱ Οὐιτελλίου
70 καὶ τριχῇ κατὰ τὴν πόλιν συμβαλόντες ἀπώλοντο πάντες.
προέρχεται δὲ μεθύων ἐκ τοῦ βασιλείου Οὐιτέλλιος καὶ 651
δαψιλέστερον ὥσπερ ἐν ἐσχάτοις τῆς ἀσώτου τραπέζης κεκο-
ρεσμένος. συρεὶς δὲ διὰ τοῦ πλήθους καὶ παντοδαπαῖς αἰκίαις 652
ἐξυβρισθεὶς ἐπὶ μέσης τῆς Ῥώμης ἀποσφάττεται, μῆνας
75 ὀκτὼ κρατήσας καὶ ἡμέρας πέντε, ὃν εἰ συνέβη πλείω βιῶσαι
χρόνον, ἐπιλιπεῖν ἂν αὐτοῦ τῇ λαγνείᾳ τὴν ἡγεμονίαν οἶμαι.
τῶν δ' ἄλλων νεκρῶν ὑπὲρ πέντε μυριάδας ἠριθμήθησαν. 653
ταῦτα μὲν τρίτῃ μηνὸς Ἀπελλαίου πέπρακτο, τῇ δ' ὑστεραίᾳ 654
Μουκιανὸς εἴσεισι μετὰ τῆς στρατιᾶς, καὶ τοὺς σὺν Ἀντωνίῳ
80 παύσας τοῦ κτείνειν, ἔτι γὰρ ἐξερευνώμενοι τὰς οἰκίας πολ-
λοὺς μὲν τῶν Οὐιτελλίου στρατιωτῶν πολλοὺς δὲ τῶν δη-
μοτικῶν ὡς ἐκείνου ἀνῄρουν, φθάνοντες τῷ θυμῷ τὴν ἀκριβῆ
διάκρισιν, προαγαγὼν δὲ τὸν Δομετιανὸν συνίστησι τῷ

56. προσεγένοντο: προσετένοντο P 58. ἐλάττων: ἐλάττω PLVR | τεθύμωτο: τεθυμωμένος L Lat fortasse recte 64. μὲν Bekker δὲ codd. 68. ἐνέπρησαν: ἐμπιπρῶσι RC ἐμπιμπρῶσι V 76. ἐπιλιπεῖν: ἐπιλειπεῖν PALC | ἂν: om. PAMVRC 77. μυριάδας: μυριάδες PML 79. στρατιᾶς: στρατείας PA 80. ἐξερευνώμενοι: ἐξερευνώμενος PA[1] 83. διάκρισιν: διάγνωσιν VRC | προαγαγὼν δὲ: προάγων A καὶ προαγαγὼν VC καὶ προσαγαγὼν R

raggiunsero molti dei nobili e anche Domiziano, il figlio del fratello, su cui poggiavano le maggiori speranze di vittoria[6]. Vitellio si dava meno pensiero di Primo, mentre era infuriato 647 con i ribelli che avevano raggiunto Sabino, e per la sua naturale ferocia assetato di sangue nobile scatenò contro il Campidoglio la soldataglia che era calata con lui dalla Germania. Questa, come pure gli avversari che si difendevano dall'alto 648 del tempio, compirono molti atti di valore; alla fine le milizie di Germania ebbero il sopravvento per il loro numero e s'impadronirono del colle. Domiziano assieme a molti illustri per- 649 sonaggi romani riuscí miracolosamente a porsi in salvo, ma tutti gli altri furono sterminati, tra cui Sabino che venne trascinato dinanzi a Vitellio e passato per le armi; poi i soldati saccheggiarono i doni votivi e appiccarono il fuoco al tempio[7]. Un sol giorno dopo arrivava Antonio col suo esercito; 650 i vitelliani lo affrontarono in tre parti della città[8], ma perirono fino all'ultimo uomo. Allora venne fuori dal palazzo Vitellio, 651 ubriaco e rimpinzato di cibo piú del solito perché sapeva che la fine era prossima. Trascinato dalla folla e fatto segno a 652 ogni sorta di sfregi, alla fine venne scannato per le vie di Roma, dopo otto mesi e cinque giorni di regno[9]: se avesse continuato a vivere ancora un poco, credo che l'impero non sarebbe bastato a saziare le sue voglie. Si contarono com- 653 plessivamente piú di cinquantamila morti. Questi fatti avven- 654 nero il terzo giorno del mese di Apelleo. L'indomani Muciano entrò in città alla testa delle sue truppe e mise fine alle stragi consumate dagli uomini di Antonio, che ancora rovistavano nelle case uccidendo molti soldati di Vitellio e, insieme, molti cittadini come suoi partigiani, ma la furia non dava tempo per un'attenta discriminazione. Poi accompagnò nel foro Domiziano e lo raccomandò al popolo come suo capo fino al-

πλήθει μέχρι τῆς τοῦ πατρὸς ἀφίξεως ἡγεμόνα. ὁ δὲ δῆμος 655
85 ἀπηλλαγμένος ἤδη τῶν φόβων αὐτοκράτορα Οὐεσπασιανὸν
εὐφήμει, καὶ ἅμα τήν τε τούτου βεβαίωσιν ἑώρταζε καὶ
τὴν Οὐιτελλίου κατάλυσιν.

11, 5. εἰς δὲ τὴν Ἀλεξάνδρειαν ἀφιγμένῳ τῷ Οὐεσπα- 656
σιανῷ τὰ ἀπὸ τῆς Ῥώμης εὐαγγέλια ἧκε καὶ πρέσβεις ἐκ
90 πάσης τῆς ἰδίας οἰκουμένης συνηδόμενοι· μεγίστη τε οὖσα
μετὰ τὴν Ῥώμην ἡ πόλις στενοτέρα τοῦ πλήθους ἠλέγχετο.
κεκυρωμένης δὲ ἤδη τῆς ἀρχῆς ἁπάσης καὶ σεσωσμένων 657
παρ' ἐλπίδα Ῥωμαίοις τῶν πραγμάτων Οὐεσπασιανὸς ἐπὶ
τὰ λείψανα τῆς Ἰουδαίας τὸν λογισμὸν ἐπέστρεφεν. αὐτὸς 658
95 μέντοι γε εἰς τὴν Ῥώμην ὥρμητο λήξαντος τοῦ χειμῶνος
ἀνάγεσθαι καὶ τάχος τὰ κατὰ τὴν Ἀλεξάνδρειαν διῴκει,
τὸν δὲ υἱὸν Τίτον μετὰ τῆς ἐκκρίτου δυνάμεως ἀπέστειλεν
ἐξαιρήσοντα τὰ Ἱεροσόλυμα. ὁ δὲ προελθὼν πεζῇ μέχρι 659
Νικοπόλεως, εἴκοσι δ' αὕτη διέχει τῆς Ἀλεξανδρείας στα-
100 δίους, κἀκεῖθεν ἐπιβήσας τὴν στρατιὰν μακρῶν πλοίων 660
ἀναπλεῖ διὰ τοῦ Νείλου κατὰ τὸν Μενδήσιον νομὸν μέχρι
πόλεως Θμούεως. ἐκεῖθεν δ' ἀποβὰς ὁδεύει καὶ κατὰ πο-
λίχνην τινὰ Τάνιν αὐλίζεται. δεύτερος αὐτῷ σταθμὸς Ἡρα-
κλέους πόλις καὶ τρίτος Πηλούσιον γίνεται. δυσὶ δ' ἡμέραις 661
105 ἐνταῦθα τὴν στρατιὰν ἀναλαβὼν τῇ τρίτῃ διέξεισι τὰς
ἐμβολὰς τοῦ Πηλουσίου, καὶ προελθὼν σταθμὸν ἕνα διὰ
τῆς ἐρήμου πρὸς τῷ τοῦ Κασίου Διὸς ἱερῷ στρατοπεδεύεται,
τῇ δ' ὑστεραίᾳ κατὰ τὴν Ὀστρακίνην· οὗτος ὁ σταθμὸς
ἦν ἄνυδρος, ἐπεισάκτοις δὲ ὕδασιν οἱ ἐπιχώριοι χρῶνται.
110 μετὰ ταῦτα πρὸς Ῥινοκορούροις ἀναπαύεται, κἀκεῖθεν εἰς 662
Ῥάφειαν προελθὼν σταθμὸν τέταρτον, ἔστι δ' ἡ πόλις

91. στενοτέρα: στεντέρα τότε L στενοστερα C 95. γε: om. PAMVRC | λήξαντος: λήξαντος δὲ PAM 96. ἀνάγεσθαι: ἀνάγεσθαι ἔσπευδε M 98. προελθὼν: προσελθὼν PL 100. στρατιὰν: στρατείαν PA 101. κατὰ: μετὰ PAMVRC 103. τινὰ: om. PA 107. Κασίου: κασσίου PAMVR 111. Ῥάφειαν: ῥαφίαν PAVR | προελθὼν: προσελθὼν L[1]VRC

l'arrivo del padre. Il popolo, ormai liberato dal terrore, ac- 655
clamò Vespasiano imperatore e celebrò con la medesima festa
sia la sua elezione sia la fine di Vitellio.

11, 5. Arrivato ad Alessandria, Vespasiano fu raggiunto 656
dalle buone notizie di Roma e da ambascerie che venivano a
congratularsi con lui da ogni parte del mondo, che ora era
diventato suo; la città, sebbene sia la piú grande del mondo
dopo Roma, risultò troppo piccola per tanta moltitudine.
Una volta restituita la sicurezza a tutto l'impero, e salvato 657
lo stato romano contro ogni speranza, Vespasiano portò la
sua attenzione su ciò che rimaneva della Giudea. Egli era 658
ansioso di salpare per Roma appena fosse finito l'inverno[10],
e perciò sistemò rapidamente le cose in Alessandria, mentre
spediva il figlio Tito con forze scelte a conquistare Gerusa-
lemme. Tito si trasferí[11] per via di terra a Nicopoli, che dista 659
venti stadi da Alessandria, e di lí, imbarcato l'esercito su navi
da guerra, risalí il corso del Nilo attraverso il distretto di
Mendes fino alla città di Thmuis[12]. Sbarcato l'esercito pro- 660
seguí a piedi fino ad accamparsi nei pressi della cittadina di
Tanis. La seconda tappa fu Eracleopoli, la terza Pelusio. Fatto 661
qui riposare per due giorni l'esercito, l'indomani oltrepassò
le foci del Nilo a Pelusio[13] e, dopo un giorno di marcia at-
traverso il deserto, pose l'accampamento presso il santuario
di Giove Casio, donde il giorno appresso raggiunse Ostra-
cina[14]. Questa era una località sprovvista d'acqua, e gli indi-
geni debbono far uso di acqua appositamente importata. La 662
tappa successiva per riposarsi fu Rinocorura[15], donde poi pro-
seguí per la quarta tappa, Rafia[16], situata dove comincia la

αὕτη Συρίας ἀρχή, τὸ πέμπτον ἐν Γάζῃ τίθεται στρατό-
πεδον, μεθ' ἣν εἰς 'Ασκάλωνα κἀκεῖθεν εἰς 'Ιάμνειαν, 663
ἔπειτα εἰς 'Ιόππην κἀξ 'Ιόππης εἰς Καισάρειαν ἀφικνεῖται
115 διεγνωκὼς αὐτόθι τὰς ἄλλας δυνάμεις ἀθροίζειν.

112. Συρίας: τῆς συρίας L

Siria; la quinta tappa per accamparsi fu Gaza[17], e dopo si tra- 663
sferí successivamente ad Ascalona, a Iamnia, poi a Ioppe, e da
Ioppe arrivò a Cesarea, il luogo da lui stabilito per la radu-
nata delle altre forze.

www.scribd.com/Cultura_in_Ita5

ΒΙΒΛΙΟΝ Ε′

1, 1. Ὁ μὲν Τίτος ὃν προειρήκαμεν τρόπον διοδεύσας τὴν ὑπὲρ Αἰγύπτου μέχρι Συρίας ἐρημίαν εἰς Καισάρειαν παρῆν, ταύτῃ διεγνωκὼς προσυντάξασθαι τὰς δυνάμεις. ἔτι δ' αὐτοῦ κατὰ τὴν Ἀλεξάνδρειαν συγκαθισταμένου τῷ πατρὶ τὴν ἡγεμονίαν νέον αὐτοῖς ἐγκεχειρισμένην ὑπὸ τοῦ θεοῦ, συνέβη καὶ τὴν ἐν τοῖς Ἱεροσολύμοις στάσιν ἀνακμάσασαν τριμερῆ γενέσθαι καὶ καθ' αὑτοῦ θάτερον ἐπιστρέψαι μέρος, ὅπερ ἄν τις ὡς ἐν κακοῖς ἀγαθὸν εἴποι καὶ δίκης ἔργον. ἡ μὲν γὰρ κατὰ τοῦ δήμου τῶν ζηλωτῶν ἐπίθεσις, ἥπερ κατῆρξεν ἁλώσεως τῇ πόλει, προδεδήλωται μετὰ ἀκριβείας ὅθεν τε ἔφυ καὶ πρὸς ὅσον κακῶν ἀνηυξήθη· ταύτην δ' οὐκ ἂν ἁμάρτοι τις εἰπὼν στάσει στάσιν ἐγγενέσθαι, καὶ καθάπερ θηρίον λυσσῆσαν ἐνδείᾳ τῶν ἔξωθεν ἐπὶ τὰς ἰδίας ἤδη σάρκας ὁρμᾶν.

1, 2. Ἐλεάζαρος γὰρ ὁ τοῦ Σίμωνος, ὃς δὴ καὶ τὰ πρῶτα τοῦ δήμου τοὺς ζηλωτὰς ἀπέστησεν εἰς τὸ τέμενος, ὡς ἀγανακτῶν δῆθεν ἐπὶ τοῖς ὁσημέραι τῷ Ἰωάννῃ τολ-

Titulus: φλαυΐου ἰωσήπου ἰουδαϊκῆς ἱστορίας βιβλίον ε̄ P φλαυΐου ἰωσήπου περὶ ἁλώσεως ἰουδαϊκῆς ἱστορίας λόγος ε̄ A ἰωσήπου ἑβραίου περὶ ἁλώσεως ἰουδαϊκῆς ἱστορίας λόγος πέμπτος M τοῦ αὐτοῦ βιβλίον ε̄ L ἰωσηπου περὶ ἁλώσεως λόγος ε̄ (πεμπος R) VR φλαυουΐουΐου ἰωσήπου ἰουδαϊκῆς ἱστορίας περὶ ἁλώσεως λόγος ε′ C
1, 5. νέον: νέαν PAMLRC *super* Lat 6-7. ἀνακμάσασαν: ἀκμάσασαν AML ἐνανακμάσασαν C 11. ὅσον: ὅσων PAL | κακῶν: κακὸν MVR 11-2. ἀνηυξήθη: ηὐξήθη PM 14. ὁρμᾶν: ὁρμᾷ PAMVRC 15. Ἐλεάζαρος γάρ: οὕτως ἐλεάζαρος PAMVRC

LIBRO QUINTO

1, 1. Tito, dopo aver attraversato il deserto come sopra abbiamo detto, si trasferí dall'Egitto alla Siria arrivando a Cesarea, dove aveva deciso di effettuare il concentramento delle forze. Ma mentre egli stava ancora ad Alessandria intento ad assistere il padre nella sistemazione dell'impero che da poco il dio aveva dato in loro potere, in Gerusalemme la guerra delle fazioni aveva nuovi sviluppi e diventava una lotta a tre, perché una delle due parti si rivoltava contro sé stessa: il che, trattandosi di farabutti, ben poteva dirsi che era un bene e un'opera della giustizia. L'attacco degli Zeloti contro il popolo, che segnò l'inizio della rovina della città, già si è detto sopra[1] con grande accuratezza donde ebbe origine e in quali disastri culminò; ora non sbaglierebbe chi dicesse che la nuova fu una rivolta scoppiata dal tronco della rivolta, che essa fu come una belva infuriata che, quando non ha altro da divorare, finisce per infierire contro le proprie carni.

1, 2. Infatti Eleazar figlio di Simone, colui che all'inizio aveva separato dal popolo gli Zeloti facendoli penetrare nel tempio[2], fingendo ora di essere sdegnato per le quotidiane ribalde-

www.scribd.com/Cultura_in_Ita5

mani, si aggiravano in quei paraggi celandosi gli uni dietro
gli altri. Nello stesso tempo altri, che stavano sulle mura e 111
facevano finta di essere del popolo, inneggiavano alla pace e
chiedevano aiuto e invitavano i romani a entrare promettendo
che avrebbero spalancato le porte; inoltre con alte grida sca-
gliavano pietre contro i loro come per farli allontanare dalle
porte. Costoro facevano finta di voler rientrare a viva forza 112
e di scongiurare quelli di dentro, poi ogni volta si dirigevano
verso i romani e quindi tornavano indietro dando l'impres-
sione di non sapere che fare. La loro astuzia non mancò di 113

55 στεως, ἀλλ' ὡς τοὺς μὲν ἐν χερσὶν ἔχοντες ἑτοίμους πρὸς
τιμωρίαν, τοὺς δ' ἀνοίξειν τὴν πόλιν ἐλπίζοντες, ἐχώρουν
ἐπὶ τὴν πρᾶξιν. Τίτῳ δὲ δι' ὑποψίας ἦν τὸ τῆς ἐπικλήσεως 114
παράλογον· καὶ γὰρ πρὸ μιᾶς ἡμέρας προκαλούμενος αὐ-
τοὺς ἐπὶ συμβάσεις διὰ τοῦ Ἰωσήπου μέτριον οὐδὲν εὕ-
60 ρισκε, καὶ τότε τοὺς στρατιώτας κατὰ χώραν μένειν ἐκέ-
λευσεν. ἔφθασαν δέ τινες τῶν ἐπὶ τοῖς ἔργοις προτεταγ- 115
μένων ἁρπάσαντες τὰ ὅπλα πρὸς τὰς πύλας ἐκδραμεῖν.
τούτοις οἱ μὲν ἐκβεβλῆσθαι δοκοῦντες τὸ πρῶτον ὑπεχώ- 116
ρουν, ἐπεὶ δὲ μεταξὺ τῶν τῆς πύλης ἐγίνοντο πύργων,
65 ἐκθέοντες ἐκυκλοῦντό σφας καὶ προσέκειντο κατόπιν· οἱ 117
δ' ἀπὸ τοῦ τείχους πλῆθος χερμάδων καὶ βελῶν παντοίων
ἄθρουν κατέχεαν, ὡς συχνοὺς μὲν ἀνελεῖν, τρῶσαι δὲ πλεί-
στους. ἦν γὰρ οὐ ῥᾴδιον τοῦ τείχους διαφυγεῖν τῶν κατόπιν 118
βιαζομένων, καὶ ἄλλως αἰδὼς τῆς διαμαρτίας καὶ τῶν
70 ἡγεμόνων δέος παρεκελεύετο τῷ πταίσματι προσλιπαρεῖν.
διὸ δὴ μέχρι πλείστου διαδορατιζόμενοι καὶ πολλὰς ὑπὸ 119
τῶν Ἰουδαίων λαμβάνοντες πληγάς, ἀμέλει δ' οὐκ ἐλάτ-
τους ἀντιδιδόντες, τέλος ἀνωθοῦσι τοὺς κυκλωσαμένους·
ὑποχωροῦσι δ' αὐτοῖς οἱ Ἰουδαῖοι καὶ μέχρι τῶν Ἑλένης
75 μνημείων εἵποντο βάλλοντες.

3, 4. ἔπειθ' οἱ μὲν ἀπειροκάλως ἐξυβρίζοντες εἰς τὴν 120
τύχην ἔσκωπτόν τε τοὺς Ῥωμαίους δελεασθέντας ἀπάτῃ
καὶ τοὺς θυρεοὺς ἀνασείοντες ἐσκίρτων καὶ μετὰ χαρᾶς
ἀνεβόων. τοὺς δὲ στρατιώτας ἀπειλή τε τῶν ταξιάρχων 121
80 καὶ χαλεπαίνων Καῖσαρ τούτοις ἐξεδέχετο, φάσκων ὡς
Ἰουδαῖοι μέν, οἷς ἀπόνοια μόνη στρατηγεῖ, πάντα μετὰ
προνοίας πράττουσι καὶ σκέψεως, ἐπιβουλάς τε συντάσ-
σοντες καὶ λόχους, ἕπεται δ' αὐτῶν ταῖς ἐνέδραις καὶ τύχῃ

61-2. προτεταγμένων ed. pr. προστεταγμένων PAMVRC προστεταγμένοι L 64. πύλης: πόλεως L | ἐγίνοντο: ἐγένοντο MLRC 67. ὡς: ὥστε LVRC | μὲν: om. PAM 68. διαφυγεῖν: καταφυγεῖν VRC 69-70. καὶ τῶν ἡγεμόνων: τῶν ἡγεμόνων καὶ PA[1]LVRC 74. καὶ: om. AMVRL 76. ἀπειροκάλως ἐξυβρίζοντες: ἄπειροι καλῶς ἐξύβριζον L 80. φάσκων: om. L | φάσκων ὡς: om. VRC

far presa sui soldati, che credendo di avere in pugno gli uni pronti al castigo, e sperando che gli altri avrebbero aperto le porte, si disponevano a intervenire. Tito però ebbe sospetto di quello strano invito; infatti il giorno prima era stato lui che 114 li aveva invitati a trattare per mezzo di Giuseppe[7], ma non aveva trovato il piú piccolo indizio di buona volontà; perciò diede allora ai soldati l'ordine di non muoversi da dove stavano. Ma alcuni dei soldati disposti sul davanti a protezione 115 dei lavori di sterro avevano già impugnato le armi correndo verso le porte. Quelli che prima avevano fatto finta di essere 116 stati cacciati dalla città, dapprima fuggirono dinanzi a loro, ma quando i romani furono fra le due torri che fiancheggiavano la porta, vennero fuori di corsa, li circondarono e li attaccarono alle spalle. Gli altri che stavano sulle mura sca- 117 raventarono sui malcapitati una gran quantità di pietre e proiettili d'ogni sorta sicché molti ne uccisero e moltissimi ne ferirono. Infatti non era facile allontanarsi dal muro es- 118 sendo incalzati alle spalle, e per di piú lo scorno di essersi fatti giocare e il timore dei comandanti spingevano a persistere nell'errore. Perciò fu solo al termine di un lungo com- 119 battimento con le lance, dopo aver ricevuto molti colpi dai giudei, ma averne inferti non meno, che essi spezzarono alla fine l'accerchiamento. Mentre si ritiravano, i giudei li inseguirono bersagliandoli fino ai monumenti di Elena[8].

3, 4. Poi i giudei presero a insolentire volgarmente per il 120 successo riportato, deridendo i romani per essersi fatti prendere in trappola, e agitando gli scudi danzavano e lanciavano gridi di gioia. I soldati, da parte loro, furono accolti dalle 121 minacce dei comandanti, mentre Cesare, tutto infuriato, cosí li redarguiva[9]: « I giudei, che sono guidati solo dalla disperazione, fanno ogni cosa con preveggenza e circospezione quando preparano agguati e tranelli, e la fortuna arride ai loro

διὰ τὸ πειθήνιον καὶ τὴν πρὸς ἀλλήλους εὔνοιάν τε καὶ
85 πίστιν· Ῥωμαῖοι δέ, οἷς δι' εὐταξίαν καὶ τὸ πρὸς τοὺς 122
ἡγεμόνας εὐπειθὲς ἀεὶ δουλεύει καὶ τύχη, νῦν ὑπὸ τῶν
ἐναντίων πταίουσι καὶ διὰ χειρῶν ἀκρασίαν ἁλίσκονται,
τὸ πάντων αἴσχιστον, ἀστρατήγητοι μαχόμενοι παρόντος
Καίσαρος. ἦ μεγάλα μὲν στενάξειν ἔφη τοὺς τῆς στρατείας 123
90 νόμους, μεγάλα δ' αὐτοῦ τὸν πατέρα τήνδε τὴν πληγὴν
πυθόμενον, εἴ γε ὁ μὲν ἐν πολέμοις γηράσας οὐδέποτ' 124
ἔπταισεν οὕτως, οἱ νόμοι δ' ἀεὶ καὶ τοὺς βραχύ τι τῆς
τάξεως παρακινήσαντας θανάτῳ κολάζουσιν, νῦν δ' ὅλην
στρατιὰν ἑωράκασι λιποτάκτην. γνώσεσθαί γε μὴν αὐτίκα 125
95 τοὺς ἀπαυθαδισαμένους ὅτι καὶ τὸ νικᾶν παρὰ Ῥωμαίοις
δίχα παραγγέλματος ἀδοξεῖται. τοιαῦτα διατεινάμενος πρὸς 126
τοὺς ἡγεμόνας δῆλος ἦν κατὰ πάντων χρήσεσθαι τῷ νόμῳ.
καὶ οἱ μὲν παρεῖσαν τὰς ψυχὰς ὡς ὅσον οὐδέπω τεθνη-
ξόμενοι δικαίως, περιχυθέντα δὲ τὰ τάγματα τῷ Τίτῳ 127
100 περὶ τῶν συστρατιωτῶν ἱκέτευε καὶ τὴν ὀλίγων προπέ-
τειαν χαρίσασθαι τῇ πάντων εὐπειθείᾳ κατηντιβόλουν· ἀνα-
λήψεσθαι γὰρ τὸ παρὸν πταῖσμα ταῖς εἰς τὸ μέλλον ἀρεταῖς.

3, 5. πείθεται Καῖσαρ ἅμα ταῖς τε ἱκεσίαις καὶ τῷ 128
συμφέροντι· τὴν μὲν γὰρ καθ' ἑνὸς τιμωρίαν ᾤετο χρῆναι
105 μέχρις ἔργου προκόπτειν, τὴν δ' ἐπὶ πλήθους μέχρι λόγου.
τοῖς μὲν οὖν στρατιώταις διηλλάττετο πολλὰ νουθετήσας 129
αὖθις εἶναι φρονιμωτέρους, αὐτὸς δ' ὅπως ἀμυνεῖται τὴν
Ἰουδαίων ἐπιβουλὴν ἐσκόπει. τέσσαρσι δ' ἡμέραις ἐξισω- 130
θέντος τοῦ μέχρι τῶν τειχῶν διαστήματος, βουλόμενος μετὰ

86. νῦν: νῦν δ' PA νῦν δὲ VR   89. στρατείας: στρατιᾶς VRC   91. ἐν πολέμοις: ἐν τοῖς πολέμοις M   94. λιποτάκτην: λιποτάκτϊν A[1] λειποτάκτιν M λειποτακτεῖν LVRC   97. χρήσεσθαι Destinon χρήσασθαι PL χρῆσθαι AMVRC *erat usurus* Lat   98. παρεῖσαν: παρῆσαν ML παρείθησαν VRC | οὐδέπω: οὔπω P οὐδεπώποτε L   100. ἱκέτευε: ἐκέλευε VR   102. γάρ: γὰρ αὐτοὺς AMLVRC   104. ᾤετο: ὡστὸ LVR   107. ἀμυνεῖται: ἀμύνηται PL

piani perché sono ubbidienti, ben disposti e leali gli uni verso
gli altri. Invece i romani, che per la loro disciplina e per l'ub- 122
bidienza ai capi hanno sempre prona ai loro voleri anche la
fortuna, ora subiscono i danni dell'indisciplina e sono bat-
tuti perché non sanno tenere a freno le mani e, ciò che è piú
vergognoso, combattono senza ubbidire a un comandante
mentre in mezzo a loro è il Cesare ». Aggiunse che molto 123
avrebbero avuto a dolersi le leggi di guerra, molto suo padre
nell'apprendere di un tale rovescio: suo padre, che era in- 124
vecchiato sui campi di battaglia, non aveva mai visto un tale
disastro, mentre le leggi, che puniscono sempre con la pena
di morte quelli che si muovono anche per poco dal loro
posto, assistevano ora allo spettacolo di un intero reparto
che abbandonava la sua posizione. Ma ben presto quegli in- 125
disciplinati avrebbero imparato a loro spese che anche la vit-
toria non viene apprezzata dai romani se è frutto d'insubor-
dinazione. Da tali discorsi che faceva ai generali era chiaro 126
che Tito intendeva applicare contro tutti i rigori della legge.
E costoro persero ogni speranza, convinti che da un momento
all'altro sarebbero stati giustamente assoggettati alla pena di
morte; ma le legioni si raccolsero intorno a Tito, supplican- 127
dolo in favore dei commilitoni e pregandolo di far grazia
all'indisciplina di pochi in considerazione della ubbidienza
di tutti quanti gli altri; quelli avrebbero riscattato il presente
rovescio con i futuri atti di valore.

3, 5. Cesare annuí, sia per non respingere le suppliche, 128
sia per un giusto calcolo; egli riteneva infatti che la pena
pronunciata a carico di uno solo doveva sempre essere appli-
cata, mentre quando si trattava di parecchi colpevoli ci si do-
veva fermare alle minacce. Ai soldati, dunque, fece grazia, 129
dopo averli a lungo ammoniti di essere piú cauti in futuro,
e intanto rimuginava il modo di far pagare ai giudei il loro
tranello. Nel frattempo con quattro giorni di lavoro era stato 130
spianato il terreno fino alle mura e, volendo far sfilare senza

110 ἀσφαλείας τάς τε ἀποσκευὰς καὶ τὸ λοιπὸν πλῆθος παραγαγεῖν τὸ καρτερώτατον τῆς δυνάμεως ἀντιπαρεξέτεινεν τῷ τείχει κατὰ τὸ βόρειον κλίμα καὶ πρὸς ἑσπέραν, ἐφ' ἑπτὰ βαθύνας τὴν φάλαγγα, τῶν τε πεζῶν προτεταγμένων 131 καὶ κατόπιν τῶν ἱππέων, τριστοίχων ἑκατέρων, ἕβδομοι 115 κατὰ μέσον εἱστήκεσαν οἱ τοξόται. τοσούτῳ δὲ στίφει 132 πεφραγμένων Ἰουδαίοις τῶν ἐκδρομῶν τά τε ὑποζύγια τῶν τριῶν ταγμάτων καὶ ἡ πληθὺς ἀδεῶς παρώδευσεν. αὐτὸς μὲν οὖν Τίτος ἀπέχων ὅσον εἰς σταδίους δύο τοῦ 133 τείχους κατὰ τὸ γωνιαῖον αὐτοῦ μέρος ἀντικρὺ τοῦ καλου- 120 μένου Ψηφίνου πύργου στρατοπεδεύεται, πρὸς ὃν ὁ κύκλος τοῦ τείχους ἀπ' ἄρκτων καθήκων ἀνακάμπτει πρὸς δύσιν· ἡ δ' ἑτέρα μοῖρα τῆς στρατιᾶς κατὰ τὸν Ἱππικὸν προσα- 134 γορευθέντα πύργον τειχίζεται διεστῶσα τῆς πόλεως ὁμοίως δύο σταδίους. τὸ μέντοι δέκατον τάγμα κατὰ χώραν ἐπὶ 135 125 τοῦ Ἐλαιῶν ὄρους ἔμενε.

4, 1. τρισὶ δ' ὠχυρωμένη τείχεσιν ἡ πόλις καθὰ μὴ 136 ταῖς ἀβάτοις φάραγξι κεκύκλωτο, ταύτῃ γὰρ εἷς ἦν περίβολος, αὐτὴ μὲν ὑπὲρ δύο λόφων ἀντιπρόσωπος ἔκτιστο μέσῃ φάραγγι διῃρημένων, εἰς ἣν ἐπάλληλοι κατέληγον 5 αἱ οἰκίαι. τῶν δὲ λόφων ὁ μὲν τὴν ἄνω πόλιν ἔχων ὑψηλό- 137 τερός τε πολλῷ καὶ τὸ μῆκος ἰθύτερος ἦν· διὰ γοῦν τὴν ὀχυρότητα φρούριον μὲν ὑπὸ Δαυίδου τοῦ βασιλέως ἐκαλεῖτο, πατὴρ Σολομῶνος ἦν οὗτος τοῦ πρώτου τὸν ναὸν κτίσαντος, ἡ ἄνω δὲ ἀγορὰ πρὸς ἡμῶν· ἅτερος δ' ὁ καλού- 10 μενος Ἄκρα καὶ τὴν κάτω πόλιν ὑφεστὼς ἀμφίκυρτος. τούτου δ' ἄντικρυς τρίτος ἦν λόφος, ταπεινότερός τε φύσει 138

110-1. παραγαγεῖν: παράγειν PA 113. φάλαγγα: φάραγγα M Lat 116. πεφραγμένων: περιφραγμένων L *circumclusis* Lat 121. ἀπ' ἄρκτων Destinon ἀπάρκτον P ἀπ' ἄρκτου AML πρὸς ἄρκτον VRC 125. ὄρους: καλουμένου ὄρους PAMVRC

4, 1. καθὰ: καθ' ἣν PAM 2. φάραγξι κεκύκλωτο: φάραγξιν ἐκύκλωτο PA[1]VRC φάραγξιν ἐκυκλοῦτο L 3. αὐτὴ: αὔτη PAMC 8. τοῦ πρώτου τὸν ναὸν: τοῦ τὸν πρῶτον ναὸν P

pericoli le salmerie e tutti gli altri servizi, Tito schierò il meglio delle sue forze di fronte al settore settentrionale e occidentale delle mura: tale schieramento era su sette file, davanti 131 i fanti e dietro i cavalieri, gli uni e gli altri su tre file; in mezzo stavano i frombolieri, che costituivano la settima fila[10]. Avendo con tali forze precluso ai giudei la possibilità di una 132 sortita, i carriaggi delle tre legioni e la massa degli addetti poterono transitare senza disturbo. Quindi Tito andò ad ac- 133 camparsi a circa due stadi di distanza dal muro, sull'angolo dove questo piega da settentrione verso occidente, dirimpetto alla torre chiamata Psefino. L'altra parte dell'esercito si ac- 134 campò dirimpetto alla torre chiamata Ippico, anch'essa a due stadi dalla città[11]. La decima legione continuò a restare ac- 135 campata sul Monte degli Ulivi.

4, 1. Gerusalemme era protetta da una triplice cinta di 136 mura, eccetto nella parte che affaccia su strapiombi impraticabili, dove il muro era uno solo[1]. La città era costruita su due colline che si fronteggiano separate da una valle frapposta verso cui le case degradavano l'una dopo l'altra. Delle due 137 colline quella che formava la città alta era notevolmente piú elevata e aveva sulla sommità una spianata piú ampia; per la sua forte posizione essa ebbe appunto il nome di fortezza dal re David, il padre di Salomone che fu il primo a costruire il tempio, mentre noi la designiamo col nome di piazza superiore. La seconda collina è quella che si chiama Akra e che formava la città bassa con la sua forma ricurva alle estremità[2]. Di fronte a questa v'era una terza collina, originariamente 138

τῆς Ἄκρας καὶ πλατείᾳ φάραγγι διειργόμενος ἄλλῃ πρό-
τερον· αὖθίς γε μὴν καθ' οὓς οἱ Ἀσαμωναῖοι χρόνους 139
ἐβασίλευον τήν τε φάραγγα ἔχωσαν, συνάψαι βουλόμενοι
15 τῷ ἱερῷ τὴν πόλιν, καὶ τῆς Ἄκρας κατεργασάμενοι τὸ
ὕψος ἐποίησαν χθαμαλώτερον, ὡς ὑπερφαίνοιτο καὶ ταύτῃ
τὸ ἱερόν. ἡ δὲ τῶν τυροποιῶν προσαγορευομένη φάραγξ, 140
ἣν ἔφαμεν τόν τε τῆς ἄνω πόλεως καὶ τὸν κάτω λόφον
διαστέλλειν, καθήκει μέχρι Σιλωᾶς· οὕτω γὰρ τὴν πηγὴν
20 γλυκεῖάν τε καὶ πολλὴν οὖσαν ἐκαλοῦμεν. ἔξωθεν δ' οἱ 141
τῆς πόλεως δύο λόφοι βαθείαις φάραγξιν περιείχοντο, καὶ
διὰ τοὺς ἑκατέρωθεν κρημνοὺς προσιτὸν οὐδαμόθεν ἦν.

4, 2. τῶν δὲ τριῶν τειχῶν τὸ μὲν ἀρχαῖον διά τε τὰς 142
φάραγγας καὶ τὸν ὑπὲρ τούτων λόφον, ἐφ' οὗ κατεσκεύαστο,
25 δυσάλωτον ἦν· πρὸς δὲ τῷ πλεονεκτήματι τοῦ τόπου καὶ 143
καρτερῶς ἐδεδόμητο, Δαυίδου τε καὶ Σολομῶνος, ἔτι δὲ
τῶν μεταξὺ τούτων βασιλέων φιλοτιμηθέντων περὶ τὸ ἔργον.
ἀρχόμενον δὲ κατὰ βορρᾶν ἀπὸ τοῦ Ἱππικοῦ καλουμένου 144
πύργου καὶ διατεῖνον ἐπὶ τὸν ξυστόν, ἔπειτα τῇ βουλῇ
30 συνάπτον ἐπὶ τὴν ἑσπέριον τοῦ ἱεροῦ στοὰν ἀπηρτίζετο.
κατὰ θάτερα δὲ πρὸς δύσιν, ἀπὸ ταὐτοῦ μὲν ἀρχόμενον, 145
διὰ δὲ τοῦ Βηθσὼ καλουμένου χώρου κατατεῖνον ἐπὶ τὴν
Ἐσσηνῶν πύλην, κἄπειτα πρὸς νότον ὑπὲρ τὴν Σιλωὰν
ἐπιστρέφον πηγήν, ἔνθεν τε πάλιν ἐκκλῖνον πρὸς ἀνατολὴν
35 ἐπὶ τὴν Σολομῶνος κολυμβήθραν καὶ διῆκον μέχρι χώρου
τινός, ὃν καλοῦσιν Ὀφλᾶν, τῇ πρὸς ἀνατολὴν στοᾷ τοῦ
ἱεροῦ συνῆπτε. τὸ δὲ δεύτερον τὴν μὲν ἀρχὴν ἀπὸ πύλης 146
εἶχεν, ἣν Γεννὰθ ἐκάλουν τοῦ πρώτου τείχους οὖσαν, κυ-
κλούμενον δὲ τὸ προσάρκτιον κλίμα μόνον ἀνῄει μέχρι τῆς

14. ἔχωσαν: ἔχων L 16. ταύτῃ: ταύτης C fortasse recte 17. τυροποιῶν: πυροποιῶν A 19. οὕτω: οὕτως L 26. ἐδεδόμητο: ἐδεδώμητο A ἐνδεδώμητο PL ἐνδεδόμητο VR 29. ξυστόν: ξυστὸν καλούμενον M ξυστὸν λεγόμενον LVRC 31. ταὐτοῦ: τούτου L τοῦ αὐτοῦ MVRC | ἀρχόμενον: ἀρχόμενον πύργου VR ἀρχομενου πύργου C 32. Βηθσὼ: βηθσῶ LC βησοῦ PA *betiso* Lat 36. Ὀφλᾶν Hudson ὀφλάς PA ὀφλᾶς MVRC ὀφλὰμ L 38. Γεννάθ: γενάθ PC γενναθὴν L 39. ἀνῄει: ἀνείη PA ἀνίει VRC

piú bassa dell'Akra, da cui in antico era separata da un altro
ampio vallone. Piú tardi, durante il loro regno, gli Asmonei 139
colmarono tale vallone, volendo congiungere la città col tem-
pio, e insieme fecero sbassare la sommità dell'Akra, sí che
pure su di essa sovrastasse la mole del tempio[3]. La valle dei 140
Caciari[4], che abbiamo detto è interposta fra la città alta e la
città bassa, arriva fino alla Siloa, come appunto chiamavamo
quella fonte ricchissima di acqua dolce[5]. Le due colline della 141
città terminavano all'esterno in strapiombi profondi, e per i
dirupi su entrambi i lati non v'era possibilità di accesso.

4, 2. Il piú antico dei tre muri era imprendibile a causa 142
degli strapiombi e dell'altura su cui era stato innalzato; oltre 143
al vantaggio della posizione naturale era stato costruito soli-
damente, e non solo Davide e Salomone, ma anche i loro suc-
cessori vi avevano dedicato le loro cure. Cominciando a nord 144
dalla torre chiamata Ippico si protendeva fino al Xisto, poi
raggiungeva il palazzo del consiglio e terminava al portico
occidentale del tempio. Dall'altra parte, cominciando dallo 145
stesso punto e guardando a occidente, il muro correva attra-
verso la località chiamata Bethso fino alla Porta degli Esseni,
poi si distendeva a sud fino ad avvolgere la fonte Siloa
donde, volgendo ancora ad est verso la Vasca di Salomone
e, superata una località chiamata Ophel, raggiungeva il por-
tico orientale del tempio[6]. Il secondo muro cominciava dalla 146
porta nel primo muro che si chiamava Gennath[7] e, cingendo
solo la parte settentrionale della città, arrivava fino all'Antonia.

40 Ἀντωνίας. τῷ τρίτῳ δ' ἀρχὴ ἦν ὁ Ἱππικὸς πύργος, ὅθεν 147
μέχρι τοῦ βορείου κλίματος κατατεῖνον ἐπὶ τὸν Ψήφινον
πύργον, ἔπειτα καθῆκον ἀντικρὺ τῶν Ἑλένης μνημείων,
Ἀδιαβηνὴ βασιλὶς ἦν αὕτη Ἰζάτου βασιλέως θυγάτηρ,
καὶ διὰ σπηλαίων βασιλικῶν μηκυνόμενον ἐκάμπτετο μὲν
45 γωνιαίῳ πύργῳ κατὰ τὸ τοῦ Γναφέως προσαγορευόμενον
μνῆμα, τῷ δ' ἀρχαίῳ περιβόλῳ συνάπτον εἰς τὴν Κεδρῶνα
καλουμένην φάραγγα κατέληγεν. τοῦτο τῇ προσκτισθείσῃ 148
πόλει περιέθηκεν Ἀγρίππας, ἥπερ ἦν πᾶσα γυμνή· πλήθει
γὰρ ὑπερχεομένη κατὰ μικρὸν ἐξεῖρπε τῶν περιβόλων. καὶ 149
50 τοῦ ἱεροῦ τὰ προσάρκτια πρὸς τῷ λόφῳ συμπολίζοντες ἐπ'
οὐκ ὀλίγον προῆλθον καὶ τέταρτον περιοικηθῆναι λόφον,
ὃς καλεῖται Βεζεθά, κείμενος μὲν ἀντικρὺ τῆς Ἀντωνίας,
ἀποτεμνόμενος δ' ὀρύγματι βαθεῖ· διεταφρεύθη γὰρ ἐπί- 150
τηδες, ὡς μὴ τῷ λόφῳ συνάπτοντες οἱ θεμέλιοι τῆς Ἀν-
55 τωνίας εὐπρόσιτοί τε εἶεν καὶ ἧττον ὑψηλοί· διὸ δὴ καὶ 151
πλεῖστον ὕψος τοῖς πύργοις προσεδίδου τὸ βάθος τῆς τάφρου.
ἐκλήθη δ' ἐπιχωρίως Βεζεθὰ τὸ νεόκτιστον μέρος, ὃ μεθερ-
μηνευόμενον Ἑλλάδι γλώσσῃ καινὴ λέγοιτ' ἂν πόλις.
δεομένων οὖν τῶν ταύτῃ σκέπης ὁ πατὴρ τοῦ νῦν βασι- 152
60 λέως καὶ ὁμώνυμος Ἀγρίππας ἄρχεται μὲν οὗ προείπομεν
τείχους, δείσας δὲ Κλαύδιον Καίσαρα, μὴ τὸ μέγεθος τῆς
κατασκευῆς ἐπὶ νεωτερισμῷ πραγμάτων ὑπονοήσῃ καὶ στά-
σεως, παύεται θεμελίους μόνον βαλόμενος. καὶ γὰρ οὐδ' 153
ἂν ἦν ἁλώσιμος ἡ πόλις, εἰ προὔκοπτε τὸ τεῖχος ὡς ἤρξατο·
65 λίθοις μὲν γὰρ εἰκοσαπήχεσι τὸ μῆκος καὶ τὸ εὖρος δεκα-
πήχεσι συνηρμόζετο, μήθ' ὑπορυγῆναι σιδήρῳ ῥᾳδίως μήθ'
ὑπ' ὀργάνοις διασεισθῆναι δυνάμενον, δέκα δὲ πήχεις αὐτὸ 154

43. αὕτη: αὐτῇ C om. L | Ἰζάτου Niese ἰαζὰ τοῦ PAM ἀζᾶ τοῦ L ἰζᾶ τοῦ V ἰζᾶ τοῦ R ἰζᾶ τοῦ C 46. περιβόλῳ συνάπτον: περισυνάπτων P περισυνάπτον A | συνάπτον: συνάπτων LVRC 51. καὶ: ὡς καὶ M 59. τῶν ταύτῃ: ταύτης PA τῶν ἐν αὐτῇ L 62. ὑπονοήσῃ: ὑπονοήσει PARC 65. γὰρ: γε VRC 66. συνηρμόζετο: συνηρμόζοντο L 67. δυνάμενον: δυναμένοις VRC | αὐτὸ: αὐτῷ καὶ P αὐτὸ καὶ A αὐτῷ M

147 Il terzo muro[8] cominciava dalla torre Ippico, donde si protendeva a nord verso la torre Psefino per poi correre di fronte ai monumenti di Elena (questa era la regina dell'Adiabene, figlia del re Izate) e, allungandosi dietro alle caverne reali, ripiegava alla torre angolare verso il monumento detto del Cardatore e terminava congiungendosi col muro antico nella vallata chiamata Cedron. 148 Questo muro fu costruito dal re Agrippa per proteggere le parti che si erano aggiunte alla città e che erano tutte indifese; infatti la città per il grande aumento della popolazione un po' alla volta si era allargata fuori delle mura. 149 Gli abitanti, congiungendo con le loro case la zona a nord del tempio con l'antistante collina, si spinsero cosí avanti da popolare una quarta collina, che si chiama Bezetha ed è situata dirimpetto all'Antonia, da cui la separa un profondo vallone; 150 quest'ultimo venne scavato appositamente affinché le fondamenta dell'Antonia, congiungendosi con la collina, non fossero facilmente accessibili e meno elevate; 151 e cosí grandissima altezza acquistarono le torri per la profondità dello scavo. Questo nuovo quartiere nella lingua del posto venne chiamato Bezetha, che tradotto in greco vorrebbe dire Città Nuova[9]. 152 Agrippa, l'omonimo padre dell'attuale re, vedendo che gli abitanti di tale quartiere erano privi di difesa, cominciò a costruire il muro che sopra abbiamo detto, ma poi ebbe timore che Claudio Cesare per la grandezza dell'opera lo sospettasse di propositi di ribellione e abbandonò i lavori dopo aver solo gettato le fondamenta[10]. 153 E in realtà, se il muro fosse stato completato come era stato cominciato, la città sarebbe diventata imprendibile; infatti era costruito con blocchi di pietra della lunghezza di venti cubiti e della larghezza di dieci, sí che non sarebbe stato possibile scalzarlo agevolmente con leve di ferro o scuoterlo con macchine d'assedio; 154 il muro, poi, aveva uno spessore di dieci

τὸ τεῖχος ἐπλατύνετο, καὶ τὸ ὕψος πλεῖον μὲν ἄν, ὡς εἰκός,
ἔσχε μὴ διακωλυθείσης τῆς τοῦ καταρξαμένου φιλοτιμίας.
70 αὖθις δὲ καίτοι μετὰ σπουδῆς ἐγειρόμενον ὑπὸ Ἰουδαίων 155
εἰς εἴκοσι πήχεις ἀνέστη, καὶ διπήχεις μὲν τὰς ἐπάλξεις,
τριπήχεις δὲ τοὺς προμαχῶνας εἶχεν, ὡς τὸ πᾶν ὕψος εἰς
εἰκοσιπέντε πήχεις ἀνατετάσθαι.

4, 3. τοῦ δὲ τείχους ὑπερεῖχον οἱ πύργοι πήχεις εἴκοσι 156
75 μὲν εἰς εὖρος, εἴκοσι δὲ εἰς ὕψος, τετράγωνοί τε καὶ πλή-
ρεις ὥσπερ αὐτὸ τὸ τεῖχος ὄντες· ἥ γε μὴν ἁρμονία καὶ
τὸ κάλλος τῶν λίθων οὐδὲν ἀπέδει ναοῦ. μετὰ δὲ τὸ ναστὸν 157
ὕψος τῶν πύργων, ὅπερ ἦν εἰκοσάπηχυ, πολυτελεῖς ἦσαν
οἶκοι, καὶ καθύπερθεν ὑπερῷα, δεξαμεναί τε πρὸς τὰς τῶν
80 ὑετῶν ὑποδοχάς, ἕλικές τε καὶ πλατεῖαι καθ' ἕκαστον
ἄνοδοι. τοιούτους μὲν οὖν πύργους τὸ τρίτον τεῖχος εἶχεν 158
ἐνενήκοντα, τὰ μεταπύργια δὲ τούτων ἀνὰ πήχεις διακοσίους·
τὸ δ' αὖ μέσον εἰς τέσσαρας καὶ δέκα πύργους, τὸ δ' ἀρχαῖον
εἰς ἑξήκοντα μεμέριστο. τῆς πόλεως δ' ὁ πᾶς κύκλος στα- 159
85 δίων ἦν τριακοντατριῶν. θαυμασίου δ' ὄντος ὅλου τοῦ
τρίτου τείχους θαυμασιώτερος ἀνεῖχε κατὰ γωνίαν βόρειός
τε καὶ πρὸς δύσιν ὁ Ψήφινος πύργος, καθ' ὃν ἐστρατο-
πεδεύσατο Τίτος. ἐπὶ γὰρ ἑβδομήκοντα πήχεις ὑψηλὸς ὢν 160
Ἀραβίαν τε ἀνίσχοντος ἡλίου παρεῖχεν ἀφορᾶν καὶ μέχρι
90 θαλάττης τὰ τῆς Ἑβραίων κληρουχίας ἔσχατα· ὀκτάγωνος
δ' ἦν. τούτου δ' ἄντικρυς ὁ Ἱππικὸς καὶ παρ' αὐτὸν δύο 161
κατεσκευάσθησαν μὲν ὑφ' Ἡρώδου βασιλέως ἐν τῷ ἀρχαίῳ
τείχει, μέγεθος δὲ καὶ κάλλος ἦσαν καὶ ὀχυρότητα τῶν
κατὰ τὴν οἰκουμένην διάφοροι· πρὸς γὰρ τῷ φύσει μεγαλο- 162
95 ψύχῳ καὶ τῇ περὶ τὴν πόλιν φιλοτιμίᾳ τὴν ὑπεροχὴν τῶν
ἔργων ὁ βασιλεὺς πάθεσιν οἰκείοις ἐχαρίζετο, καὶ τρισὶ
τοῖς ἡδίστοις προσώποις, ἀφ' ὧν ὠνόμασε τοὺς πύργους,
ἀδελφῷ καὶ φίλῳ καὶ γυναικί, τὴν μνήμην ἀνέθηκε, τὴν

76. αὐτὸ τὸ τεῖχος: αὐτοτεῖχος PA   80. ἕλικές τε καὶ πλατεῖαι Desstinon ἕλικές τε πλατεῖαι καὶ PAM ἐκεῖ πλεῖσται καὶ πλατεῖαι LVRC   90. τά: καὶ τά L Lat
93. δὲ: τε VRC

cubiti, e la sua altezza sarebbe stata ancora maggiore, se il suo
costruttore non fosse stato costretto a ridimensionare i suoi
progetti. Piú tardi, sebbene sopraelevato in tutta fretta dai 155
giudei, raggiunse l'altezza di venti cubiti, con in piú merli
di due cubiti[11] e propugnacoli di tre cubiti, sí che l'altezza
raggiunse complessivamente i venticinque cubiti.

4, 3. Al di sopra del muro si elevavano le torri, di venti 156
cubiti di altezza per venti di larghezza, quadrangolari e mas-
sicce come il muro stesso; la connessione e la bellezza dei
blocchi erano degne di un tempio. Al di sopra della parte 157
massiccia delle torri, alta venti piedi, vi erano delle magnifiche
stanze per abitazione, e sopra ancora dei vani destinati a con-
tenere le acque piovane, con ampie scale a chiocciola di ac-
cesso. Di simili torri il terzo muro ne aveva novanta, disposte 158
a un intervallo di duecento cubiti. Nel muro di mezzo erano
inserite quattordici torri, in quello antico sessanta. L'intero
circuito della città misurava trentatré stadi[12]. Ma se tutto il 159
terzo muro si presentava come un capolavoro, ancor piú lo
era la torre Psefino[13], che sorgeva all'angolo nord-occidentale
della cinta, di fronte al luogo dove Tito aveva posto il suo
accampamento. Infatti essa era alta settanta cubiti, e di lassú 160
al sorgere del sole si poteva spingere lo sguardo all'Arabia e
agli estremi confini del territorio dei giudei fino al mare; era
a pianta ottagonale. Dirimpetto s'innalzava la torre Ippico e 161
non lungi altre due, inserite tutte e tre nel muro antico dal re
Erode: per l'imponenza, la bellezza e la solidità non c'era al
mondo nulla di paragonabile. Infatti, oltre che per la sua na- 162
turale magnificenza e per l'orgoglioso attaccamento verso la
città, il re fece costruire queste opere cosí maestose per asse-
condare l'impulso del cuore, dedicandole alla memoria delle
tre persone che gli erano state piú care e chiamandole col loro
nome. Erano questi un fratello, un amico e la moglie; costei,

μὲν ὡς προειρήκαμεν κτείνας δι' ἔρωτα, τοὺς δ' ἀποβαλὼν
100 ἐν πολέμῳ γενναίως ἀγωνισαμένους. ὁ μὲν οὖν Ἱππικὸς 163
ἀπὸ τοῦ φίλου προσαγορευθεὶς τετράγωνος μὲν ἦν, εὖρος
δὲ καὶ μῆκος εἰκοσιπέντε πηχῶν ἕκαστον καὶ ὕψος τριά-
κοντα, οὐδαμοῦ διάκενος. ὑπὲρ δὲ τὸ πλῆρες καὶ ταῖς πέ- 164
τραις συνηνωμένον εἰς ἐκδοχὴν ὄμβρων εἰκοσάπηχυς λάκκος
105 ἦν τὸ βάθος, ἐπάνω δὲ τούτου δίστεγος οἶκος ἦν εἴκοσι 165
καὶ πέντε πηχῶν τὸ ὕψος εἰς ποικίλα τέγη διῃρημένος,
ὑπὲρ ὃν τύρσεις μὲν διπήχεις προμαχῶνες δὲ περιβέβληντο
τριπήχεις, ὡς τὸ πᾶν ὕψος εἰς ὀγδοήκοντα πήχεις συναρι-
θμεῖσθαι. ὁ δὲ δεύτερος πύργος, ὃν ὠνόμασεν ἀπὸ τἀδελ- 166
110 φοῦ Φασάηλον, τὸ μὲν πλάτος καὶ τὸ μῆκος ἴσον εἶχεν,
τεσσαράκοντα πηχῶν ἕκαστον, ἐπὶ τεσσαράκοντα δ' αὐτοῦ
τὸ ναστὸν ἦν ὕψος. ἐπάνω δὲ αὐτοῦ περιῄει στοὰ δεκά- 167
πηχυς τὸ ὕψος, θωρακίοις τε καὶ προβόλοις σκεπομένη.
μέσην δ' ὑπερῳκοδόμητο τὴν στοὰν πύργος ἕτερος, εἴς 168
115 τε οἴκους πολυτελεῖς καὶ δὴ καὶ βαλανεῖον διῃρημένος,
ὡς μηδὲν ἐνδέοι τῷ πύργῳ βασίλειον δοκεῖν. τὰ δ' ἄκρα
τοῖς προμαχῶσι καὶ ταῖς τύρσεσιν ἡ περιαυτοῦ κεκόσμητο.
πηχῶν δ' ἦν τὸ πᾶν ὕψος ὡς ἐνενήκοντα, καὶ τὸ μὲν σχῆμα 169
παρεῴκει τῷ κατὰ τὴν Φάρον ἐκπυρσεύοντι τοῖς ἐπὶ Ἀλε-
120 ξανδρείας πλέουσι, τῇ περιοχῇ δὲ πολὺ μείζων ἦν· τηνι-
καῦτά γε μὴν τυραννεῖον ἀπεδείχθη τοῦ Σίμωνος. ὁ δὲ 170
τρίτος πύργος ἡ Μαριάμμη, τοῦτο γὰρ ἡ βασιλὶς ἐκαλεῖτο,
μέχρι μὲν εἴκοσι πηχῶν ναστὸς ἦν, εἴκοσι δὲ πήχεις εἰς
εὖρος διέβαινε καὶ μῆκος ἴσον, πολυτελεστέραν δὲ καὶ 171
125 ποικιλωτέραν τῶν ἄλλων τὴν οἴκησιν εἶχεν ἐπάνω, τοῦ
βασιλέως οἰκεῖον ὑπολαβόντος τὸν ἀπὸ γυναικὸς ὀνομα-
σθέντα κεκοσμῆσθαι πλέον ἢ τοὺς ἀπ' ἀνδρῶν, ὥσπερ ἐκεί-

99. κτείνας: καὶ κτείνας AL 102. ἕκαστον: ἕκαστος LVRC 104. συνηνωμένον: συνηνομένον P συνηνωμένος MC συνηνωμένων L 105. δίστεγος: διάστεγος P 106. τέγη: τε LVRC 110. εἶχεν: εἶχον A 111-2. δ' αὐτοῦ τὸ ναστὸν ἦν ὕψος: δὲ (δ' C) ἦν τὸ ναστὸν αὐτοῦ ὕψος PAMVRC 117. τύρσεσιν ἡ περιαυτοῦ: τύρσεσι μᾶλλον ἤπερ ὁ πρὸ αὐτοῦ MLVRC: locus valde corruptus 118. δ' ἦν: δὴ PAVRC 119. τῷ: τὸ PAV[1]R

come abbiamo raccontato, l'aveva uccisa per amore, mentre gli altri due li aveva perduti in guerra dove erano morti da valorosi[14]. La torre Ippico, denominata dall'amico, era a pian- 163 ta quadrata, misurava venticinque cubiti di lunghezza e di larghezza, ed era completamente massiccia fino all'altezza di trenta cubiti. Su questa parte massiccia, formata di pietre com- 164 patte, poggiava un vano dell'altezza di venti cubiti[15] per la raccolta delle acque piovane. Sopra a questo vano erano due 165 piani abitabili per un'altezza complessiva di venticinque cubiti, con tetti di diversi colori, e al di sopra di essi un coronamento di torrette di due cubiti e di propugnacoli di tre cubiti, sí che nell'insieme l'altezza della torre raggiungeva gli ottanta cubiti. La seconda torre, che Erode chiamò Fasael 166 come il fratello, aveva la larghezza uguale alla lunghezza, quaranta cubiti ciascuna, e anche di quaranta cubiti s'innalzava la sua parte massiccia. Sopra a questa correva un portico alto 167 dieci cubiti, difeso da ripari e parapetti. Al centro del portico 168 s'innalzava un'altra torre, che racchiudeva magnifici appartamenti compreso un bagno, sí che ad essa nulla mancava per sembrare una reggia. Sulla sommità era coronata dalle torrette e dai propugnacoli. L'altezza complessiva era di circa novanta 169 cubiti, e nella forma rassomigliava alla torre che dall'isola di Faro fa luce ai naviganti diretti ad Alessandria, ma era di dimensioni molto maggiori. Allora era adibita a quartiere generale di Simone[16]. La terza torre, che si chiamava Mariamme 170 dal nome della regina, era massiccia fino all'altezza di venti cubiti, cosí come venti cubiti misuravano la sua larghezza e la sua lunghezza, ma la parte superiore abitabile era assai 171 piú sontuosa e decorata; il re infatti ritenne che la torre che portava il nome di una donna fosse piú adornata di quelle che si denominavano da uomini, allo stesso modo che queste ul-

www.scribd.com/Cultura_in_Ita5

νους τοῦ τῆς γυναικὸς ἰσχυροτέρους. τούτου τὸ πᾶν ὕψος
πεντήκοντα καὶ πέντε πηχῶν ἦν.

130 **4,** 4. τηλικοῦτοι δ' ὄντες οἱ τρεῖς τὸ μέγεθος πολὺ 172
μείζονες ἐφαίνοντο διὰ τὸν τόπον· αὐτό τε γὰρ τὸ ἀρχαῖον 173
τεῖχος, ἐν ᾧ ἦσαν, ἐφ' ὑψηλῷ λόφῳ δεδόμητο, καὶ τοῦ
λόφου καθάπερ κορυφή τις ὑψηλοτέρα προανεῖχεν εἰς τριά-
κοντα πήχεις, ὑπὲρ ἣν οἱ πύργοι κείμενοι πολὺ δή τι τοῦ
135 μετεώρου προσελάμβανον. θαυμάσιον δὲ καὶ τῶν λίθων 174
ἦν τὸ μέγεθος· οὐ γὰρ ἐξ εἰκαίας χερμάδος οὐδὲ φορητῶν
ἀνθρώποις πετρῶν συνειστήκεσαν, λευκὴ δὲ μάρμαρος ἐτμή-
θη· καὶ τὸ μὲν μῆκος ἑκάστης πηχῶν ἦν εἴκοσι, δέκα 175
δὲ εὖρος καὶ βάθος πέντε, συνήνωντο δ' ἐπ' ἀλλήλοις, ὡς
140 δοκεῖν ἕκαστον πύργον μίαν εἶναι πέτραν ἀναπεφυκυῖαν,
ἔπειτα δὲ περιεξέσθαι χερσὶ τεχνιτῶν εἰς σχῆμα καὶ γωνίας·
οὕτως οὐδαμόθεν ἡ συνάφεια τῆς ἁρμονίας διεφαίνετο. κει- 176
μένοις δὲ πρὸς ἄρκτον αὐτοῖς ἔνδοθεν ἡ τοῦ βασιλέως αὐλὴ
προσέζευκτο παντὸς λόγου κρείσσων· οὔτε γὰρ πολυτε- 177
145 λείας οὔτε κατασκευῆς τινος ἔλειπεν ὑπερβολήν, ἀλλὰ τετεί-
χιστο μὲν ἅπασα τριάκοντα πήχεις τὸ ὕψος κύκλῳ, κατ'
ἴσον διάστημα κεκοσμημένοις δὲ πύργοις διείληπτο ἀνδρῶ-
σί τε μεγίστοις καὶ εἰς ξενῶνας ἑκατοντακλίνους· ἐν 178
οἷς ἀδιήγητος μὲν ἡ ποικιλία τῶν λίθων ἦν, συνῆκτο γὰρ
150 πολὺς ὁ πανταχοῦ σπάνιος, θαυμασταὶ δ' ὀροφαὶ μήκει τε
δοκῶν καὶ λαμπρότητι προκοσμημάτων, οἴκων δὲ πλῆθος 179
καὶ διαφοραὶ σχημάτων περὶ τούτους μυρίαι, πᾶσίν γε μὴν
ἀποσκευαὶ πλήρεις, καὶ τὰ πλείω τῶν ἐν ἑκάστοις κειμέ-
νων ἐξ ἀργύρου τε καὶ χρυσοῦ. περίστοα δὲ δι' ἀλλήλων 180
155 ἐν κύκλῳ πολλά, καὶ στῦλοι πρὸς ἑκάστῳ διάφοροι· τά
γε μὴν τούτων ὕπαιθρα πάντα χλοερά, καὶ ποικίλαι μὲν 181
ὗλαι μακροὶ δὲ δι' αὐτῶν περίπατοι καὶ περὶ τούτους εὔριποι

128. ἰσχυροτέρους: ἰσχυρωτέρους A ὀχυρωτέρους LVR ὀχυροτέρους C 132. ἐφ': ὑφ' P ἐν L 141. περιεξέσθαι: περιέξεσθαι A[2] περιεξέσται M πέριξ ἔχεσθαι L 147. διάστημα κεκοσμημένοις δὲ: ut monuit Niese, δὲ fortasse melius cum Lat ante διάστημα ponetur 156. πάντα: πανταχοῦ LVRC

time erano piú robuste dell'altra. Complessivamente l'altezza
della torre Mariamme era di cinquantacinque cubiti.

4, 4. Le tre torri, che avevano tali grandiose proporzioni, 172
apparivano ancora piú maestose grazie al loro impianto. In- 173
fatti il muro antico, in cui erano inserite, era spiccato su una
base rialzata e da questa base emergeva come una cresta che
s'innalzava per un'altra trentina di cubiti: era appunto sulla
sommità di tale cresta che le torri poggiavano, guadagnando
cosí ancora molto in altezza. Mirabile era anche la mole dei 174
blocchi, perché le torri non erano state costruite con materiale
comune né con pietre trasportabili a braccia, ma con blocchi
di marmo bianco[17]. Ognuno di questi aveva la lunghezza di 175
venti cubiti, la larghezza di dieci e lo spessore di cinque,
ed erano cosí ben connessi fra loro, che ogni torre sembrava
un immenso monolito spuntato dalla terra a cui le mani degli
artefici avevano dato forma e modellato gli angoli: a tal punto
era da ogni parte impercettibile la connessione delle varie
parti. A sud di queste torri e collegata internamente[18] con 176
esse era il palazzo reale, superiore a ogni descrizione. Non 177
v'era edificio piú stupendo per la magnificenza e per l'im-
pianto: lo circondava tutt'intorno un muro alto trenta cubiti,
in cui a uguale intervallo erano inserite torri ben rifinite, e
conteneva saloni vastissimi e camere da letto per cento ospiti;
qui un'indescrivibile varietà di marmi, essendovi state tra- 178
sportate in abbondanza le qualità che altrove sono rare, sof-
fitti mirabili per la lunghezza delle travature e per lo splendore
degli ornamenti, innumerevoli appartamenti di mille forme 179
diverse, tutti riccamente arredati, dove la maggior parte degli
oggetti erano di argento e d'oro. Tutt'intorno molti porticati 180
comunicanti tra loro, ognuno con colonne diverse e con gli
spazi racchiusi tutti ricoperti di verde, dove crescevano alberi 181
diversi tra lunghi viali fiancheggiati da profondi canali e la-

βαθεῖς δεξαμεναί τε πανταχοῦ χαλκουργημάτων περίπλεοι,
δι' ὧν τὸ ὕδωρ ἐξεχεῖτο, καὶ πολλοὶ περὶ τὰ νάματα πύργοι
160 πελειάδων ἡμέρων. ἀλλὰ γὰρ οὐθ' ἑρμηνεῦσαι δυνατὸν ἀξίως 182
τὰ βασίλεια, καὶ φέρει βάσανον ἡ μνήμη, τὰς τοῦ ληστρικοῦ πυρὸς δαπάνας ἀναφέρουσα· οὐ γὰρ ταῦτα Ῥωμαῖοι 183
κατέφλεξαν, ἀλλ' ὑπὸ τῶν ἔνδον ἐπιβούλων, ὡς προειρήκαμεν, ἐν ἀρχῇ τῆς ἀποστάσεως ἀπὸ μὲν τῆς Ἀντωνίας
165 ἤρξατο τὸ πῦρ, μετέβη δ' ἐπὶ τὰ βασίλεια καὶ τῶν τριῶν
πύργων τὰς στέγας ἐπενεμήθη.

5, 1. τὸ δ' ἱερὸν ἵδρυτο μέν, ὥσπερ ἔφην, ἐπὶ λόφου 184
καρτεροῦ, κατ' ἀρχὰς δὲ μόλις ἐξήρκει τὸ ἀνωτάτω χθαμαλὸν αὐτοῦ τῷ τε ναῷ καὶ τῷ βωμῷ· τὰ γὰρ πέριξ ἀπόκρημνος ἦν καὶ κατάντης. τοῦ δὲ βασιλέως Σολομῶνος, 185
5 ὃς δὴ καὶ τὸν ναὸν ἔκτισεν, τὸ κατ' ἀνατολὰς μέρος ἐκτειχίσαντος, ἐπετέθη μία στοὰ τῷ χώματι· καὶ κατά γε τὰ
λοιπὰ μέρη γυμνὸς ὁ ναὸς ἦν. τοῖς δ' ἑξῆς αἰῶσιν ἀεί τι
τοῦ λαοῦ προσχωννύντος ἀνισούμενος ὁ λόφος ηὐρύνετο.
διακόψαντες δὲ καὶ τὸ προσάρκτιον τεῖχος τοσοῦτον προσε- 186
10 λάμβανον ὅσον ὕστερον ἐπεῖχεν ὁ τοῦ παντὸς ἱεροῦ περίβολος. τειχίσαντες δ' ἐκ ῥίζης τριχῇ κυκλόθεν τὸν λόφον 187
καὶ μεῖζον ἐλπίδος ἐκπονήσαντες ἔργον, εἰς ὃ μακροὶ μὲν
ἐξαναλώθησαν αἰῶνες αὐτοῖς καὶ οἱ ἱεροὶ δὲ θησαυροὶ
πάντες, οὓς ἀνεπίμπλασαν οἱ παρὰ τῆς οἰκουμένης δασμοὶ
15 πεμπόμενοι τῷ θεῷ, τούς τε ἄνω περιβόλους καὶ τὸ κάτω
ἱερὸν ἀμφεδείμαντο. τούτου τὸ ταπεινότατον ἀπὸ τριακοσίων 188
ἀνετειχίσαντο πηχῶν, κατὰ δέ τινας τόπους καὶ πλείονος.
οὐ μέντοι πᾶν τὸ βάθος ἐφαίνετο τῶν θεμελίων· ἐπὶ πολὺ

158. πανταχοῦ: πολλαχοῦ MVRC 160. ἡμέρων: ἡμερῶν P 164. ἀποστάσεως: ἀποστάσεως καὶ PAMVR Lat ἀποστάσεως κατεφλέχθησαν καὶ C 165. ἤρξατο: εἴρξατο P
5, 6. ἐπετέθη: εἶτ' ἐτέθη L | μία: om. VRC 9-10. προσελάμβανον: προσέλαβον LC 10. ἱεροῦ: ἱερὸς L 11. ἐκ ῥίζης: om. LVRC Lat 13. ἐξαναλώθησαν: ἐξανηλώθησαν MVRC 16. τούτου τό: τοῦτο PA τοῦτο τὸ L 17. καί: ἐκ PAMVRC *etiam* Lat

ghetti adornati di figure di bronzo da cui zampillava l'acqua, e intorno alle fontane numerose casette per i colombi domestici[19]. Ma come non si può dare un'adeguata descrizione 182 della reggia, così ne è doloroso il ricordo, che richiama alla mente le devastazioni causate col fuoco dai banditi; perché 183 queste meraviglie non furono i romani a distruggerle, ma i rivoluzionari: come già dicemmo, l'incendio appiccato all'Antonia all'inizio della ribellione si propagò poi alla reggia e attaccò anche i tetti delle tre torri[20].

5, 1. Il tempio, come ho già accennato[1], sorgeva su un'im- 184 prendibile collina, ma in principio la spianata della sommità era appena sufficiente a contenere il santuario e l'altare, perché tutt'intorno v'erano scoscesi dirupi. Quando però il re Sa- 185 lomone, che fu il fondatore del tempio, innalzò un bastione sul lato orientale[2], alla sommità di questo venne costruito un portico, mentre sugli altri tre lati il tempio rimase ancora sguarnito. Nel corso delle età seguenti il popolo continuò senza posa a trasportare terra di riempimento sí che si venne allargando la spianata sulla cima. Piú tardi abbatterono il 186 muro settentrionale[3] e allargarono lo spiazzo per tutta l'estensione che poi fu inclusa nel recinto dell'intero tempio. Piú 187 tardi ancora circondarono anche sugli altri tre lati la collina con bastioni che partivano dalle sue falde[4] e, compiuto un lavoro anche piú grande di quello che avevano sperato, in cui spesero lunghi secoli nonché tutti i tesori sacri raccolti con le offerte inviate al dio da ogni parte del mondo, vi racchiusero sia gli atri superiori, sia le parti inferiori del santuario. Dove 188 il terreno circostante sprofondava maggiormente, il muro fu innalzato per trecento cubiti[5], e in qualche punto anche di piú. Peraltro non tutta l'altezza delle sostruzioni era in vista,

γὰρ ἔχωσαν τὰς φάραγγας, ἀνισοῦν βουλόμενοι τοὺς στενω-
20 ποὺς τοῦ ἄστεος. πέτραι δὲ τεσσαρακονταπήχεις τὸ μέγε- 189
θος ἦσαν τοῦ δομήματος· ἥ τε γὰρ δαψίλεια τῶν χρημάτων
καὶ τοῦ λαοῦ φιλοτιμία λόγου μείζονας ἐποιεῖτο τὰς ἐπι-
βολάς, καὶ τὸ μηδ' ἐλπισθὲν ἕξειν πέρας ἐπιμονῇ καὶ χρό-
νοις ἦν ἀνύσιμον.

25 **5,** 2. ἦν δὲ ἄξια τῶν τηλικούτων θεμελίων καὶ τὰ ὑπὲρ 190
αὐτῶν ἔργα· διπλαῖ μὲν γὰρ αἱ στοαὶ πᾶσαι, κίονες δ'
αὐταῖς εἰκοσιπέντε πηχῶν τὸ ὕψος ἐφεστήκεσαν, μονό-
λιθοι λευκοτάτης μαρμάρου, κεδρίνοις δὲ φατνώμασιν ὠρό-
φωντο. τούτων ἡ μὲν φυσικὴ πολυτέλεια καὶ τὸ εὔξεστον 191
30 καὶ τὸ ἁρμόνιον παρεῖχε θεωρίαν ἀξιόλογον, οὐδενὶ δ'
ἔξωθεν οὔτε ζωγραφίας οὔτε γλυφίδος ἔργῳ προσηγλάιστο.
καὶ πλατεῖαι μὲν ἦσαν ἐπὶ τριάκοντα πήχεις, ὁ δὲ πᾶς 192
κύκλος αὐτῶν εἰς ἓξ σταδίους συνεμετρεῖτο περιλαμβα-
νομένης καὶ τῆς Ἀντωνίας· τὸ δ' ὕπαιθρον ἅπαν πεποίκιλτο
35 παντοδαπῷ λίθῳ κατεστρωμένον. διὰ τούτου προϊόντων ἐπὶ 193
τὸ δεύτερον ἱερὸν δρύφακτος περιβέβλητο λίθινος, τρίπη-
χυς μὲν ὕψος, πάνυ δὲ χαριέντως διειργασμένος· ἐν αὐτῷ 194
δ' εἱστήκεσαν ἐξ ἴσου διαστήματος στῆλαι τὸν τῆς ἁγνείας
προσημαίνουσαι νόμον, αἱ μὲν Ἑλληνικοῖς αἱ δὲ Ῥωμαϊ-
40 κοῖς γράμμασιν, μηδένα ἀλλόφυλον ἐντὸς τοῦ ἁγίου πα-
ριέναι· τὸ γὰρ δεύτερον ἱερὸν ἅγιον ἐκαλεῖτο. καὶ τεσσα- 195
ρεσκαίδεκα μὲν βαθμοῖς ἦν ἀναβατὸν ἀπὸ τοῦ πρώτου,
τετράγωνον δὲ ἄνω καὶ τείχει περιπεφραγμένον ἰδίῳ. τούτου 196
τὸ μὲν ἔξωθεν ὕψος καίπερ τεσσαράκοντα πηχῶν ὑπάρχον
45 ὑπὸ τῶν βαθμῶν ἐκαλύπτετο. τὸ δ' ἔνδον εἴκοσι καὶ πέντε
πηχῶν ἦν· πρὸς γὰρ ὑψηλοτέρῳ δεδομημένου τοῦ βά-
θρου οὐκέτ' ἦν ἅπαν εἴσω καταφανὲς καλυπτόμενον ὑπὸ

22. τοῦ: ἡ τοῦ ML 25. τηλικούτων: τοιούτων VRC 35. παντοδαπῷ λίθῳ Destinon παντοδαπῶν λίθων codd. 36. λίθινος: λίθος M 38. δ' εἱστήκεσαν: δὲ εἱστήκεσαν PAMVR δ' εἱστήκεσαν C διεστήκεσαν L 40. μηδένα: μὴ δεῖν MLV 44. καίπερ: καὶ ὑπὲρ PA καὶ περὶ C 46. δεδομημένου: δεδωμημένου PAL δεδομένου C 46-7. τοῦ βάθρου Destinon τοῦ βαθμοῦ PAM βαθμοῖς L τοῖς βαθμοῖς VRC

perché essi colmarono buona parte della voragine nell'intento
di rendere meno ripide le strade della città. I blocchi usati in 189
questi lavori misuravano quaranta cubiti; l'abbondanza dei
mezzi e l'entusiasmo del popolo portarono a risultati superiori
a ogni dire, e un'opera, che nemmeno si sperava di poter com-
piere, col tempo e con la tenacia venne condotta a termine.

5, 2. Di tali fondamenta era ben degna la costruzione che 190
vi sorgeva sopra[6]. Infatti tutti i portici avevano un doppio
ordine di colonne dell'altezza di venticinque cubiti, d'un sol
pezzo di marmo bianchissimo, e il soffitto rivestito di pannelli
di cedro. La naturale magnificenza di tali colonne, la loro le- 191
vigatezza e la loro simmetria offrivano uno spettacolo stu-
pendo senza alcuna aggiunta di ornamenti di pitture o sculture.
La larghezza dei portici era di trenta cubiti e l'intero loro cir- 192
cuito, che racchiudeva anche l'Antonia, raggiungeva i sei
stadi; tutta l'area da esso circoscritta era pavimentata con
pietre di svariate qualità e di diversi colori[7]. Chi attraversava 193
quest'area per raggiungere il secondo piazzale lo trovava cir-
condato da una balaustra di pietra, dell'altezza di tre cubiti e
finemente lavorata; su di essa, a uguali intervalli, erano collo- 194
cate delle lapidi che rammentavano la legge della purifica-
zione, alcune in lingua greca altre in latino, perché nessuno
straniero entrasse nel luogo santo, come appunto essi chia-
mano questa seconda parte del tempio[8]. Vi si saliva dalla 195
prima mediante una scalinata di quattordici gradini, e sopra
aveva una forma quadrangolare ed era racchiusa da un appo-
sito muro. L'altezza effettiva di questo muro all'esterno era 196
di quaranta cubiti, ma essa veniva nascosta dagli scalini; l'al-
tezza all'interno era invece di venticinque cubiti giacché il
pavimento era costruito a un livello superiore, e quindi essa
non appariva interamente essendo coperta dalla collina[9]. Finiti 197

τοῦ λόφου. μετὰ δὲ τοὺς δεκατέσσαρας βαθμοὺς τὸ μέχρι 197
τοῦ τείχους διάστημα πηχῶν ἦν δέκα, πᾶν ἰσόπεδον. ἔνθεν 198
50 ἄλλοι πάλιν πεντέβαθμοι κλίμακες ἀνῆγον ἐπὶ τὰς πύλας,
αἳ ἀπὸ μὲν ἄρκτου καὶ μεσημβρίας ὀκτώ, καθ' ἑκάτερον
τέσσαρες, δύο δ' ἦσαν ἐξ ἀνατολῆς κατ' ἀνάγκην· διατε-
τειχισμένου γὰρ κατὰ τοῦτο τὸ κλίμα ταῖς γυναιξὶν ἰδίου
πρὸς θρησκείαν χώρου, ἔδει δευτέραν εἶναι πύλην· τέτμητο
55 δ' αὕτη τῆς πρώτης ἄντικρυς. κἀκ τῶν ἄλλων δὲ κλιμάτων 199
μία μεσημβρινὴ πύλη καὶ μία βόρειος, δι' ἧς εἰς τὴν γυ-
ναικωνῖτιν εἰσῆγον· κατὰ γὰρ τὰς ἄλλας οὐκ ἐξῆν παρελ-
θεῖν γυναιξίν, ἀλλ' οὐδὲ κατὰ τὴν σφετέραν ὑπερβῆναι τὸ
διατείχισμα. ἀνεῖτό γε μὴν ταῖς τ' ἐπιχωρίοις καὶ ταῖς
60 ἔξωθεν ὁμοφύλοις ἐν ἴσῳ πρὸς θρησκείαν ὁ χῶρος. τὸ δὲ 200
πρὸς δύσιν μέρος οὐκ εἶχε πύλην, ἀλλὰ διηνεκὲς ἐδεδόμητο
ταύτῃ τὸ τεῖχος. αἱ στοαὶ δὲ μεταξὺ τῶν πυλῶν ἀπὸ τοῦ
τείχους ἔνδον ἐστραμμέναι πρὸ τῶν γαζοφυλακίων σφόδρα
μὲν καλοῖς καὶ μεγάλοις ἀνείχοντο κίοσιν, ἦσαν δ' ἁπλαῖ,
65 καὶ πλὴν τοῦ μεγέθους τῶν κάτω κατ' οὐδὲν ἀπελείποντο.

5, 3. τῶν δὲ πυλῶν αἱ μὲν ἐννέα χρυσῷ καὶ ἀργύρῳ 201
κεκαλυμμέναι πανταχόθεν ἦσαν, ὁμοίως τε αἵ τε παρα-
στάδες καὶ τὰ ὑπέρθυρα, μία δ' ἡ ἔξωθεν τοῦ νεῶ Κοριν-
θίου χαλκοῦ, πολὺ τῇ τιμῇ τὰς καταργύρους καὶ περιχρύ-
70 σους ὑπεράγουσα. καὶ δύο μὲν ἑκάστου πυλῶνος θύραι, 202
τριάκοντα δὲ πηχῶν τὸ ὕψος ἑκάστης καὶ τὸ πλάτος ἦν
πεντεκαίδεκα. μετὰ μέντοι τὰς εἰσόδους ἐνδοτέρω πλατυ- 203
νόμενοι παρ' ἑκάτερον τριακονταπήχεις ἐξέδρας εἶχον εὖρός
τε καὶ μῆκος πυργοειδεῖς, ὑψηλὰς δ' ὑπὲρ τεσσαράκοντα
75 πήχεις· δύο δ' ἀνεῖχον ἑκάστην κίονες, δώδεκα πηχῶν τὴν
περιοχὴν ἔχοντες. καὶ τῶν μὲν ἄλλων ἴσον ἦν τὸ μέγεθος, 204
ἡ δ' ὑπὲρ τὴν Κορινθίαν ἀπὸ τῆς γυναικωνίτιδος ἐξ ἀνα-

50. πεντέβαθμοι: πεντεβαθμοὶ V πέντε βαθμοὶ RC ἕνδεκα βαθμοὶ PA[1]M ἑνδεκά-βαθμοι A[2] ἕνδεκα L 58. σφετέραν: ἐφ' ἑτέραν L 59. ταῖς τ': τοῖς M ταῖς τε L τοῖς τε VRC 59-60 καὶ ταῖς ἔξωθεν: καὶ τοῖς ἔξωθεν MVRC 65. πλὴν τοῦ: ἀπλέτου VRC 67. τε αἵ τε: τε αἱ P αἵ τε M δ' αἵ τε L τε VRC 74. ὑψηλάς: ὑψηλαὶ codd. sed cfr. Lat

i quattordici scalini, veniva una terrazza tutta pianeggiante, larga dieci cubiti fino al muro[10]. Di lí ancora altre scale di 198 cinque scalini portavano alle porte[11], che a nord e a sud erano otto, quattro su ciascun lato, mentre a oriente dovevano essere di necessità due; poiché da questa parte era stata separata mediante un muro un'area riservata alle donne per le loro cerimonie di culto, bisognava che ci fosse una seconda porta, e questa fu aperta di fronte alla prima. Anche sugli altri lati 199 v'era una porta a sud e una porta a nord per consentire alle donne di entrare nel loro recinto, giacché dalle altre non era a loro permesso di passare né, se entravano dalla loro porta, potevano superare il muro divisorio. Tale luogo era aperto al culto sia delle donne giudee residenti in patria, sia di quelle venute da fuori. Sul lato occidentale non v'era alcuna porta, 200 perché ivi il muro era costruito senza aperture. I portici fra le porte, rivolti dal muro verso l'interno dirimpetto alle sale del tesoro, poggiavano su grandi e belle colonne; avevano un solo ordine di colonne ma, eccettuata la grandezza, non erano in nulla da meno di quelli che stavano piú in basso[12].

5, 3. Delle porte[13], nove erano tutte ricoperte d'oro e d'ar- 201 gento, al pari degli stipiti e degli architravi, mentre una, quella fuori del santuario, era di bronzo di Corinto e superava di molto in valore quelle rivestite d'argento o d'oro[14]. Ogni porta aveva due battenti, ciascuno dei quali misurava 202 trenta cubiti di altezza e quindici di larghezza. Oltre la soglia 203 gli ingressi si allargavano all'interno e avevano sui due lati delle esedre a forma di torri, della larghezza e della lunghezza di trenta cubiti, alte piú di quaranta cubiti; ciascuna poggiava su due colonne della circonferenza di dodici cubiti. Uguali 204 erano le dimensioni delle altre porte, mentre assai piú grande era quella che, a occidente della porta Corinzia, si apriva dal

τολῆς ἀνοιγομένη τῆς τοῦ ναοῦ πύλης ἀντικρὺ πολὺ μείζων·
πεντήκοντα γὰρ πηχῶν οὖσα τὴν ἀνάστασιν τεσσαρακοντα- 205
80 πήχεις τὰς θύρας εἶχε καὶ τὸν κόσμον πολυτελέστερον
ἐπὶ δαψιλὲς πάχος ἀργύρου τε καὶ χρυσοῦ. τοῦτον δὲ ταῖς
ἐννέα πύλαις ἐπέχεεν ὁ Τιβερίου πατὴρ Ἀλέξανδρος. βαθμοὶ 206
δὲ δεκαπέντε πρὸς τὴν μείζονα πύλην ἀπὸ τοῦ τῶν γυ-
ναικῶν διατειχίσματος ἀνῆγον· τῶν γὰρ κατὰ τὰς ἄλλας
85 πέντε βαθμῶν ἦσαν βραχύτεροι.

5, 4. αὐτὸς δ' ὁ ναὸς κατὰ μέσον κείμενος, τὸ ἅγιον 207
ἱερόν, δώδεκα βαθμοῖς ἦν ἀναβατός, καὶ τὸ μὲν κατὰ πρό-
σωπον ὕψος τε καὶ εὖρος ἴσον ἀνὰ πήχεις ἑκατόν, κατόπιν
δὲ τεσσαράκοντα πήχεσι στενότερος· ἔμπροσθεν γὰρ ὥσπερ
90 ὦμοι παρ' ἑκάτερον εἰκοσαπήχεις διέβαινον. ἡ πρώτη δ' 208
αὐτοῦ πύλη, πηχῶν ἑβδομήκοντα τὸ ὕψος οὖσα καὶ εὖρος
εἴκοσι καὶ πέντε, θύρας οὐκ εἶχε· τοῦ γὰρ οὐρανοῦ τὸ ἀφανὲς
καὶ ἀδιάκλειστον ἐνέφαινε· κεχρύσωτο δὲ τὰ μέτωπα πάντα,
καὶ δι' αὐτῆς ὅ τε πρῶτος οἶκος ἔξωθεν πᾶς κατεφαίνετο
95 μέγιστος ὤν, καὶ τὰ περὶ τὴν εἴσω πύλην πάντα λαμπόμενα
χρυσῷ τοῖς ὁρῶσιν ὑπέπιπτεν. τοῦ ναοῦ δὲ ὄντος εἴσω δι- 209
στέγου μόνος ὁ πρῶτος οἶκος προὔκειτο καὶ διηνεκὲς εἰς
τὸ ὕψος, ἀνατεινόμενος μὲν ἐπ' ἐνενήκοντα πήχεις, μηκυνό-
μενος δὲ ἐπὶ πεντήκοντα καὶ διαβαίνων ἐπ' εἴκοσιν. ἡ δὲ 210
100 διὰ τοῦ οἴκου πύλη κεχρύσωτο μέν, ὡς ἔφην, πᾶσα καὶ
ὅλος ὁ περὶ αὐτὴν τοῖχος, εἶχε δὲ καὶ τὰς χρυσᾶς ὑπὲρ
ἑαυτῆς ἀμπέλους, ἀφ' ὧν βότρυες ἀνδρομήκεις κατεκρέμαν-
το. [ὄντος δὲ ἤδη τοῦ ναοῦ διστέγου, ταπεινοτέρα τῆς ἔξω- 211
θεν ὄψεως ἡ ἔνδον ἦν] καὶ θύρας εἶχε χρυσᾶς πεντηκοντα-
105 πέντε πήχεων τὸ ὕψος, εὖρος δ' ἑκκαίδεκα. πρὸ δὲ τούτων 212

81. ἐπὶ δαψιλὲς: ἐπεὶ δαψιλὲς A ἐπιδαψιλὲς PLVC 87. ἀναβατός: ἄβατος PAVR ἄβατον C 88. ἴσον: εἴσω PA ἴσος M ἴσος VR 92. ἀφανὲς: ἀχανὲς Bekker quem et Thackeray secutus, sed cfr. R. Bergmeier in «Z.N.W.» LIV 1963, p. 268 sqq. 94. ἔξωθεν: ἔσωθεν MVRC 97. προὔκειτο: προσεί-κετο L 101. ὅλος: ὅλως A ὁ λίθινος A Lat 102-3. κατεκρέμαντο: κατε-κρέμοντο PAVR κατεκρέμματο C 103-4. uncis inclusa insiticia existimavit Thackeray, fortasse minus recte 104. ὄψεως ἡ ἔνδον: om. LVRC Lat 104-5. πεντηκονταπέντε: πεντήκοντα PA

recinto delle donne verso est dirimpetto alla porta del san-
tuario: essa aveva infatti l'altezza di cinquanta cubiti con bat- 205
tenti di quaranta cubiti, e una decorazione piú ricca per i mas-
sicci rivestimenti d'argento e d'oro. Questa decorazione delle
nove porte era stata eseguita a cura di Alessandro, il padre di
Tiberio[15]. Dal recinto delle donne alla porta piú grande si 206
saliva mediante una scala di quindici scalini, perché questi
erano piú bassi dei cinque scalini che conducevano alle altre
porte[16].

5, 4. Il santuario vero e proprio, il sacro tempio, sorgeva 207
nel mezzo e vi si saliva[17] mediante dodici scalini; la facciata
aveva l'altezza uguale alla larghezza, cento cubiti, mentre la
parte posteriore era quaranta cubiti piú stretta: infatti sul
davanti si allargava da entrambi i lati – come fanno le spalle –
di venti cubi[18]. La sua prima porta, che misurava settanta 208
cubiti di altezza e venticinque di larghezza, non aveva bat-
tenti per significare che il cielo è nascosto, ma non chiuso;
l'intero frontale era ricoperto d'oro e attraverso questa porta
si vedeva dal di fuori tutta la prima parte dell'edificio, che
era grandissima, e agli spettatori si presentava lo spettacolo
di ciò che stava all'interno presso la porta, tutto luccicante
d'oro. Mentre dentro il tempio era diviso in due piani, sol- 209
tanto il vestibolo si offriva alla vista come un unico corpo
avente l'altezza di novanta cubiti, la larghezza di cinquanta
e la profondità di venti. La porta di accesso al tempio[19] era, 210
come ho già detto, interamente ricoperta d'oro, al pari di
tutta la parete in cui era inserita; sopra vi erano delle viti
d'oro da cui pendevano grappoli della grandezza di un uomo.
Poiché il tempio aveva due piani, a vederlo dal di dentro 211
sembrava meno alto che dal di fuori, e la porta di accesso
aveva dei battenti d'oro alti cinquantacinque cubiti e larghi
sedici[20]. Davanti a questi pendeva una tenda babilonese[21] di 212

ἰσόμηκες καταπέτασμα πέπλος ἦν Βαβυλώνιος ποικιλτὸς ἐξ ὑακίνθου καὶ βύσσου κόκκου τε καὶ πορφύρας, θαυμαστῶς μὲν εἰργασμένος, οὐκ ἀθεώρητον δὲ τῆς ὕλης τὴν κρᾶσιν ἔχων, ἀλλ' ὥσπερ εἰκόνα τῶν ὅλων· ἐδόκει γὰρ αἰνίττεσθαι 213
110 τῇ κόκκῳ μὲν τὸ πῦρ, τῇ βύσσῳ δὲ τὴν γῆν, τῇ δ' ὑακίνθῳ τὸν ἀέρα, καὶ τῇ πορφύρᾳ τὴν θάλασσαν, τῶν μὲν ἐκ τῆς χροίας ὁμοιουμένων, τῆς δὲ βύσσου καὶ τῆς πορφύρας διὰ τὴν γένεσιν, ἐπειδὴ τὴν μὲν ἀναδίδωσιν ἡ γῆ, τὴν δ' ἡ θάλασσα. κατεγέγραπτο δ' ὁ πέπλος ἅπασαν τὴν οὐράνιον 214
115 θεωρίαν πλὴν τῶν ζῳδίων.

5, 5. παριόντας δ' εἴσω τὸ ἐπίπεδον τοῦ ναοῦ μέρος ἐξεδέχετο. 215 τούτου τοίνυν τὸ μὲν ὕψος ἑξήκοντα πηχῶν καὶ τὸ μῆκος ἴσον, εἴκοσι δὲ πηχῶν τὸ πλάτος ἦν. τὸ δ' ἑξηκοντάπηχυ 216 πάλιν διῄρητο, καὶ τὸ μὲν πρῶτον μέρος ἀποτετμη-
120 μένον ἐπὶ τεσσαράκοντα πήχεις εἶχεν ἐν ἑαυτῷ τρία τὰ θαυμασιώτατα καὶ περιβόητα πᾶσιν ἀνθρώποις ἔργα, λυχνίαν τράπεζαν θυμιατήριον. ἐνέφαινον δ' οἱ μὲν ἑπτὰ λύχνοι 217 τοὺς πλανήτας· τοσοῦτοι γὰρ ἀπ' αὐτῆς διῄρηντο τῆς λυχνίας· οἱ δ' ἐπὶ τῆς τραπέζης ἄρτοι δώδεκα τόν τε ζῳδιακὸν
125 κύκλον καὶ τὸν ἐνιαυτόν. τὸ θυμιατήριον δὲ διὰ τῶν τρισκαίδεκα 218 θυμιαμάτων, οἷς ἐκ θαλάσσης ἀνεπίμπλατο καὶ γῆς ἀοικήτου τε καὶ οἰκουμένης, ἐσήμαινεν ὅτι τοῦ θεοῦ πάντα καὶ τῷ θεῷ. τὸ δ' ἐνδοτάτω μέρος εἴκοσι μὲν πηχῶν ἦν· 219 διείργετο δ' ὁμοίως καταπετάσματι πρὸς τὸ ἔξωθεν. ἔκειτο
130 δ' οὐδὲν ὅλως ἐν αὐτῷ, ἄβατον δὲ καὶ ἄχραντον καὶ ἀθέατον ἦν πᾶσιν, ἁγίου δὲ ἅγιον ἐκαλεῖτο. περὶ δὲ τὰ πλευρὰ τοῦ 220 κάτω ναοῦ δι' ἀλλήλων ἦσαν οἶκοι τρίστεγοι πολλοί, καὶ παρ' ἑκάτερον εἰς αὐτοὺς ἀπὸ τῆς πύλης εἴσοδοι. τὸ δ' 221 ὑπερῷον μέρος τούτους μὲν οὐκέτ' εἶχεν τοὺς οἴκους, πα-
135 ρόσον ἦν καὶ στενότερον, ὑψηλότερον δ' ἐπὶ τεσσαράκοντα

112. χροίας: χροιᾶς M χρόας LVRC 120. ἑαυτῷ: αὐτῷ PMVRC 124. τόν τε: τὸν PA 126-7. καὶ γῆς ἀοικήτου τε Niese καὶ τῆς τε ἀοικήτου PAM καὶ τῆς ἀοικήτου LVR τῆς τ' ἀοικήτου C 135. ὑψηλότερον: ὑψηλὸν L

uguale altezza, operata in vari colori con lino bianco e con lana azzurra, rossa e purpurea, un magnifico lavoro che non senza intenzione era fatto di materiali di colore diverso quasi a simboleggiare l'universo; col rosso infatti si voleva allu- 213 dere al fuoco, col lino alla terra, con l'azzurro all'aria e con la porpora al mare: due di queste sostanze avevano la rassomiglianza nel loro colore, mentre per le altre due la rassomiglianza nasceva dalla loro origine, perché il lino è prodotto dalla terra e la porpora dal mare[22]. Sulla tenda era rappresen- 214 tata tutta la volta celeste a eccezione dei segni dello zodiaco[23].

5, 5. Avanzando verso l'interno si entrava nella parte in- 215 feriore del santuario[24]. Questo aveva sessanta cubiti di altezza, altrettanti di lunghezza e venti cubiti di larghezza[25]. Ma i 216 sessanta cubiti di lunghezza erano ulteriormente suddivisi, e la prima parte[26], delimitata dopo circa quaranta cubiti, conteneva tre opere d'arte massimamente ammirate e famose fra tutti gli uomini, un candelabro, una tavola e un altare per gli incensi. Le sette fiamme, poiché tale era il numero dei bracci 217 del candelabro, rappresentavano i pianeti; i dodici pani sulla tavola simboleggiavano il ciclo dello zodiaco e l'anno. L'al- 218 tare degli incensi con i suoi tredici profumi ricavati dal mare e dalla terra, sia disabitata sia abitata, significava che tutte le cose sono del dio e fatte per il dio[27]. La parte piú interna mi- 219 surava venti cubiti ed era ugualmente separata dall'esterno per mezzo di una tenda. In essa non c'era assolutamente nulla; inaccessibile, inviolabile, invisibile a chiunque, si chiamava il santo dei santi[28]. Ai lati del santuario inferiore[29] v'erano nu- 220 merose camere su tre piani, comunicanti fra loro, a cui si accedeva attraverso porte situate su entrambi i lati dell'ingresso. La parte superiore del tempio non aveva tali stanze, 221 essendo di altrettanto meno larga, s'innalzava per quaranta cubiti e aveva meno ornamenti rispetto alla parte inferiore.

πήχεις καὶ λιτότερον τοῦ κάτω· συνάγεται γὰρ οὕτως πρὸς ἑξήκοντα τοῖς τοῦ ἐπιπέδου πηχῶν ἑκατὸν τὸ πᾶν ὕψος.

5, 6. τὸ δ' ἔξωθεν αὐτοῦ πρόσωπον οὐδὲν οὔτ' εἰς ψυχῆς (222) οὔτ' εἰς ὀμμάτων ἔκπληξιν ἀπέλειπεν· πλαξὶ γὰρ χρυσοῦ (140) στιβαραῖς κεκαλυμμένος πάντοθεν, ὑπὸ τὰς πρώτας ἀνατολὰς πυρωδεστάτην ἀπέπαλλεν αὐγὴν καὶ τῶν βιαζομένων ἰδεῖν τὰς ὄψεις ὥσπερ ἡλιακαῖς ἀκτῖσιν ἀπέστρεφεν. τοῖς (223) γε μὴν ἀφικνουμένοις ξένοις πόρρωθεν ὅμοιος ὄρει χιόνος πλήρει κατεφαίνετο· καὶ γὰρ καθὰ μὴ κεχρύσωτο λευκότα-(145)τος ἦν. κατὰ κορυφὴν δὲ χρυσέους ὀβελοὺς ἀνεῖχεν τεθηγμέ-(224)νους, ὡς μή τινι προσκαθεζομένῳ μολύνοιτο τῶν ὀρνέων. τῶν δ' ἐν αὐτῷ λίθων ἔνιοι μῆκος πέντε καὶ τεσσαράκοντα πηχῶν ἦσαν, ὕψος πέντε, εὖρος δ' ἕξ. πρὸ αὐτοῦ δ' ὁ βω-(225)μὸς πεντεκαίδεκα μὲν ὕψος ἦν πήχεων, εὖρος δὲ καὶ μῆκος (150) ἐκτείνων ἴσον ἀνὰ πεντήκοντα πήχεις τετράγωνος ἵδρυτο, κερατοειδεῖς προανέχων γωνίας, καὶ ἀπὸ μεσημβρίας ἐπ' αὐτὸν ἄνοδος ἠρέμα προσάντης ὑπτίαστο. κατεσκευάσθη δ' ἄνευ σιδήρου, καὶ οὐδέποτ' ἔψαυεν αὐτοῦ σίδηρος. περιέ-(226)στεφε δὲ τόν τε ναὸν καὶ τὸν βωμὸν εὔλιθόν τι καὶ χαρίεν (155) γείσιον, ὅσον πηχυαῖον ὕψος, ὃ διεῖργεν ἐξωτέρω τὸν δῆμον ἀπὸ τῶν ἱερέων. γονορροίοις μὲν δὴ καὶ λεπροῖς ἡ πόλις (227) ὅλη, τὸ δ' ἱερὸν γυναικῶν ἐμμήνοις ἀπεκέκλειστο, παρελθεῖν δὲ ταύταις οὐδὲ καθαραῖς ἐξῆν ὃν προείπαμεν ὅρον. ἀνδρῶν δ' οἱ μὴ καθάπαν ἡγνευκότες εἴργοντο τῆς ἔνδον (160) αὐλῆς, καὶ τῶν ἱερέων πάλιν οἱ καθαρεύοντες εἴργοντο.

5, 7. τῶν δ' ἀπὸ γένους ἱερέων ὅσοι διὰ πήρωσιν οὐχ (228) ἐλειτούργουν παρῆσάν τε ἅμα τοῖς ὁλοκλήροις ἐνδοτέρω τοῦ γεισίου καὶ τὰς ἀπὸ τοῦ γένους ἐλάμβανον μερίδας, ταῖς γε

139. ὀμμάτων: σωμάτων LC | ἀπέλειπεν: ἀπέλιπε C 141. ἀπέπαλλεν: ἀπέλαμπεν L 143. ἀφικνουμένοις: εἰσαφικνουμένοις LVRC 155. διεῖργεν: διήγειρεν V 157. τὸ δ' ἱερὸν Niese τὸ διεῖργον τὸ δ' ἱερὸν PAM τὸ διεῖργον VR εἶχεν τὸ διεῖργον L διείργετο C | γυναικῶν: γυναικῶν δὲ LVRC 158. ὃν: δι' ὃν L | προείπαμεν: προείπομεν MLV²C 159. καθάπαν: κατὰ πᾶν ALVRC 160. ἱερέων: ἱερῶν PA ἱερέων δὲ L | οἱ Destinon ex Lat οἱ μὴ codd.

Aggiungendo cosí questi quaranta cubiti ai sessanta della parte bassa si aveva un'altezza complessiva di cento cubiti.

5, 6. All'esterno del tempio non mancava nulla per im-(222)pressionare né la mente né la vista; infatti, essendo ricoperto dappertutto di massicce piastre di oro, fin dal primo sorgere del sole era tutto un riflesso di bagliori, e a chi si sforzava di fissarlo faceva abbassare lo sguardo come per i raggi solari. Agli stranieri in viaggio verso Gerusalemme esso appariva da (223) lontano simile a un monte coperto di neve, perché dove non era ricoperto d'oro era bianchissimo[30]. Sulla sommità spunta-(224)vano spiedi d'oro assai aguzzi per impedire agli uccelli di posarvisi sopra e d'imbrattare[31]. Alcuni dei blocchi di pietra con cui era costruito avevano la lunghezza di quarantacinque cubiti, l'altezza di cinque e la larghezza di sei[32]. Davanti al tem-(225)pio sorgeva l'altare alto quindici cubiti, avente la larghezza uguale alla lunghezza, di cinquanta cubiti, a pianta quadrata, con gli angoli sporgenti a forma di corni, e vi si accedeva dalla parte meridionale attraverso un pendio in leggera salita. Era stato fabbricato senza uso di ferro, né mai il ferro l'aveva toccato. Il tempio e l'altare erano circondati da un elegante (226) parapetto di pietra levigata, dell'altezza di un cubito, che separava la folla esterna dai sacerdoti[33]. Ai gonorroici e ai leb-(227)brosi era vietato di metter piede in qualunque punto della città, mentre l'ingresso nel tempio era proibito alle donne nel periodo della mestruazione, a parte quei limiti che esse, come abbiamo detto, non potevano valicare nemmeno quando erano in stato di purità. Anche gli uomini non completamente puri avevano il divieto di entrare nel recinto interno, e cosí anche i sacerdoti assoggettati a pratiche di purificazione[34].

5, 7. Quelli che, pur essendo di stirpe sacerdotale, non (228) prendevano parte alle sacre funzioni a causa di qualche difetto fisico, stavano all'interno del parapetto insieme con i sacerdoti senza difetti e ricevevano le porzioni a loro spettanti

μὴν ἐσθήσεσιν ἰδιωτικαῖς ἐχρῶντο· τὴν γὰρ ἱερὰν ὁ λει-
165 τουργῶν ἠμφιέννυτο μόνος. ἐπὶ δὲ τὸ θυσιαστήριον καὶ τὸν 229
ναὸν ἀνέβαινον οἱ τῶν ἱερέων ἄμωμοι, βύσσον μὲν ἀμπεχό-
μενοι, μάλιστα δ' ἀπ' ἀκράτου νήφοντες δέει τῆς θρησκείας,
ὡς μή τι παραβαῖεν ἐν τῇ λειτουργίᾳ. ὁ δὲ ἀρχιερεὺς ἀνήει 230
μὲν σὺν αὐτοῖς, ἀλλ' οὐκ ἀεί, ταῖς δ' ἑβδομάσι καὶ νουμη-
170 νίαις καὶ εἴ τις ἑορτὴ πάτριος ἢ πανήγυρις ἦν πάνδημος
ἀγομένη δι' ἔτους. ἐλειτούργει δὲ τοὺς μηροὺς μὲν ἄχρις 231
αἰδοίου διαζώσματι καλύπτων, λινοῦν δὲ ὑποδύτην ἔνδοθεν
λαμβάνων καὶ ποδήρη καθύπερθεν ὑακίνθινον, ἔνδυμα στρογ-
γύλον θυσανωτόν· τῶν δὲ θυσάνων ἀπήρτηντο κώδωνες χρύ-
175 σεοι καὶ ῥοαὶ παράλληλοι, βροντῆς μὲν οἱ κώδωνες, ἀστρα-
πῆς δ' αἱ ῥοαὶ σημεῖον. ἡ δὲ τὸ ἔνδυμα τῷ στέρνῳ προση- 232
λοῦσα ταινία πέντε διηνθισμένη ζώναις πεποίκιλτο, χρυσοῦ
τε καὶ πορφύρας καὶ κόκκου, πρὸς δὲ βύσσου καὶ ὑακίνθου,
δι' ὧν ἔφαμεν καὶ τὰ τοῦ ναοῦ καταπετάσματα συνυφάνθαι.
180 τούτοις δὲ καὶ ἐπωμίδα κεκραμένην εἶχεν, ἐν ᾗ πλείων χρυ- 233
σὸς ἦν. σχῆμα μὲν οὖν ἐνδυτοῦ θώρακος εἶχεν, δύο δ' αὐτὴν
ἐνεπόρπουν ἀσπιδίσκαι χρυσαῖ, κατεκέκλειντο δ' ἐν ταύταις
κάλλιστοί τε καὶ μέγιστοι σαρδόνυχες, τοὺς ἐπωνύμους τῶν
τοῦ ἔθνους φυλῶν ἐπιγεγραμμέναι. κατὰ δὲ θάτερον ἄλλοι 234
185 προσήρτηντο λίθοι δώδεκα, κατὰ τρεῖς εἰς τέσσαρα μέρη
διῃρημένοι, σάρδιον τόπαζος σμάραγδος, ἄνθραξ ἴασπις σάπ-
φειρος, ἀχάτης ἀμέθυστος λιγύριον, ὄνυξ βήρυλλος χρυσό-
λιθος, ὧν ἐφ' ἑκάστου πάλιν εἷς τῶν ἐπωνύμων ἐγέγραπτο.
τὴν δὲ κεφαλὴν βυσσίνη μὲν ἔσκεπεν τιάρα, κατέστεπτο δ' 235
190 ὑακίνθῳ, περὶ ἣν χρυσοῦς ἄλλος ἦν στέφανος ἔκτυπα φέρων
τὰ ἱερὰ γράμματα· ταῦτα δ' ἐστὶ φωνήεντα τέσσαρα. ταύτην 236

164. ἐσθήσεσιν: ἐσθῆσιν L ἐσθήτεσιν P 167. δέει: ἀεὶ δέει PAM 168. ἀνήει: ἀνείη PAL ἀνίει RV² 170. ἦν Destinon ἢ PAL om. MVRC 171. μὲν ἄχρις: μέχρις P 172. δὲ: τε PAMVRC 174. θυσανωτόν: θυσανωτὸν ἔργον MVRC 180. κεκραμένην: κρεμαμένην L | πλείων: πλείω PAVR πλεῖον C 181. οὖν: om. ALC | ἐνδυτοῦ: ἐπενδύτου L fortasse recte 182. ἐνεπόρπουν: ἐνεπόρπων PA 187. ἀμέθυστος: ἀμέθυσος AML | βήρυλλος: βηρύαλλος PA

per diritto di nascita, ma portavano vesti comuni, perché solo chi officiava era ricoperto delle sacre vesti. All'altare e al santuario salivano i sacerdoti mondi da ogni macchia, vestiti di bisso, che osservavano un'assoluta astinenza dal vino puro per rispetto della liturgia, nel timore di trasgredirne qualche norma. Con loro saliva anche il sommo sacerdote, non sempre però, ma solo nei giorni di sabato, nei noviluni o quando cadeva qualche festa nazionale o l'assemblea annuale di tutto il popolo. Egli officiava con le cosce coperte fino all'inguine da un paio di brache, poi una sottoveste di lino e sopra una veste color azzurro lunga fino ai piedi, indumento sontuoso e ornato di frange, e dalle frange pendevano alternativamente campanelli d'oro e melegrane, i campanelli simboli del tuono e le melegrane del fulmine. La fascia che stringeva al petto la veste era ricamata a strisce di cinque colori, l'oro, la porpora, il rosso oltre al lino e all'azzurro, di cui dicemmo sono intessute anche le cortine del tempio[35]. Degli stessi colori era intessuta anche la mantellina[36], ma con maggior quantità di oro. La mantellina assomigliava a un corpetto, e la fissavano due fermagli d'oro a forma di scudetti che racchiudevano delle grosse e magnifiche gemme su cui erano incisi i nomi degli eponimi delle tribú che compongono la nazione[37]. Sul davanti pendevano altre dodici pietre, divise a tre a tre in quattro file, una sardonica, un topazio e uno smeraldo, un carbuncolo, un diaspro e uno zaffiro, un'agata, un'ametista e un ligurio, un onice, un berillo e un crisolito, su ciascuna delle quali era inciso ancora una volta il nome di uno degli eponimi. Il capo era coperto da una tiara di bisso con l'orlo in color azzurro cinto da una corona d'oro che recava in rilievo le lettere sacre, che sono quattro vocali[38]. Queste vesti

229 230 231 232 233 234 235 236

μὲν οὖν τὴν ἐσθῆτα οὐκ ἐφόρει χρόνιον, λιτοτέραν δ' ἀνελάμβανεν, ὁπότε δ' εἰσίοι εἰς τὸ ἄδυτον· εἰσῄει δ' ἅπαξ κατ' ἐνιαυτὸν μόνος ἐν ᾗ νηστεύειν ἔθος ἡμέρᾳ πάντας τῷ θεῷ.
195 καὶ τὰ μὲν περὶ τῆς πόλεως καὶ τοῦ ναοῦ τῶν τε περὶ τοῦτον 237
ἐθῶν καὶ νόμων αὖθις ἀκριβέστερον ἐροῦμεν· οὐ γὰρ ὀλίγος περὶ αὐτῶν καταλείπεται λόγος.

5, 8. ἡ δ' Ἀντωνία κατὰ γωνίαν μὲν δύο στοῶν ἔκειτο 238
τοῦ πρώτου ἱεροῦ, τῆς τε πρὸς ἑσπέραν καὶ τῆς πρὸς ἄρκτον,
200 δεδόμητο δ' ὑπὲρ πέτρας πεντηκονταπήχους μὲν ὕψος, περικρήμνου δὲ πάσης· ἔργον δ' ἦν Ἡρώδου τοῦ βασιλέως, ἐν ᾧ μάλιστα τὸ φύσει μεγαλόνουν ἐπεδείξατο. πρῶτον μὲν 239
γὰρ ἐκ ῥίζης ἡ πέτρα πλαξὶ κεκάλυπτο λείαις λίθων, εἴς τε κάλλος καὶ ὡς ἀπολισθάνοι πᾶς ὁ προσβαίνειν ἢ κατιέναι
205 πειρώμενος. ἔπειτα πρὸ τῆς τοῦ πύργου δομήσεως τριῶν 240
πηχῶν τεῖχος ἦν, ἐνδοτέρω δὲ τούτου τὸ πᾶν ἀνάστημα τῆς Ἀντωνίας ἐπὶ τεσσαράκοντα πήχεις ἠγείρετο. τὸ δ' ἔνδον 241
βασιλείων εἶχε χώραν καὶ διάθεσιν· μεμέριστο γὰρ εἰς πᾶσαν οἴκων ἰδέαν τε καὶ χρῆσιν περίστοά τε καὶ βαλανεῖα καὶ
210 στρατοπέδων αὐλαῖς πλατείαις, ὡς τῷ μὲν πάντ' ἔχειν τὰ χρειώδη πόλις εἶναι δοκεῖν, τῇ πολυτελείᾳ δὲ βασίλειον.
πυργοειδὴς δὲ οὖσα τὸ πᾶν σχῆμα κατὰ γωνίαν τέσσαρσιν 242
ἑτέροις διείληπτο πύργοις, ὧν οἱ μὲν ἄλλοι πεντήκοντα τὸ ὕψος, ὁ δ' ἐπὶ τῇ μεσημβρινῇ καὶ κατὰ ἀνατολὴν γωνίᾳ
215 κείμενος ἑβδομήκοντα πηχῶν ἦν, ὡς καθορᾶν ὅλον ἀπ' αὐτοῦ τὸ ἱερόν. καθὰ δὲ συνῆπτε ταῖς τοῦ ἱεροῦ στοαῖς εἰς ἀμφο- 243
τέρας εἶχε καταβάσεις, δι' ὧν κατῄεσαν οἱ φρουροί· καθῆστο 244
γὰρ ἀεὶ ἐπ' αὐτῆς τάγμα Ῥωμαίων, καὶ διιστάμενοι περὶ τὰς στοὰς μετὰ τῶν ὅπλων ἐν ταῖς ἑορταῖς τὸν δῆμον, ὡς

192. χρόνιον: τὸν ἄλλον χρόνον LVRC 193. εἰσίοι: εἰσῄοι PC εἰσίει LR
195. τε περί: ἐπὶ PM τ' ἐπὶ A τε ἐπὶ VRC | τοῦτον: τούτοις PAMVRC
201. τοῦ: om. LVRC 204. ἢ: καὶ ALVRC 206. ἀνάστημα: διάστημα PAMVRC 210. αὐλαῖς πλατείαις: αὐλᾶς πλατείαις A[1] αὐλὰς πλατείας C | τῷ: τὸ PVR 216. καθὰ: καθάπερ L | συνῆπτε: συνῆπται A συνῆπτο MLVRC
217. κατῄεσαν: κατίεσαν P[1]A κατιόντες VR κατιῶντες C

il sommo sacerdote non le portava comunemente, ma ne usava di meno sfarzose, come quando entrava nel santo dei santi[39], e vi entrava da solo una sola volta all'anno, nel giorno in cui tutti osservavano il digiuno in onore del dio[40]. Riguardo alla 237
città, al tempio e agli usi e alle regole ad esso relativi parleremo in seguito con maggiori particolari; non è poco infatti ciò che ne rimane da dire.

5, 8. L'Antonia sorgeva all'angolo in cui si congiunge- 238
vano l'ala settentrionale e quella occidentale del portico che recingeva la parte esterna del tempio, costruita su una prominenza rocciosa dell'altezza di cinquanta cubiti e tutta dirupata all'intorno. Era stata fabbricata dal re Erode, che vi aveva sfoggiato tutto il suo naturale trasporto per la sontuosità[41]. Anzitutto infatti la roccia era stata ricoperta fin dalla 239
base con lastre di pietra levigata, sia per ornamento, sia per far ruzzolare chiunque avesse tentato di dar la scalata o di discendere. Poi davanti alla torre correva un muro di recin- 240
zione dell'altezza di tre cubiti, e al riparo di questo si elevava tutto il corpo dell'Antonia per un'altezza di quaranta cubiti.
L'interno aveva l'ampiezza e la sistemazione di una reggia; 241
infatti era suddiviso in appartamenti di ogni forma e destinazione, con portici, bagni e ampie caserme, sí da sembrare una città per il fatto che era fornita di tutto il necessario, e una reggia per la sua magnificenza. Pur avendo nell'insieme 242
la forma di una torre, aveva sugli spigoli altre quattro torri, tutte dell'altezza di cinquanta cubiti tranne quella dell'angolo sud-orientale, che s'innalzava per settanta cubiti, sí che dalla sua sommità si poteva spaziare su tutto il tempio. Sui due lati 243
che toccavano i portici del tempio aveva delle scale per poterli raggiungere, che si usavano per farvi scendere gli uomini di guardia[42]. Infatti al suo interno era sempre acquartierata una 244
coorte romana, che nelle feste si schierava in armi sopra ai

220 μή τι νεωτερισθείη, παρεφύλαττον· φρούριον γὰρ ἐπέκειτο 245
τῇ πόλει μὲν τὸ ἱερόν, τῷ ἱερῷ δ' ἡ 'Αντωνία, κατὰ δὲ
ταύτην οἱ τῶν τριῶν φύλακες ἦσαν· καὶ τῆς ἄνω δὲ πόλεως
ἴδιον φρούριον ἦν τὰ 'Ηρώδου βασίλεια. ἡ Βεζεθὰ δὲ λόφος 246
διῄρητο μέν, ὡς ἔφην, ἀπὸ τῆς 'Αντωνίας, πάντων δ' ὑψη-
225 λότατος ὢν μέρει τῆς καινῆς πόλεως προσῴκιστο, καὶ μό-
νος τῷ ἱερῷ κατ' ἄρκτον ἐπεσκότει. περὶ μὲν δὴ τῆς πό- 247
λεως καὶ τῶν τειχῶν αὖθις εἰπεῖν ἀκριβέστερον ἕκαστα προ-
τεθειμένοις ἐπὶ τοῦ παρόντος ἀπόχρη.

6, 1. τὸ μάχιμον δ' ἐν αὐτῇ καὶ στασιάζον πλῆθος περὶ 248
Σίμωνα μὲν ἦσαν μύριοι δίχα τῶν 'Ιδουμαίων, πεντήκοντα
δ' ἡγεμόνες τῶν μυρίων, ἐφ' οἷς οὗτος κύριος τῶν ὅλων.
'Ιδουμαῖοι δ' αὐτῷ συντελοῦντες εἰς πεντακισχιλίους ἄρχον- 249
5 τας εἶχον δέκα· τούτων προύχειν ἐδόκουν ὅ τε τοῦ Σωσᾶ
'Ιάκωβος καὶ Σίμων υἱὸς Καθλᾶ. 'Ιωάννης δὲ τὸ ἱερὸν κατει- 250
ληφὼς ἑξακισχιλίους ὁπλίτας εἶχεν ὑφ' ἡγεμόνας εἴκοσι.
προσεγένοντο δ' αὐτῷ τότε καὶ οἱ ζηλωταὶ παυσάμενοι τοῦ
διαφέρεσθαι. δισχίλιοι μὲν ὄντες καὶ τετρακόσιοι, χρώμενοι
10 δ' ἄρχοντι τῷ καὶ πρότερον 'Ελεαζάρῳ καὶ Σίμωνι τῷ τοῦ
'Αρινοῦ. πολεμούντων δὲ τούτων, ὡς ἔφαμεν, ἆθλον ὁ δῆμος 251
ἦν ἑκατέρων, καὶ τὸ μὴ συναδικοῦν τοῦ λαοῦ μέρος ὑπ'
ἀμφοῖν διηρπάζετο. κατεῖχεν δ' ὁ μὲν Σίμων τήν τε ἄνω 252
πόλιν καὶ τὸ μέγα τεῖχος ἄχρι τοῦ Κεδρῶνος, τοῦ τε ἀρ-
15 χαίου τείχους ὅσον ἀπὸ τῆς Σιλωᾶς ἀνακάμπτον εἰς ἀνα-
τολὴν μέχρι τῆς Μονοβάζου κατέβαινεν αὐλῆς· βασιλεὺς δ'
οὗτός ἐστιν τῶν ὑπὲρ Εὐφράτην 'Αδιαβηνῶν· κατεῖχε δὲ 253
καὶ τὴν πηγὴν καὶ τῆς ῎Ακρας, αὕτη δ' ἦν ἡ κάτω πόλις,

223. Βεζεθά: βεζαθὰ P βησσαθὴ L 226. τῷ ἱερῷ: τὸ ἱερὸν PA | ἐπεσκότει: ἐπεσκόπει LVRC 227-8. προτεθειμένοις: προτεθειμένος MVRC προτιθέμενος L 228. ἀπόχρη: ἀποχρώντως εἴρηκα MLVRC
6, 6. Καθλᾶ: καθλά PA κλαθᾶ M κατθέα L Κααθᾶ potius scribendum contendit Schlatter, Hebr. Namen p. 98. 10. τῷ: τὸ P om. VRC 11. 'Αρινοῦ: ἀριανοῦ PAM ἀρειανοῦ VR ἰαείρου C 16. μέχρι: ὃ μέχρι PAVRC 17. ἐστιν: ἦν PAMVRC 18. τῆς ῎Ακρας: τὰς ἄκρας P τὴν ἄκραν C

portici per vigilare sul popolo e impedire qualche sommossa.
Se il tempio dominava la città come una fortezza, l'Antonia 245
a sua volta dominava il tempio, e chi la occupava dominava
su tutti e tre, anche se la città aveva la propria rocca nel pa-
lazzo di Erode[43]. La collina di Bezetha, come dissi, fu separata 246
dall'Antonia[44], e poiché era la piú elevata di tutte, quando vi
si costruí una parte della città nuova era l'unico ostacolo a
impedire dal nord la vista del tempio. Poiché mi propongo 247
di parlare in seguito con piú ampi particolari[45] della città e
delle mura, per ora potrà bastare quanto ho detto.

6, 1. Nella città[1] il numero dei combattenti e dei rivolu- 248
zionari agli ordini di Simone era di diecimila[2], a parte gli
Idumei, con cinquanta capitani e lui come capo supremo. Gli 249
Idumei che stavano dalla sua parte erano circa cinquemila
con dieci capitani, fra cui primeggiavano Giacomo figlio di
Sosas e Simone figlio di Cathlas[3]. Giovanni quando occupò 250
il tempio aveva seimila uomini sotto venti capitani, ma allora
anche gli Zeloti, superati i motivi di contrasto[4], si erano uniti
a lui, ed erano duemilaquattrocento con a capo l'Eleazar di
prima[5] e Simone figlio di Arino. Fra queste due fazioni in 251
lotta il popolo, già lo dicemmo[6], stava in mezzo come premio
per il vincitore, e chi non partecipava alle loro malefatte era
esposto alle spogliazioni da parte di entrambe. Simone teneva 252
in suo potere la città alta, il muro grande fino al Cedron e
quel settore del muro antico che, volgendo dalla Siloa verso
oriente, scendeva giú fino al palazzo di Monobazo, che fu re
dell'Adiabene oltre l'Eufrate; egli controllava inoltre la fonte 253
e parte dell'Acra, cioè la città bassa, fino alla reggia di Elena

www.scribd.com/Cultura_in_Ita5

τὰ μέχρι τῶν Ἑλένης βασιλείων τῆς τοῦ Μονοβάζου μητρός,
20 ὁ δ' Ἰωάννης τό θ' ἱερὸν καὶ τὰ πέριξ ἐπ' οὐκ ὀλίγον, τόν 254
τε Ὀφλᾶν καὶ τὴν Κεδρῶνα καλουμένην φάραγγα. τὸ με-
ταξὺ δὲ τούτων ἐμπρήσαντες τῷ πρὸς ἀλλήλους πολέμῳ χώ-
ραν ἀνεῖσαν· οὐδὲ γὰρ πρὸς τοῖς τείχεσιν ἐστρατοπεδευμέ- 255
νων Ῥωμαίων ἔνδον ἡ στάσις ἠρέμει, βραχὺ δὲ πρὸς τὴν
25 πρώτην ὑπονήψαντες ἐκδρομὴν ἀνενόσουν καὶ κατὰ σφᾶς
πάλιν διαστάντες ἐμάχοντο, τὰ κατ' εὐχήν τε πάντα τοῖς
πολιορκοῦσιν ἔπραττον. οὔτε γοῦν αὐτοί τι χεῖρον ὑπὸ Ῥω- 256
μαίων ἔπαθον ὧν ἀλλήλους ἔδρασαν, οὔτε μετὰ τούτους ἡ
πόλις ἐπειράθη καινοτέρου πάθους, ἀλλ' ἡ μὲν χαλεπώτερόν
30 τι πρὸ τοῦ πεσεῖν ἠτύχησεν, οἱ δ' ἑλόντες αὐτὴν κατώρθωσάν
τι μεῖζον. φημὶ γὰρ ὡς τὴν μὲν πόλιν ἡ στάσις, Ῥωμαῖοι 257
δ' εἷλον τὴν στάσιν, ἥπερ ἦν πολὺ τῶν τειχῶν ὀχυρωτέρα·
καὶ τὸ μὲν σκυθρωπὸν τοῖς οἰκείοις, τὸ δίκαιον δ' ἂν τις
εὐλόγως Ῥωμαίοις προσγράφοι. νοείτω δ' ὅπῃ τοῖς πράγ-
35 μασιν ἕκαστος ἄγεται.

6, 2. τῶν γε μὴν ἔνδον οὕτως διακειμένων ὁ Τίτος μετ' 258
ἐπιλέκτων ἱππέων περιιὼν ἔξωθεν ᾗ προσβάλλοι τοῖς τεί-
χεσι κατεσκέπτετο. ἀπορουμένῳ δὲ πάντοθεν, οὔτε γὰρ κατὰ 259
τὰς φάραγγας ἦν προσιτὸν καὶ κατὰ θάτερα τὸ πρῶτον τεῖ-
40 χος ἐφαίνετο τῶν ὀργάνων στερεώτερον, ἐδόκει κατὰ τὸ
Ἰωάννου τοῦ ἀρχιερέως μνημεῖον προσβαλεῖν· ταύτῃ γὰρ 260
τό τε πρῶτον ἦν ἔρυμα χθαμαλώτερον καὶ τὸ δεύτερον οὐ
συνῆπτεν, ἀμελησάντων καθὰ μὴ λίαν ἡ καινὴ πόλις συνῴ-
κιστο τειχίζειν, ἀλλ' ἐπὶ τὸ τρίτον ἦν εὐπέτεια, δι' οὗ τήν
45 τε ἄνω πόλιν καὶ διὰ τῆς Ἀντωνίας τὸ ἱερὸν αἱρήσειν ἐπε-
νόει. ἐν δὲ τούτῳ περιιόντος αὐτοῦ τοξεύεταί τις τῶν φίλων, 261

19. τὰ: καὶ τὰ LVRC 23. ἀνεῖσαν: ἀνῆσαν ML 26. τὰ κατ' εὐχήν τε: κατά τε εὐχὴν VRC 36. οὕτως: οὕτω VRC 37. ᾗ: πως L | προσβάλλοι: προσβάλοι PAR προσβαλεῖ M προσβάλλει V 39. ἦν: ἦν που VRC 44. εὐπέτεια: ἠνεπέτει P ἦν εὐπέτει A ἐπέτεινε M 45. τε: om. PALVRC

madre di Monobazo[7]. Giovanni occupava il tempio e non 254
pochi dei suoi dintorni, l'Ophel e la valle detta Cedron[8].
Avendo distrutto col fuoco tutto ciò che si trovava fra le rispettive linee, essi si erano creato uno spazio per battersi, e i 255
loro scontri non cessarono nemmeno quando i romani si furono accampati presso le mura; dopo essere per poco rinsaviti quando fecero la prima sortita[9], erano poi ricaduti nella follia dei contrasti interni, tornando a scontrarsi fra loro e a fare quanto di meglio gli assedianti non potevano augurarsi.
Fu cosí che né essi ebbero poi a subire da parte dei romani 256
colpi piú gravi di quelli che già s'erano scambiati fra loro, né la città dopo di loro ebbe a sperimentare nuove sventure, che anzi essa soffrí le calamità peggiori prima dell'espugnazione, e i suoi conquistatori le arrecarono piú sollievo che danno[10].
Voglio dire che la città fu abbattuta dalla rivoluzione, e poi 257
i romani abbatterono la rivoluzione, che era molto piú forte delle mura; e di quella catastrofe non a torto si potrebbe attribuire l'odiosità a chi stava dentro, e ai romani il merito di aver restaurata la giustizia. Ma ognuno la pensi a suo modo, lasciandosi guidare dall'esame dei fatti.

6, 2. Questa era la situazione all'interno della città, mentre 258
Tito con una scorta di cavalieri scelti costeggiava le mura alla ricerca del luogo piú adatto per un assalto. Poiché da 259
ogni parte si presentavano difficoltà insormontabili – dato che i burroni impedivano di appressarsi e sul lato opposto il primo muro appariva troppo solido per le sue macchine – deliberò di sferrare l'attacco nel settore antistante alla tomba del sommo sacerdote Giovanni[11]. Ivi infatti il primo muro 260
era piú basso e il secondo non vi si saldava, essendosi trascurato di fortificare le zone della città nuova non fittamente popolate, mentre poi era facile accostarsi al terzo muro, attraverso il quale egli progettava di impadronirsi della città alta e, attraverso l'Antonia, del santuario. Durante l'ispezione di 261
Tito attorno alle mura, uno dei suoi amici, di nome Nica-

ὄνομα Νικάνωρ, κατὰ τὸν λαιὸν ὦμον, ἔγγιον μετὰ τοῦ
Ἰωσήπου προσελθὼν καὶ πειρώμενος εἰρηνικὰ τοῖς ἐπὶ τοῦ
τείχους, οὐ γὰρ ἄγνωστος ἦν, διαλέγεσθαι. διὰ τούτου τὰς 262
50 ὁρμὰς αὐτῶν ἐπιγνοὺς Καῖσαρ, εἰ μηδὲ τῶν ἐπὶ σωτηρίᾳ
προσιόντων ἀπέχοιντο, παροξύνεται πρὸς τὴν πολιορκίαν,
ἅμα τε οὖν τοῖς τάγμασι δῃοῦν τὰ πρὸ τῆς πόλεως ἠφίει
καὶ συμφοροῦντας ἐκέλευσε τὴν ὕλην ἐγείρειν χώματα.
τριχῇ δὲ διατάξας τὴν στρατιὰν πρὸς τὰ ἔργα μέσους ἵστησι 263
55 τῶν χωμάτων τούς τε ἀκοντιστὰς καὶ τοξότας καὶ πρὸ τού-
των τοὺς ὀξυβελεῖς καὶ καταπέλτας καὶ τὰς λιθοβόλους μη-
χανάς, ὡς τάς τ' ἐκδρομὰς εἴργοι τῶν πολεμίων ἐπὶ τὰ
ἔργα καὶ τοὺς ἀπὸ τοῦ τείχους κωλύειν πειρωμένους. κοπτο- 264
μένων δὲ τῶν δένδρων τὰ προάστεια μὲν ἐν τάχει γεγύμνωτο,
60 συμφορουμένων δ' ἐπὶ τὰ χώματα τῶν ξύλων καὶ τῆς στρα-
τιᾶς ἁπάσης ἐπὶ τὸ ἔργον ὡρμημένης οὐδὲ τὰ παρὰ τῶν
Ἰουδαίων ἠρέμει. τὸν μὲν οὖν δῆμον ἐν ἁρπαγαῖς ὄντα καὶ 265
φόνοις συνέβαινε τότε θαρρεῖν· ἀναπνεύσειν τε γὰρ περι-
σπωμένων πρὸς τοὺς ἔξωθεν ὑπελάμβανον καὶ λήψεσθαι παρὰ
65 τῶν αἰτίων αὐτοὶ δίκας, εἰ Ῥωμαῖοι περιγένοιντο.

6, 3. Ἰωάννης δέ, καίτοι χωρεῖν ἐπὶ τοὺς ἔξωθεν πο- 266
λεμίους τῶν περὶ αὐτὸν ὡρμημένων, δέει τοῦ Σίμωνος ἔμε-
νεν. οὐ μὴν ὁ Σίμων ἠρέμει, καὶ γὰρ ἦν ἐγγίων τῇ πολιορ- 267
κίᾳ, τὰ δ' ἀφετήρια διίστησιν ἐπὶ τοῦ τείχους, ὅσα Κέστιόν
70 τε ἀφῄρηντο πρότερον καὶ τὴν ἐπὶ τῆς Ἀντωνίας φρουρὰν ἑλόν-
τες ἔλαβον. ἀλλὰ τούτων μὲν τοῖς πολλοῖς ἀχρεῖος ἡ κτῆσις 268
ἦν δι' ἀπειρίαν· ὀλίγοι δ' ὑπὸ τῶν αὐτομόλων διδαχθέντες
ἐχρῶντο κακῶς τοῖς ὀργάνοις, χερμάσι δὲ καὶ τόξοις τοὺς
χωννύντας ἔβαλλον ἀπὸ τοῦ τείχους καὶ κατὰ συντάξεις
75 ἐκτρέχοντες αὐτοῖς συνεπλέκοντο. τοῖς δ' ἐργαζομένοις ἀπὸ 269

52. ἅμα τε οὖν Holwerda ἅμα τε σὺν τοῖς codd. 53 συμφοροῦντας: συμφύροντας P συμφέροντας AMVRC 66. ἔξωθεν: ἔξω MLVRC 67-8. ἔμενεν: ἔμεινεν L 68. ἐγγίων: ἐτιὼν P ἔτι ὢν A ἐγγίζων L ἐγγιῶν VRC
72. ὀλίγοι: ὀλίγων P ὀλίγον VRC | αὐτομόλων: πολεμίων αὐτομόλων MVRC
75. ἀπὸ: ἦν ἀπὸ C

nore[12], restò ferito da un dardo alla spalla sinistra mentre assieme a Giuseppe si era spinto troppo avanti per parlare di pace con i difensori della città, che ben lo conoscevano. Da 262 ciò Cesare comprese le loro intenzioni ostili, visto che non rispettavano nemmeno chi si avvicinava per il loro bene, e fu spinto a intraprendere le operazioni di assedio; pertanto ordinò alle legioni di devastare l'intero territorio antistante alla città e di raccoglierne tutto il legname per innalzare terrapieni. Divise quindi l'esercito in tre parti per l'esecuzione di tali 263 lavori, e negli intervalli fra i terrapieni schierò i tiratori di giavellotto e gli arcieri, e dinanzi a costoro i lanciamissili, le catapulte e le baliste per impedire ogni sortita del nemico contro i lavori in corso e ogni analogo tentativo da parte dei difensori sulle mura. Abbattuti gli alberi, in breve i dintorni 264 della città furono ridotti a una landa, ma, mentre si trasportava il legname per i terrapieni e tutto l'esercito attendeva alacremente al lavoro, anche le milizie dei giudei non stavano a guardare. Intanto il popolo, sottoposto alle ruberie e alle 265 stragi, riprese animo; sperava infatti di poter avere un po' di tregua, dovendo i loro aguzzini occuparsi dei nemici esterni, e di potersi un giorno vendicare dei colpevoli se i romani avessero vinto.

6, 3. Giovanni, sebbene i suoi ardessero dal desiderio di 266 dare addosso ai nemici esterni, non si muoveva per timore di Simone. Simone invece, che era piú vicino agli assedianti, 267 non rimase inoperoso, ma mise in posizione sul muro le artiglierie, sia quelle a suo tempo strappate a Cestio, sia quelle che erano state prese dopo aver battuto la guarnigione dell'Antonia[13]. Ma per i piú il disporre di tali ordigni non era di 268 alcun giovamento dato che non sapevano usarli; alcuni pochi, tuttavia, istruiti dai disertori, li misero in azione alla meno peggio, e con pietre e con dardi battevano dall'alto del muro quelli che lavoravano ai terrapieni, oppure li assaltavano facendo sortite in gruppi. Ma i romani impegnati nei lavori si 269

www.scribd.com/Cultura_in_Ita5

μὲν τῶν βελῶν ἦν σκέπη γέρρα τῶν χαρακωμάτων ὑπερτεταμένα, τὰ δ' ἀφετήρια πρὸς τοὺς ἐκθέοντας· θαυμαστὰ δὲ πᾶσι μὲν κατεσκεύαστο τοῖς τάγμασι, διαφόρως δὲ τῷ δεκάτῳ βιαιότεροί τε ὀξυβελεῖς καὶ μείζονα λιθοβόλα, δι' ὧν 80 οὐ μόνον τὰς ἐκδρομὰς ἀλλὰ καὶ τοὺς ἐπὶ τοῦ τείχους ἀνέτρεπον. ταλαντιαῖοι μὲν γὰρ ἦσαν αἱ βαλλόμεναι πέτραι, 270 δύο δὲ καὶ πλείονας ᾔεσαν σταδίους· ἡ πληγὴ δ' οὐ τοῖς προεντυχοῦσι μόνον, ἐπὶ πολὺ δὲ καὶ τοῖς μετ' ἐκείνους ἦν ἀνυπόστατος. οἵ γε μὴν Ἰουδαῖοι τὸ πρῶτον ἐφυλάττοντο 271 85 τὴν πέτραν· λευκὴ γὰρ ἦν, ὥστε μὴ τῷ ῥοίζῳ σημαίνεσθαι μόνον, ἀλλὰ καὶ τῇ λαμπρότητι προορᾶσθαι. σκοποὶ οὖν 272 αὐτοῖς ἐπὶ τῶν πύργων καθεζόμενοι προεμήνυον, ὁπότε σχασθείη τὸ ὄργανον καὶ ἡ πέτρα φέροιτο, τῇ πατρίῳ γλώσσῃ βοῶντες «ὁ υἱὸς ἔρχεται». διίσταντο δὲ καθ' οὓς ᾔει καὶ 90 προκατεκλίνοντο, καὶ συνέβαινε φυλαττομένων ἄπρακτον διεκπίπτειν τὴν πέτραν. ἀντεπινοοῦσι δὲ Ῥωμαῖοι μελαίνειν 273 αὐτήν· τότε γὰρ οὐκέθ' ὁμοίως προορωμένης εὐστόχουν καὶ πολλοὺς ἅμα βολῇ μιᾷ διέφθειρον. ἀλλ' οὐδὲ κακούμενοι 274 μετ' ἀδείας παρεῖχον Ῥωμαίοις ἐγείρειν τὰ χώματα, πάσῃ 95 δ' ἐπινοίᾳ καὶ τόλμῃ χρώμενοι καὶ νύκτωρ καὶ μεθ' ἡμέραν εἶργον.

6, 4. τῶν δ' ἔργων συντετελεσμένων μολιβίδι μὲν καὶ 275 λίνῳ διαμετροῦσιν οἱ τέκτονες τὸ διάστημα πρὸς τὸ τεῖχος, ἀπὸ τῶν χωμάτων ῥίψαντες· οὐ γὰρ ἐνῆν ἄλλως ἄνωθεν 100 βαλλομένοις· εὑρόντες δ' ἐξικνεῖσθαι δυναμένας τὰς ἑλεπόλεις προσῆγον. καὶ Τίτος ἐγγυτέρω τὰ ἀφετήρια διαστήσας, ὡς 276 μὴ τοὺς κριοὺς εἴργοιεν ἀπὸ τοῦ τείχους, ἐκέλευσε τύπτειν. τριχόθεν δ' ἐξαισίου κτύπου περιηχήσαντος αἰφνιδίως τὴν 277 πόλιν κραυγή τε παρὰ τῶν ἔνδον ἤρθη καὶ τοῖς στασιασταῖς

76. ἦν: ἡ PALVRC 81. αἱ βαλλόμεναι πέτραι: οἱ βαλλόμενοι πέτροι MVR 82. πλείονας: πλεῖον MVRC πλέον L | ᾔεσαν: ἀπῄεσαν MLVRC 89. ὁ υἱός: οὗιος MLC 90. καὶ συνέβαινε: συνέβαινε(ν) δὲ LVRC 93. ἀλλ' οὐδὲ: ἄλλως δὲ L 98. διαμετροῦσιν: διεμέτρουν L | πρὸς: τὸ πρὸς L

riparavano dai colpi mediante graticci stesi sopra le palizzate[14] e respingevano gli assalitori con l'artiglieria. Tutte le legioni disponevano di magnifici ordigni, ma specialmente la legione decima[15], che aveva catapulte piú potenti e baliste piú grosse con le quali non solo respingevano le sortite, ma battevano anche i difensori sulle mura. Scagliavano pietre del peso di 270 un talento e avevano una gittata di due stadi e piú[16]; i loro colpi abbattevano non soltanto i primi ad essere raggiunti, ma anche quelli che stavano dietro per largo tratto. I giudei 271 dapprincipio schivarono i proiettili perché erano di pietra bianca, e perciò non soltanto erano preannunciati dal sibilo, ma si scorgevano da lontano per la loro lucentezza. Le loro 272 sentinelle collocate sulle torri, quando l'ordigno veniva scaricato e partiva il proiettile, davano l'allarme gridando nella loro lingua: « Arriva il figlio[17]! ». Subito quelli su cui stava per piombare si sparpagliavano e si gettavano a terra, sí che il proiettile li sorvolava senza causar danni e cadeva alle loro spalle. Allora i romani ricorsero all'espediente di colorare il 273 proiettile di nero, e poiché cosí non era piú tanto facile scorgerlo da lontano, essi piazzarono molti colpi e facevano molte vittime insieme con un sol colpo. Ma, pur subendo tali per- 274 dite, i giudei non permettevano ai romani d'innalzare tranquillamente i terrapieni, e ricorrendo a ogni forma di astuzia e di coraggio li sottoponevano ad azioni di disturbo di notte e di giorno.

6, 4. Innalzati i terrapieni, i genieri ne misurarono la di- 275 stanza dal muro scagliando un piombino legato a un filo, né v'era altro modo essendo essi bersagliati dall'alto, e trovando che le elepoli potevano raggiungerlo le accostarono. Poi Tito 276 fece avvicinare le artiglierie per impedire ai nemici di disturbare l'azione degli arieti[18] e diede ordine di battere. All'im- 277 provviso da tre parti un immenso fragore rimbombò per la città; contemporaneamente si levò il grido degli abitanti e un

105 ἴσον ἐμπίπτει δέος. κοινὸν δ' ἑκάτεροι τὸν κίνδυνον ἰδόντες
κοινὴν ἐπενόουν ἤδη ποιεῖσθαι καὶ τὴν ἄμυναν. διαβοώντων 278
δὲ πρὸς ἀλλήλους τῶν διαφόρων ὡς πάντα πράττοιεν ὑπὲρ
τῶν πολεμίων, δέον, εἰ καὶ μὴ διηνεκῆ δίδωσιν αὐτοῖς ὁμό-
νοιαν ὁ θεός, ἐν γοῦν τῷ παρόντι τὴν πρὸς ἀλλήλους φιλο-
110 νεικίαν ὑπερθεμένους κατὰ Ῥωμαίων συνελθεῖν, κηρύσσει
μὲν ἄδειαν ὁ Σίμων τοῖς ἀπὸ τοῦ ἱεροῦ παρελθεῖν ἐπὶ τὸ
τεῖχος, ἐπιτρέπει δὲ καίπερ ἀπιστῶν ὁ Ἰωάννης. οἱ δὲ 279
τοῦ μίσους καὶ τῶν ἰδίων διαφορῶν λαβόντες ἀμνηστίαν
ἓν σῶμα γίνονται, καὶ τὸ μὲν τεῖχος περισχόντες ἀπ' αὐτοῦ
115 πυρά τε παμπληθῆ κατὰ τῶν μηχανημάτων ἵεσαν καὶ τοὺς
ἐπιβρίθοντας τὰς ἑλεπόλεις ἀδιαλείπτως ἔβαλλον, οἱ τολ- 280
μηρότεροι δὲ κατὰ στίφη προπηδῶντες τὰ γέρρα τῶν
μηχανημάτων ἐσπάραττον καὶ τοῖς ἐπ' αὐτῶν προσπί-
πτοντες ἐπιστήμῃ μὲν ὀλίγα, τόλμῃ δὲ τὰ πλείω περιεγί-
120 νοντο. προσεβοήθει δὲ τοῖς πονοῦσιν αὐτὸς ἀεὶ Τίτος, 281
καὶ παρ' ἑκάτερον τῶν ὀργάνων τούς τε ἱππέας καὶ τοὺς
τοξότας διαστήσας εἶργεν μὲν τοὺς τὸ πῦρ ἐπιφέροντας,
ἀνέστελλεν δὲ τοὺς ἀπὸ τῶν πύργων βάλλοντας, ἐνεργοὺς
δ' ἐποίει τὰς ἑλεπόλεις. οὐ μὴν ταῖς πληγαῖς ὑπήκουε 282
125 τὸ τεῖχος, εἰ μὴ καθόσον ὁ τοῦ πεντεκαιδεκάτου τάγματος
κριὸς γωνίαν διεκίνησε πύργου. τὸ δὲ τεῖχος ἀκέραιον 283
ἦν· οὐδὲ γὰρ εὐθέως συνεκινδύνευε τῷ πύργῳ προύχοντι
πολὺ καὶ μὴ δυναμένῳ συναπορρῆξαί τι ῥᾳδίως τοῦ πε-
ριβόλου.

130 **6,** 5. παυσάμενοι δὲ τῶν ἐκδρομῶν πρὸς ὀλίγον καὶ 284
τοὺς Ῥωμαίους ἐπιτηρήσαντες ἐσκεδασμένους ἐπὶ τὰ ἔργα
καὶ κατὰ τὰ στρατόπεδα, καμάτῳ γὰρ ἀναχωρῆσαι καὶ
δέει τοὺς Ἰουδαίους ἠξίουν, ἐκθέουσι κατὰ τὸν Ἱππικὸν
πύργον διὰ πύλης ἀφανοῦς πάντες, πῦρ τε τοῖς ἔργοις ἐπι-
135 φέροντες καὶ μέχρι τῶν ἐρυμάτων ἐπὶ τοὺς Ῥωμαίους

105. ἰδόντες: εἰδότες PA 108. διηνεκῆ: διηνεκεῖ PA 111. τοῖς: τοὺς A
113. διαφορῶν: διαφόρων PA 115. ἵεσαν: ἴεσαν AM ἐνίεσαν LVRC 116-7.
τολμηρότεροι: τολμηρότατοι L Lat 119-20. περιεγίνοντο: περιεγένοντο C
126. ἀκέραιον: ἀκαίρεον C

grande terrore invase i ribelli. Questi, vedendosi esposti a un comune pericolo, si decisero finalmente a unire le forze per la difesa. Gli uomini delle fazioni avverse presero a gridarsi l'un 278 l'altro che ciò che stavano facendo era tutto a vantaggio dei nemici, mentre invece, anche se il dio non concedeva loro una durevole concordia, era necessario almeno deporre per il momento le scambievoli rivalità e combattere uniti contro i romani. Cosí Simone fece sapere a quelli del tempio che potevano senza timore uscire per difendere le mura, e Giovanni, pur non fidandosi troppo, li lasciò andare. Le due fazioni mi- 279 sero una pietra sopra gli odi e le rivalità private e, formato un solo blocco, presero posizione sulla cinta delle mura scagliando un gran numero di proiettili incendiari contro le macchine e bersagliando senza tregua gli uomini che spingevano le elepoli; i piú coraggiosi, poi, venendo fuori a gruppi, 280 strappavano i graticci delle macchine e, avventandosi contro i serventi, li sopraffacevano, qualche volta perché erano piú valenti ma in genere grazie alla loro audacia. Tito accorreva 281 sempre a sostenere di persona i reparti in difficoltà e, collocati su entrambi i fianchi delle macchine i cavalieri e gli arcieri, tenne in rispetto i difensori che tiravano dalle torri e rese possibile l'azione delle elepoli. Il muro però resisteva ai colpi, 282 e l'ariete della legione decimoquinta riuscí solo a sconnettere lo spigolo di una torre. Ma il muro restò intatto senza essere 283 direttamente interessato dal danno causato alla torre, che sporgeva molto in fuori e che difficilmente avrebbe trascinato seco nella caduta una parte del muro.

6, 5. I giudei sospesero per un poco le sortite e aspetta- 284 rono che i romani, credendo che i nemici si fossero ritirati per stanchezza e paura, sciogliessero le file per tornare ai lavori e ai loro vari accampamenti; allora essi fecero tutt'insieme una sortita attraverso una porta nascosta presso la torre Ippico, portando faci per incendiare i lavori e decisi a spin-

προελθεῖν ὡρμημένοι. πρὸς δὲ τὴν κραυγὴν αὐτῶν οἵ τε πλησίον συνίσταντο ταχέως καὶ οἱ πόρρωθεν συνέθεον. ἔφθανε δ' ἡ Ἰουδαίων τόλμα τὴν Ῥωμαίων εὐταξίαν, καὶ τοὺς προεντυγχάνοντας τρεψάμενοι προσέκειντο καὶ τοῖς συλλεγομένοις. δεινὴ δὲ περὶ τὰς μηχανὰς συμπίπτει μάχη, τῶν μὲν ὑποπιμπράναι, τῶν δὲ κωλύειν βιαζομένων, κραυγή τε παρ' ἀμφοτέρων ἀσήμαντος ἦν, καὶ πολλοὶ τῶν προαγωνιζομένων ἔπιπτον. Ἰουδαῖοι δ' ὑπερεῖχον ἀπονοίᾳ, καὶ τῶν ἔργων ἥπτετο τὸ πῦρ, καταφλεγῆναί τ' ἂν ἐκινδύνευσε πάντα μετὰ τῶν ὀργάνων, εἰ μὴ τῶν ἀπ' Ἀλεξανδρείας ἐπιλέκτων ἀντέστησαν οἱ πολλοὶ παρὰ τὴν σφετέραν ὑπόληψιν ἀνδρισάμενοι· καὶ γὰρ τῶν ἐνδοξοτέρων διήνεγκαν κατὰ ταύτην τὴν μάχην· μέχρι Καῖσαρ τοὺς τῶν ἱππέων δυνατωτάτους ἀναλαβὼν ἐμβάλλει τοῖς πολεμίοις. καὶ δώδεκα μὲν αὐτὸς τῶν προμάχων ἀναιρεῖ, πρὸς δὲ τὸ τούτων πάθος ἐγκλίναντος τοῦ λοιποῦ πλήθους ἑπόμενος συνελαύνει πάντας εἰς τὴν πόλιν κἀκ τοῦ πυρὸς διασώζει τὰ ἔργα. συνέβη δ' ἐν ταύτῃ τῇ μάχῃ καὶ ζωγρηθῆναί τινα τῶν Ἰουδαίων, ὃν ὁ Τίτος ἀνασταυρῶσαι πρὸ τοῦ τείχους ἐκέλευσεν, εἴ τι πρὸς τὴν ὄψιν ἐνδοῖεν οἱ λοιποὶ καταπλαγέντες. μετὰ δὲ τὴν ἀναχώρησιν καὶ Ἰωάννης ὁ τῶν Ἰδουμαίων ἡγεμὼν πρὸ τοῦ τείχους γνωρίμῳ τινὶ στρατιώτῃ διαλεγόμενος ὑπό τινος τῶν Ἀράβων κατὰ τοῦ στέρνου τοξεύεται καὶ παραχρῆμα θνήσκει, μέγιστον τοῖς τε Ἰδουμαίοις πένθος καὶ λύπην τοῖς στασιασταῖς ἀπολιπών· καὶ γὰρ κατά τε χεῖρα καὶ συνέσει διάσημος ἦν.

7, 1. τῇ δ' ἐπιούσῃ νυκτὶ ταραχὴ καὶ τοῖς Ῥωμαίοις ἐμπίπτει παράλογος. τοῦ γὰρ Τίτου πύργους τρεῖς κατα-

136. προελθεῖν: προσελθεῖν VRC 139. τούς: τοῖς VRC | προεντυγχάνοντας: προεντυχόντας L προεντυγχάνουσι VRC 146. ἀντέστησαν: ἀνέστησαν L 151. ἐγκλίναντος Bekker ἐκκλίνοντος PLA² ἐκλίνοντος A¹ ἐκκλίναντος MVRC 157. Ἰδουμαίων: ἰουδαίων PMLVR 160. Ἰδουμαίοις: ἰουδαίοις MVRC

gere il loro attacco ai romani fino agli accampamenti. Alle loro grida i legionari piú vicini si raccolsero immediatamente mentre accorrevano quelli che si trovavano piú lontano. L'audacia dei giudei non diede tempo ai romani di organizzare la difesa e, dopo aver travolto i primi in cui s'erano imbattuti, essi si scagliarono anche sugli uomini che si andavano raccogliendo. Attorno alle macchine si scatenò una zuffa violenta; gli uni cercavano di appiccarvi il fuoco, gli altri di impedirlo, e mentre un confuso schiamazzo si levava dalle due parti, molti erano quelli che cadevano nelle prime file. Ma il disperato furore dei giudei ebbe il sopravvento; il fuoco si attaccò ai lavori[19] e questi avrebbero corso il rischio di andar distrutti insieme con le macchine se i piú dei soldati scelti di Alessandria[20] non avessero resistito con un valore superiore alla loro fama, comportandosi in questa battaglia meglio di truppe piú famose. Alla fine Cesare prese con sé i piú forti dei cavalieri e si scagliò contro i nemici. Egli di persona ne abbatté dodici nelle prime file, e mentre gli altri, atterriti dalla loro sorte, ripiegavano, egli li inseguí ricacciandoli tutti indietro verso la città e salvò dalle fiamme i lavori. In questa mischia fu fatto prigioniero un giudeo, e Tito ordinò di crocifiggerlo dinanzi alle mura per atterrire con lo spettacolo gli altri e indurli alla resa[21]. Dopo la ritirata anche Giovanni, il capo degli Idumei, mentre stava parlando con un soldato di sua conoscenza davanti al muro, fu colpito al petto da un arciere arabo e spirò all'istante lasciando un immenso lutto agli Idumei e dolore ai ribelli, perché era un uomo straordinario per valore e intelligenza[22].

7, 1. La notte successiva anche i romani caddero senza ragione in preda al panico. Tito aveva fatto costruire tre

σκευάσαι κελεύσαντος πεντηκονταπήχεις, ἵν' ἑκάστου χώματος ἐπιστήσας ἀπὸ τούτων τοὺς ἐπὶ τοῦ τείχους τρέποιτο,
5 συνέβη πεσεῖν αὐτομάτως ἕνα μέσης νυκτός. μεγίστου δ' 293 ἀρθέντος ψόφου δέος ἐμπίπτει τῷ στρατῷ, καὶ τοὺς πολεμίους ἐπιχειρεῖν σφίσι δόξαντες ἐπὶ τὰ ὅπλα πάντες ἔθεον. ταραχὴ δὲ τῶν ταγμάτων καὶ θόρυβος ἦν, καὶ τὸ συμβὰν 294 οὐδενὸς εἰπεῖν ἔχοντος ἐπὶ πλεῖστον ἀπορούμενοι διεφέ-
10 ροντο, μηδενός τε φαινομένου πολεμίου δι' ἀλλήλων ἐπτοοῦντο, καὶ τὸ σύνθημα μετὰ σπουδῆς ἕκαστος τὸν πλησίον 295 ἐπηρώτα καθάπερ Ἰουδαίων ἐμβεβληκότων εἰς τὰ στρατόπεδα, πανικῷ τε δείματι κυκλουμένοις παρεῴκεσαν, ἄχρι μαθὼν τὸ συμβὰν Τίτος διαγγέλλειν ἐκέλευσε πᾶσι, καὶ
15 μόλις ἐπαύσαντο τῆς ταραχῆς.

7, 2. Ἰουδαίους γε μὴν πρὸς τὰ λοιπὰ καρτερῶς ἀντέ- 296 χοντας ἐκάκωσαν οἱ πύργοι· καὶ γὰρ τῶν ὀργάνων τοῖς κουφοτέροις ἀπ' αὐτῶν ἐβάλλοντο καὶ τοῖς ἀκοντισταῖς καὶ τοξόταις καὶ λιθοβόλοις. οὔτε δὲ τούτων αὐτοὶ διὰ 297
20 τὸ ὕψος ἐφικνοῦντο καὶ τοὺς πύργους ἦν ἀμήχανον ἑλεῖν, μήτ' ἀνατραπῆναι ῥᾳδίως διὰ τὸ βρῖθος μήτ' ἐμπρησθῆναι διὰ τὸν σίδηρον δυναμένους, ᾧ κατεκαλύπτοντο. τρεπό- 298 μενοι δ' ἐξωτέρω βέλους οὐκέτ' ἐκώλυον τῶν κριῶν τὰς ἐμβολάς, οἳ ἀδιαλείπτως παίοντες ἤνυον κατ' ὀλίγον. ἤδη 299
25 δὲ τῷ Νίκωνι τοῦ τείχους ἐνδιδόντος, αὐτοὶ γὰρ τοῦτο Ἰουδαῖοι τὴν μεγίστην ἐκάλεσαν Ῥωμαίων ἑλέπολιν ἀπὸ τοῦ πάντα νικᾶν, ἀπέκαμνον μὲν πάλαι πρός τε τὰς μάχας καὶ τὰς φυλακὰς πόρρωθεν τῆς πόλεως διανυκτερεύοντες, ἄλλως δ' ὑπὸ ῥᾳστώνης καὶ τοῦ βουλεύεσθαι πάντα κακῶς 300
30 περιττὸν αὐτοῖς δόξαν τὸ τεῖχος ἑτέρων μετ' αὐτὸ λειπομένων δύο, μαλακισθέντες ἀνεχώρουν οἱ πολλοί. καὶ τῶν 301

7, 5. συνέβη: συνέβη δὲ L | ἕνα: ἀνὰ PAMVR διὰ L 6-7. πολεμίους: πολεμικοὺς R 9. ἀπορούμενοι Holwerda ἀποδυρόμενοι codd. 9-10. διεφέροντο: διεφθείροντο M 12. ἐμβεβληκότων: ἐμβεβηκότων RC 20. ἐφικνοῦντο: ἀφικνοῦντο L 21. βρῖθος: βάρος PAM 29. βουλεύεσθαι: βούλεσθαι A βουλεύσασθαι L

torri di cinquanta cubiti collocandole su ognuno dei terrapieni per bersagliare i difensori delle mura, e nel mezzo della notte una rovinò da sola. Si produsse un immenso fragore 293 che causò scompiglio nell'esercito, e tutti corsero alle armi credendo che si trattasse di un attacco nemico. Nelle legioni 294 si diffusero turbamento e confusione; dato che nessuno era in grado di dire che cosa stava succedendo, si dispersero per largo tratto non sapendo che fare e, poiché non si vedevano nemici, si facevano paura l'un l'altro, sí che ognuno si preoc- 295 cupava di chiedere la parola d'ordine al suo vicino come se i giudei avessero fatto irruzione nell'accampamento. Sembravano vittime del timor panico, fino a che Tito appurò ciò che realmente era accaduto e lo fece sapere a tutti, sí che a poco a poco l'allarme cessò.

7, 2. I giudei, che per il resto opponevano una valorosa 296 resistenza, subivano gravi perdite dalle torri; erano infatti esposti al tiro delle macchine piú leggere piazzate su di quelle, oltre che dei lanciatori di giavellotto, degli arcieri e dei frombolieri. A controbattere costoro, essi non arrivavano per la 297 grande altezza, né erano in grado di eliminare le torri, non potendo rovesciarle facilmente per la loro mole e nemmeno appiccarvi il fuoco dato che erano ricoperte di ferro. Se poi 298 si ritiravano fuori tiro non potevano piú ostacolare l'azione degli arieti, i cui colpi incessanti producevano sempre piú effetto. Ormai il muro cominciò a cedere dinanzi a « Vitto- 299 rioso » – è questo il nome che gli stessi giudei avevano dato alla piú grossa delle elepoli romane, perché vinceva ogni ostacolo – e i difensori, che già da tempo erano sfiniti non solo per i combattimenti, ma anche perché dovevano passare le notti a vigilare lontano dalla città[1], e in parte anche per 300 pigrizia e perché abituati a prendere in tutto decisioni errate, stabilirono che era superfluo continuare a difendere questo muro quando gliene rimanevano ancora altri due, e cosí i piú smorzarono gli ardori e si ritirarono. Appena i romani si 301

Ῥωμαίων ἐπιβάντων καθὸ παρέρρηξεν ὁ Νίκων, καταλιπόντες τὰς φυλακὰς πάντες εἰς τὸ δεύτερον τεῖχος ἀναφεύγουσιν. οἱ δ' ὑπερβάντες τὰς πύλας ἀνοίξαντες πᾶσαν εἰσδέχονται τὴν στρατιάν. καὶ Ῥωμαῖοι μὲν οὕτω τοῦ πρώτου τείχους πεντεκαιδεκάτῃ κρατήσαντες ἡμέρᾳ, ἑβδόμη δὲ ἦν Ἀρτεμισίου μηνός, αὐτοῦ τε πολὺ κατασκάπτουσι καὶ τὰ προσάρκτια τῆς πόλεως, ἃ καὶ πρότερον Κέστιος.

7, 3. μεταστρατοπεδεύεται δὲ Τίτος εἴσω κατὰ τὴν Ἀσσυρίων παρεμβολὴν καλουμένην, ἐπισχὼν πᾶν τὸ μεταξὺ μέχρι τοῦ Κεδρῶνος, ἀπὸ δὲ τοῦ δευτέρου τείχους ὅσον ἐξωτέρω βέλους εἶναι· προσβολὰς δ' εὐθέως ἐποιεῖτο. ἐμμερισθέντες δ' οἱ Ἰουδαῖοι καρτερῶς ἀπημύναντο τοῦ τείχους, οἱ μὲν περὶ τὸν Ἰωάννην ἀπό τε τῆς Ἀντωνίας καὶ τῆς προσαρκτίου στοᾶς τοῦ ἱεροῦ καὶ πρὸ τῶν Ἀλεξάνδρου τοῦ βασιλέως αὐτῶν μνημείων μαχόμενοι, τὸ δὲ τοῦ Σίμωνος τάγμα τὴν παρὰ τὸ Ἰωάννου τοῦ ἀρχιερέως μνημεῖον ἐμβολὴν διαλαβόντες ἐφράξαντο μέχρι πύλης, καθ' ἣν τὸ ὕδωρ ἐπὶ τὸν Ἱππικὸν πύργον εἰσῆκτο. προπηδῶντές τε πολλάκις ἐκ τῶν πυλῶν συστάδην ἐπολέμουν καὶ συνδιωχθέντες ἐπὶ τοῦ τείχους κατὰ μὲν τὰς συμπλοκὰς ἡττῶντο, τῆς Ῥωμαίων ἐπιστήμης ὄντες ἄπειροι, περιῆσαν δ' ἐν ταῖς τειχομαχίαις. καὶ τοὺς μὲν μετ' ἰσχύος ἐμπειρία παρεκρότει, Ἰουδαίους δὲ τόλμα δέει τρεφομένη καὶ τὸ φύσει καρτερικὸν ἐν συμφοραῖς· προσῆν δ' ἐλπὶς ἔτι σωτηρίας ᾗ καὶ Ῥωμαίοις τοῦ ταχέως κρατήσειν. οὐδετέρων δ' ἥπτετο κόπος, ἀλλὰ προσβολαὶ καὶ τειχομαχίαι καὶ κατὰ λόχους ἐκδρομαὶ συνεχεῖς δι' ὅλης ἡμέρας ἦσαν, οὐδ' ἔστιν ἥτις ἰδέα μάχης ἀπελείπετο. νὺξ δ' ἀνέπαυε μόλις

32. καθὸ παρέρρηξεν Niese καθόπερ ἔρρηξεν PAML καθάπερ ἔρρηξεν V καθὰ παρέρρηξεν RC 33. δεύτερον: ἐνδότερον P 35. στρατιάν: στρατείαν PA 43-4. ἐμμερισθέντες: καὶ μερισθέντες L μερισθέντες VRC 47. μνημείων: μνημείου PA 52. ἐπὶ Hudson ἀπὸ codd. 53. ὄντες: om. LVR 54. μετ' ἰσχύος ἐμπειρία: ἰσχὺς μετ' ἐμπειρίας LVRC 56. ἐν: ἐπὶ P ἐν ταῖς M 57. ᾗ Thackeray ᾖ PA ᾗ MRC ᾖ L ἡ V 60. ἰδέα: εἰδέα PA

arrampicarono sulla breccia prodotta da « Vittorioso », tutti abbandonarono i loro posti e si rifugiarono entro il secondo muro. I romani che avevano superato il muro aprirono le porte e fecero entrare tutto l'esercito. Cosí dopo quindici giorni – era il sette del mese di Artemisio – essi s'impadronirono del primo muro, che distrussero per la piú gran parte insieme con il quartiere settentrionale della città, già prima devastato da Cestio[2].

7, 3. Tito trasferí l'accampamento all'interno, nel luogo detto Campo degli assiri[3], occupando tutta l'estensione fino al Cedron ma tenendosi fuori tiro dal secondo muro; poi riprese subito ad attaccare. I giudei, ripartite le loro forze, opponevano una tenace resistenza dalle mura: gli uomini di Giovanni combattendo dall'Antonia, dal portico settentrionale del tempio e dirimpetto alla tomba del re Alessandro[4], mentre quelli di Simone presero posizione sulla via d'accesso vicino alla tomba del sommo sacerdote Giovanni[5], sbarrando il passo fino alla porta attraverso cui passava l'acqua diretta alla torre Ippico. E facevano spesso delle sortite dalle porte ingaggiando scontri ravvicinati in cui, ricacciati verso le mura, subivano la peggio non avendo la perizia dei romani, mentre poi riuscivano superiori nel difendersi dal muro. I romani erano sorretti dall'esperienza unita al valore, i giudei dal coraggio alimentato dalla paura, e dalla loro naturale resistenza alle sventure. Essi inoltre nutrivano ancora speranza di salvezza[6], come i romani di conseguire rapidamente la vittoria. Né gli uni né gli altri sentivano la stanchezza, ma per l'intera giornata si svolgevano continuamente attacchi, battaglie murali, sortite di grossi reparti, e insomma scontri di ogni genere. A mala pena la notte recava tregua a chi combat-

ἕωθεν ἀρχομένους· ἦν δ' ἄυπνος ἀμφοτέροις καὶ χαλεπω-
τέρα τῆς ἡμέρας, δέει τῶν μὲν ὅσον οὔπω καταληφθήσεσθαι
τὸ τεῖχος, τῶν δ' ἐπιθήσεσθαι Ἰουδαίους τοῖς στρατοπέδοις,
ἔν τε τοῖς ὅπλοις ἑκάτεροι διανυκτερεύοντες ὑπὸ τὰς πρώτας
65 αὐγὰς ἕτοιμοι πρὸς μάχην ἦσαν. καὶ παρὰ μὲν Ἰουδαίοις 309
ἔρις ἦν ὅστις προκινδυνεύσας χαρίσαιτο τοῖς ἡγεμόσιν,
μάλιστα δὲ τοῦ Σίμωνος αἰδὼς ἦν καὶ δέος, οὕτως τε προσεῖ-
χεν ἕκαστος αὐτῷ τῶν ὑποτεταγμένων, ὡς καὶ πρὸς αὐ-
τοχειρίαν ἑτοιμότατος εἶναι κελεύσαντος· Ῥωμαίοις δ' ἐπ' 310
70 ἀνδρείαν ἦν προτροπὴ τοῦ τε κρατεῖν ἔθος καὶ ἥττης ἀήθεια
συνεχής τε στρατεία καὶ διηνεκεῖς μελέται καὶ μέγεθος
ἡγεμονίας, πρὸ δὲ πάντων Τίτος ἀεὶ πᾶσιν πανταχοῦ πα-
ρατυγχάνων. τό τε γὰρ μαλακισθῆναι παρόντος καὶ συν- 311
αγωνιζομένου Καίσαρος δεινὸν ἐδόκει, καὶ τῷ καλῶς ἀγω-
75 νισαμένῳ μάρτυς αὐτὸς ὁ καὶ τιμήσων παρῆν· κέρδος δ'
ἦν ἤδη καὶ τὸ γνωσθῆναι Καίσαρι γενναῖον ὄντα. διὰ τοῦτο
πολλοὶ τῆς κατὰ σφᾶς ἰσχύος ἀμείνους τῇ προθυμίᾳ διε-
φάνησαν. παραταξαμένων γοῦν κατὰ ταύτας τὰς ἡμέρας 312
τῶν Ἰουδαίων πρὸ τοῦ τείχους καρτερῷ στίφει καὶ δια-
80 κοντιζομένων ἔτι πόρρωθεν τῶν ταγμάτων ἑκατέρων, Λογ-
γῖνός τις τῶν ἱππέων ἐξαλλόμενος τῆς Ῥωμαϊκῆς τάξεως
ἐμπηδᾷ μέσῃ τῇ τῶν Ἰουδαίων φάλαγγι, καὶ διασκεδα- 313
σθέντων πρὸς τὴν ἐμβολὴν δύο τοὺς γενναιοτάτους ἀναιρεῖ,
τὸν μὲν κατὰ στόμα πλήξας ὑπαντιάσαντα, τὸν δ' ἀνα-
85 σπάσας ἐκ τοῦ προτέρου τὸ δόρυ κατὰ πλευρὰν διαπείρει
τραπόμενον, ἐκ μέσων τε τῶν πολεμίων ἄτρωτος εἰς τοὺς
σφετέρους ἔδραμεν. ὁ μὲν οὖν δι' ἀρετὴν ἐπίσημος ἦν, 314
ζηλωταὶ δὲ τῆς ἀνδρείας ἐγίνοντο πολλοί. καὶ Ἰουδαῖοι 315
μὲν ἀμελοῦντες τοῦ παθεῖν τὸ διαθεῖναι μόνον ἐσκόπουν,
90 ὅ τε θάνατος αὐτοῖς ἐδόκει κουφότατος εἰ μετὰ τοῦ κτεῖναί

61. ἀμφοτέροις: ἀμφοτέροις ἡ νὺξ MVRC 63. τὸ τεῖχος: τὸ τάχος PAL
64. ὑπὸ: κατὰ PAM 71. στρατεία: στρατιὰ PVRC 75. κέρδος: καρπὸς VR
83. πρὸς τὴν ἐμβολὴν: τῶν ἐμβολῶν PA 86. ἄτρωτος Holwerda πρῶτος
codd. 88. ἀνδρείας: ἀνδραγαθίας L

teva fin dall'alba, ed essa per entrambi trascorreva insonne e
ancor piú dura del giorno, perché gli uni temevano che da un
momento all'altro il muro venisse espugnato, gli altri che i
giudei assaltassero l'accampamento; cosí essi passavano la
notte in armi e al primo chiarore erano già pronti alla bat-
taglia. Fra i giudei si faceva a gara a esporsi al pericolo in 309
prima fila per guadagnarsi l'encomio dei capi, ed era special-
mente Simone ad essere temuto e rispettato, e ognuno dei
suoi uomini gli era tanto devoto, da essere anche pronto a
togliersi la vita a un suo comando. I romani per parte loro 310
erano spronati al valore dall'abitudine a vincere, dal non cono-
scere sconfitte, dalle continue campagne, dalle incessanti eser-
citazioni, dalla grandezza dell'impero, ma soprattutto da Tito
che era sempre e dovunque presente accanto a tutti[7]. Pareva 311
una mostruosità battersi fiaccamente sotto gli occhi e al fian-
co di Cesare, e l'uomo di valore aveva in lui chi avrebbe
insieme attestato e premiato le sue gesta; ma intanto era già
un premio il farsi conoscere da Cesare come un valoroso.
Perciò molti nella loro foga misero in mostra un valore su-
periore alle loro forze. Fu cosí che un giorno, mentre i giudei 312
erano schierati dinanzi al muro e i due eserciti si scambia-
vano colpi da lontano, un cavaliere di nome Longino uscí
dalle file romane e si avventò nel mezzo dello schieramento
nemico, dove la sua carica gettò lo scompiglio ed egli uccise
due dei combattenti piú valorosi: uno lo colpí in fronte mentre 313
gli si faceva incontro, l'altro lo trafisse al fianco mentre si
voltava per fuggire, colpendolo con la lancia che aveva estratto
dal corpo del primo. Dopo di che dal bel mezzo dei nemici
ritornò incolume fra i suoi. Questo atto di valore gli pro- 314
curò fama, e molti cercavano di imitarlo. Anche i giudei, 315
incuranti delle perdite proprie, badavano soltanto ad inflig-
gerne, e la morte pareva a loro la cosa piú trascurabile se si

τινα τῶν πολεμίων προσπέσοι· Τίτος δὲ τῆς τῶν στρατιωτῶν ἀσφαλείας οὐχ ἧττον τοῦ κρατεῖν προυνόει, καὶ τὴν μὲν ἀπερίσκεπτον ὁρμὴν ἀπόνοιαν λέγων, μόνην δ' ἀρετὴν τὴν μετὰ προνοίας καὶ τοῦ μηδὲν τὸν δρῶντα παθεῖν, ἐν ἀκινδύνῳ τῷ κατὰ σφᾶς ἐκέλευσεν ἀνδρίζεσθαι.

7, 4. προσάγει δ' αὐτὸς τοῦ βορείου τείχους τῷ μέσῳ πύργῳ τὴν ἑλέπολιν, ἐν ᾧ τῶν Ἰουδαίων τις ἀνὴρ γόης ὄνομα Κάστωρ ἐλόχα μεθ' ὁμοίων δέκα, τῶν λοιπῶν φυγόντων διὰ τοὺς τοξότας. οὗτοι μέχρι μέν τινος ὑπεπτηχότες τοῖς θωρακίοις ἠρέμουν, λυομένου δὲ τοῦ πύργου διανίστανται, καὶ προτείνας ὁ Κάστωρ τὰς χεῖρας ὡς ἱκετεύων δῆθεν ἐκάλει τὸν Καίσαρα καὶ τῇ φωνῇ κατοικτιζόμενος ἐλεῆσαι σφᾶς παρεκάλει. πιστεύσας δ' ἐξ ἁπλότητος ὁ Τίτος καὶ μετανοεῖν ἤδη τοὺς Ἰουδαίους ἐλπίσας, ἐπέχει μὲν τοῦ κριοῦ τὴν ἐμβολὴν κωλύει τε τοξεύειν τοὺς ἱκέτας, λέγειν δ' ἐκέλευεν ὅ τι βούλεται τῷ Κάστορι. τοῦ δ' εἰπόντος ἐπὶ δεξιᾷ καταβῆναι θέλειν, ὁ Τίτος συνήδεσθαι μὲν αὐτῷ τῆς εὐβουλίας ἔφη, συνήδεσθαι δέ, εἰ πάντες ταὐτὰ ἤδη φρονοῦσι, καὶ τῇ πόλει διδόναι τε πίστιν ἑτοίμως. τῶν δέκα δὲ οἱ πέντε μὲν αὐτῷ συνυπεκρίνοντο τὴν ἱκετηρίαν, οἱ λοιποὶ δ' οὐκ ἄν ποτε δουλεύσειν Ῥωμαίοις ἐβόων παρὸν ἐλευθέρους ἀποθανεῖν. καὶ μέχρι πολλοῦ διαφερομένων ἐτρίβετο μὲν ἡ προσβολή, πέμπων δ' ὁ Κάστωρ πρὸς τὸν Σίμωνα σχολῇ βουλεύεσθαι περὶ τῶν ἐπειγόντων ἔλεγεν, ὡς οὐκ ἐπ' ὀλίγον αὐτὸς διαπαίζοι τὴν Ῥωμαίων ἀρχήν. ἅμα δὲ ταῦτα πέμπων καταφανὴς ἦν καὶ τοὺς ἀπειθοῦντας ἐπὶ τὴν δεξιὰν παρακαλῶν. οἱ δ' ὥσπερ ἀγανακτοῦντες ὑπὲρ τὰ θωράκια διή-

95. τῷ: τὸ C 99. οὗτοι: οὗτοι δὲ L 99-100. ὑπεπτηχότες: ὑποπεπτηχότες P ὑποπεπτηχότας C 100. λυομένου: σαλευομένου L 106. ἐκέλευεν: ἐκέλευσεν PA 107. ἐπὶ δεξιᾷ: ἐπιδεξιὰ PA 110. διδόναι τε: διδόναι γε VRC γε διδόναι PAM | τῶν δέκα δὲ: τῶν δὲ δέκα δὲ A τῶν δὲ δέκα PM 116. διαπαίζοι: διαπέζοι PAM διαπαίζει L

accompagnava all'uccisione di un nemico. Tito però, che si preoccupava della sicurezza dei soldati non meno che della vittoria finale, dichiarò che la foga incauta era da disperati, mentre il vero valore era quello non disgiunto dalla circospezione e dalla cura di evitare perdite, e perciò comandò ai suoi di comportarsi bensí da valorosi, ma senza correre troppi rischi.

7, 4. Tito accostò l'elepoli alla torre di mezzo del muro settentrionale[8], sulla quale, mentre tutti gli altri erano stati costretti a ritirarsi dal tiro degli arcieri, era rimasto in agguato un giudeo di nome Castore, un fiero impostore, assieme ad altri dieci della sua stessa risma. Costoro per un po' se ne stettero cheti, rannicchiati dietro al parapetto, ma quando la torre cominciò a incrinarsi si levarono in piedi, e Castore con le mani protese in atto di supplica invocava Cesare e con accenti di dolore lo implorava di aver pietà di loro. Tito nel suo candore gli prestò fede e, sperando che ormai i giudei si fossero pentiti, diede ordine di sospendere l'azione con l'ariete e il tiro degli arcieri contro i supplici e fece chiedere a Castore che cosa aveva da dire. Avendo quello dichiarato che voleva scendere per venire a patti, Tito gli rispose che si rallegrava con lui per il savio consiglio, che si sarebbe rallegrato con tutti se ormai erano d'accordo in tale determinazione e che era pronto a venire a un'intesa con la città. Allora cinque dei dieci compagni si unirono a Castore nella commedia delle implorazioni, mentre gli altri presero a gridare che mai essi sarebbero diventati schiavi dei romani mentre si poteva morire da uomini liberi. Il finto alterco si protrasse a lungo mentre l'assedio rimaneva fermo, e intanto Castore mandò a dire a Simone di valutare senza fretta il da fare perché avrebbe pensato lui con la sua burla a tenere in scacco per parecchio tempo il comando romano; contemporaneamente faceva finta di adoperarsi per convincere gli altri cinque alla resa. Costoro, come se ne fossero sdegnati, sollevarono al di

ρουν τε τὰ ξίφη γυμνὰ καὶ τοὺς θώρακας αὐτῶν πλήξαντες
120 ὡς ἀπεσφαγμένοι κατέπεσον. θάμβος δὲ τὸν Τίτος καὶ 324
τοὺς περὶ αὐτὸν εἰσῄει τοῦ τῶν ἀνδρῶν παραστήματος,
καὶ μὴ δυνάμενοι κάτωθεν ἀκριβῶς τὸ γεγενημένον ἰδεῖν
ἐθαύμαζόν τε τῆς εὐτολμίας αὐτοὺς καὶ τοῦ πάθους ἠλέουν.
τοξεύει δέ τις ἐν τούτῳ παρὰ τὴν ῥῖνα τὸν Κάστορα, κἀ- 325
125 κεῖνος εὐθέως ἀνασπάσας τὸ βέλος ἐπεδείκνυ τῷ Τίτῳ
καὶ ὡς οὐ δίκαια πάσχων κατεμέμφετο. πρὸς δὲ τὸν βα-
λόντα σχετλιάσας Καῖσαρ ἔπεμπε παρεστῶτα τὸν Ἰώ-
σηπον δοῦναι τῷ Κάστορι δεξιάν. ἀλλ' ὁ μὲν οὔτ' αὐτὸς 326
ἔφη προελεύσεσθαι, φρονεῖν γὰρ οὐδὲν ὑγιὲς τοὺς δεομένους,
130 καὶ τοὺς ὡρμημένους τῶν φίλων κατέσχεν· Αἰνείας δέ τις
τῶν αὐτομόλων αὐτὸς ἔφη προελεύσεσθαι. καὶ τοῦ Κάσ- 327
τορος καλοῦντος, ὅπως δέξαιτό τις καὶ τὸ ἀργύριον ὃ φέροι
μεθ' αὐτοῦ, σπουδαιότερον ὁ Αἰνείας διαπετάσας τὸν κόλ-
πον προσέδραμεν. ἀράμενος δ' ὁ Κάστωρ πέτραν ἐπα- 328
135 φίησιν αὐτῷ, καὶ τούτου μὲν διήμαρτε φυλαξαμένου, τιτρώ-
σκει δὲ στρατιώτην ἕτερον προσελθόντα. συννοήσας δὲ 329
Καῖσαρ τὴν ἀπάτην πρὸς βλάβης μὲν ἔγνω τὸν ἐν πολέμοις
ἔλεον, τὸ γὰρ ἀπηνέστερον ἧττον ὑποπίπτειν τῷ πανούρ-
γῳ, τὰς δ' ἐμβολὰς τῆς ἑλεπόλεως ὀργῇ τῆς χλεύης ἐποι-
140 εῖτο δυνατωτέρας. ὑποδιδόντα δὲ τὸν πύργον ἐμπιπρᾶσιν 330
οἱ περὶ τὸν Κάστορα, καὶ διὰ τῆς φλογὸς εἰς τὴν ὑπ' αὐτῷ
κρυπτὴν ἁλλόμενοι πάλιν δόξαν ἀνδρείας Ῥωμαίοις πα-
ρέσχον ὡς ῥίψαντες σφᾶς αὐτοὺς εἰς τὸ πῦρ.

8, 1. αἱρεῖ δὲ Καῖσαρ ταύτῃ τὸ τεῖχος ἡμέρᾳ πέμπτῃ 331
μετὰ τὸ πρῶτον, καὶ τῶν Ἰουδαίων φυγόντων ἀπ' αὐτοῦ
παρέρχεται μετὰ χιλίων ἔνδον ὁπλιτῶν καὶ τῶν περὶ αὐτὸν

119. αὐτῶν: αὑτῶν PAMVRC ἑαυτῶν L 129. προελεύσεσθαι: προσελεύσεσθαι AMLVRC | ὑγιὲς: ὑγιαῖς C 131. προελεύσεσθαι: προσελεύσεσθαι AMLVRC 133. μεθ' αὐτοῦ: μετ' αὐτοῦ VRC 139. δ' ἐμβολὰς: δὲ ἐμβολὰς L ἐμβολὰς VR ἐμβολὰς δὲ C 141. ὑπ': ἐπ' PAMVRC
8, 1. αἱρεῖ: αἷρει PAVR αἱρεῖ MC εἷλε L

sopra del parapetto le spade sguainate e, percuotendosi le corazze, si buttarono in terra facendo mostra di essersi uccisi. Tito e il suo seguito furono presi da stupore per il loro coraggio e, non potendo dal basso vedere esattamente ciò che era accaduto, ebbero parole di ammirazione per la loro forza d'animo e di commiserazione per la loro fine. A un certo punto un arciere colpí vicino al naso Castore, che subito si strappò la freccia mostrandola a Tito e lamentandosi di essere trattato con slealtà. Cesare rimproverò aspramente l'arciere e disse a Giuseppe, che gli stava vicino, di andare a porgere la destra a Castore[9]. Giuseppe però non solo disse che lui non si sarebbe fatto avanti, perché le intenzioni dei supplici erano tutt'altro che oneste, ma trattenne anche i suoi amici dal muoversi. Allora si offrí di andare un disertore, un certo Enea; e quando Castore chiese che qualcuno venisse a prendere il denaro che egli portava seco, Enea piú prontamente corse avanti coi lembi della veste protesi. Castore sollevato un macigno glielo scagliò addosso, ma senza colpirlo perché quello stava sul chi vive; colpí invece un altro soldato che s'era avvicinato. Scoperto il trabocchetto, Cesare s'avvide che la compassione in guerra è dannosa, perché piú si è rigidi e meno si è esposti a essere ingannati, e, furente per essere stato giocato, fece rimettere in azione con ancor piú violenza l'elepoli. Quando la torre stava per cedere, Castore e i suoi uomini vi appiccarono il fuoco e, slanciandosi tra le fiamme per raggiungere il sottostante ricovero, ancora una volta diedero ai romani un'impressione di coraggio, come se si fossero gettati nel fuoco.

8, 1. Cinque giorni dopo l'espugnazione del primo, Cesare conquistò in questo settore il secondo muro, e mentre i giudei se ne ritiravano in fuga egli penetrò con mille legio-

ἐπιλέκτων, καθὸ καὶ τῆς καινῆς πόλεως ἐριοπώλιά τε ἦν καὶ
5 χαλκεῖα καὶ ἱματίων ἀγορά, πρός τε τὸ τεῖχος πλάγιοι
κατέτεινον οἱ στενωποί. εἰ μὲν οὖν ἢ τοῦ τείχους εὐθέως 332
πλέον διέλυσεν ἢ πολέμου νόμῳ παρελθὼν ἐπόρθει τὸ ληφθέν,
οὐκ ἂν οἶμαί τις ἐμίγη βλάβη τῷ κράτει. νῦν δὲ Ἰουδαίους 333
μὲν ἐλπίσας δυσωπήσειν ἐξὸν κακοῦν τῷ μὴ θέλειν, πρὸς
10 δ' ἀναχώρησιν εὐμαρῆ τὴν εἰσβολὴν οὐκ ἐπλάτυνεν· οὐ
γὰρ ἐπιβουλεύσειν οὓς εὐεργετεῖν ὑπελάμβανεν. παρελθὼν 334
γοῦν οὔτε κτείνειν τινὰ τῶν καταλαμβανομένων ἐπέτρεψεν
οὔθ' ὑποπιμπράναι τὰς οἰκίας, ἀλλ' ἅμα τοῖς μὲν στα-
σιασταῖς, εἰ βούλοιντο μάχεσθαι δίχα τῆς τοῦ δήμου βλάβης,
15 ἄδειαν ἐξόδου, τῷ δήμῳ δὲ τὰς κτήσεις ὑπισχνεῖτο δώσειν·
περὶ πλείστου γὰρ ἐποιεῖτο σῶσαι τὴν μὲν πόλιν αὑτῷ,
τὸν δὲ ναὸν τῇ πόλει. τὸν μὲν οὖν λαὸν ἕτοιμον εἶχεν εἰς 335
ἃ προὔτρεπεν καὶ πάλαι, τοῖς μαχίμοις δ' ἐδόκει τὸ φιλάν-
θρωπον ἀσθένεια, καὶ τὸν Τίτον ἀδυναμίᾳ τοῦ τὴν ἄλλην
20 πόλιν ἑλεῖν ταῦτα προτείνειν ὑπελάμβανον. διαπειλοῦντες 336
δὲ τοῖς δημόταις θάνατον, εἴ περὶ παραδόσεως μνησθείη
τις αὐτῶν, καὶ τοὺς παραφθεγγομένους εἰρήνην ἀποσφάτ-
τοντες, ἐπιτίθενται καὶ τοῖς εἰσελθοῦσι Ῥωμαίων, οἱ μὲν
κατὰ τοὺς στενωποὺς ὑπαντιάσαντες, οἱ δ' ἀπὸ τῶν οἰκιῶν,
25 ἄλλοι δ' ἔξω τοῦ τείχους κατὰ τὰς ἄνω προπηδήσαντες
πύλας. πρὸς οὓς ταραχθέντες οἱ φρουροὶ τοῦ τείχους καθαλ- 337
λόμενοι τῶν πύργων ἀνεχώρουν εἰς τὰ στρατόπεδα. κραυγὴ 338
δ' ἦν τῶν μὲν εἴσω πάντοθεν πολεμίοις κεκυκλωμένων,
τῶν δ' ἔξωθεν περὶ τοῖς ἀπολειφθεῖσι δεδοικότων. πλη-
30 θύνοντες δ' ἀεὶ Ἰουδαῖοι καὶ πολλὰ πλεονεκτοῦντες κατ'
ἐμπειρίαν τῶν στενωπῶν ἐτίτρωσκόν τε πολλοὺς καὶ προσ-

5. πρός τε Destinon πρὸς PA πρὸς δὲ MLVRC 10. δ': δὲ LVR om. C 13. οὔθ': οὔτε PAMLVR | ἀλλ' ἅμα τοῖς μὲν: ἀλλὰ τοῖς μὲν PAM ἅμα τοῖς μὲν VR ἅμα μὲν τοῖς C 15. ἐξόδου: ἔξειν P ἕξειν A ἐδίδου L Lat ἐξόδου ἐδίδου C 29. ἀποληφθεῖσι Destinon ἀπολειφθεῖσι PLVRC ἀπολιφθεῖσι A ὑπολειφθεῖσι M

nari e le sue truppe scelte nella parte della città nuova in cui stavano i negozi della lana, le officine dei fabbri e il mercato delle vesti, là dove le strette viuzze scendevano obliquamente verso le mura[1]. Ora se egli avesse o abbattuto subito un 332 tratto piú ampio del muro, o saccheggiato per diritto di guerra il quartiere in cui era entrato da conquistatore, io credo che alla sua vittoria non si sarebbe accompagnata alcuna perdita. Egli invece sperò d'infondère vergogna nei giudei astenen- 333 dosi dal danneggiarli pur essendo in grado di farlo, e non allargò la breccia per potervici passare comodamente in caso di ritirata; infatti non pensava mai che quelli avrebbero tramato contro chi li aveva trattati cosí generosamente[2]. Cosí 334 quando fu entrato non permise né di mettere a morte alcuno dei prigionieri né d'incendiare le case, ma nello stesso tempo offrí ai ribelli di poter uscire liberamente, se avessero voluto misurarsi in battaglia senza coinvolgere il popolo, e al popolo la restituzione dei loro beni; egli teneva infatti moltissimo a conservare la città per sé, e il tempio per la città. Ma mentre 335 il popolo, come già da tempo, era incline ad accettare tali proposte, ai rivoluzionari questa umanità parve debolezza, e pensarono che Tito le avesse fatte non sentendosi capace di espugnare il resto della città. Allora minacciarono di morte 336 quelli del popolo, chiunque avesse parlato di arrendersi, e, passato per le armi chi solo nominava la pace, si scagliarono contro i romani penetrati in città, alcuni affrontandoli nelle viuzze, altri bersagliandoli dalle case, altri dall'esterno del muro avendo fatto una sortita dalle porte site piú in alto[3]. Costoro gettarono lo scompiglio negli uomini posti a guardia 337 del muro, che saltarono giú dalle torri e si ritirarono fuggendo nell'accampamento. Immenso era il clamore degli uomini 338 rimasti dentro assediati da ogni parte, come pure di quelli di fuori, che si preoccupavano per la sorte dei compagni intrappolati. I giudei, che diventavano sempre piú numerosi ed erano in grande vantaggio per la conoscenza delle viuzze,

πίπτοντες ἐξώθουν. οἱ δὲ κατ' ἀνάγκην τὸ πλέον ἀντεῖχον, 339
οὐ γὰρ ἦν ἀθρόους διαφυγεῖν διὰ στενοῦ τοῦ τείχους, δο-
κοῦσί τε ἂν κατακοπῆναι πάντες οἱ παρελθόντες μὴ προ-
35 σαμύναντος τοῦ Τίτου. διαστήσας γὰρ ἐπ' ἄκροις τοῖς στε- 340
νωποῖς τοὺς τοξότας καὶ κατὰ τὸν μάλιστα πληθύοντα
σταθεὶς αὐτός, ἀνέστελλε τοῖς βέλεσι τοὺς πολεμίους, καὶ
σὺν αὐτῷ Δομέτιος Σαβῖνος, ἀνὴρ ἀγαθὸς καὶ κατὰ ταύτην
φανεὶς τὴν μάχην. παρέμεινε δὲ συνεχῶς τοξεύων Καῖσαρ 341
40 καὶ τοὺς Ἰουδαίους κωλύων παρελθεῖν, μέχρι πάντες ἀνε-
χώρησαν οἱ στρατιῶται.

8, 2. Ῥωμαῖοι μὲν οὕτως κρατήσαντες τοῦ δευτέρου 342
τείχους ἐξεώσθησαν, τῶν δ' ἀνὰ τὸ ἄστυ μαχίμων ἐπήρ-
θη τὰ φρονήματα, καὶ μετέωροι πρὸς τὴν εὐπραγίαν
45 ἦσαν, οὔτ' ἂν Ῥωμαίους εἰς τὴν πόλιν τολμήσειν ἔτι πα-
ρελθεῖν οὔτ' αὐτοὶ παρελθόντων ἡττηθήσεσθαι δοκοῦντες.
ἐπεσκότει γὰρ αὐτῶν ταῖς γνώμαις διὰ τὰς παρανομίας ὁ 343
θεός, καὶ οὔτε τὴν Ῥωμαίων ἰσχὺν ὅσῳ πλείων κατελείπετο
τῆς ἐξελασθείσης ἔβλεπον οὔτε τὸν ὑφέρποντα λιμὸν αὐτοῖς.
50 ἔτι γὰρ παρῆν ἐσθίειν ἐκ τῶν δημοσίων κακῶν καὶ τὸ τῆς 344
πόλεως αἷμα πίνειν· ἔνδεια δὲ τοὺς ἀγαθοὺς ἐπεῖχε πάλαι,
καὶ σπάνει τῶν ἐπιτηδείων διελύοντο πολλοί. τὴν δὲ τοῦ 345
λαοῦ φθορὰν ἑαυτῶν οἱ στασιασταὶ κουφισμὸν ὑπελάμβανον·
μόνους γὰρ ἠξίουν σώζεσθαι τοὺς μὴ ζητοῦντας εἰρήνην καὶ
55 κατὰ Ῥωμαίων ζῆν προῃρημένους, τὸ δ' ἐναντίον πλῆθος
ὥσπερ βάρος ἥδοντο δαπανώμενον. τοιοῦτοι μὲν δὴ πρὸς 346
τοὺς ἔνδον ἦσαν· Ῥωμαίους δὲ πάλιν τῆς εἰσόδου πειρω-
μένους ἐκώλυον φραξάμενοι καὶ τὸ καταρριφθὲν ἀντιτειχί-
σαντες τοῖς σώμασι τρισὶ μὲν ἀντέσχον ἡμέραις καρτερῶς

32. ἀντεῖχον: ἀντέσχον L 36. πληθύοντα: πληθύνοντα VR 38. Δομέτιος: δομίτιος LVRC 43. ἐξεώσθησαν Dindorf ἐξεώθησαν PAMVRC ἐξώσθησαν L 46. οὔτ': οὔτ'ἂν PAMVR ὅτ'ἂν C | αὐτοί: αὐτῶν PAM | παρελθόντων: παρελθόντες LVRC 54. ζητοῦντας: ζηλοῦντας L 56. βάρος Thackeray βάρβαρον PL βαρβάρων AM βαρβάρων βάρος C ὑπὸ βαρβάρων βάρος VR | δαπανώμενον: δαπανωμένων AMVR

ferivano numerosi nemici e, incalzandoli, li respingevano verso l'esterno. I romani opponevano resistenza soprattutto perché vi erano costretti, non potendo ritirarsi in massa attraverso la piccola breccia del muro, ma, a quel che sembra, sarebbero stati fatti tutti a pezzi se non fosse accorso in aiuto Tito. Avendo egli infatti disposto gli arcieri agli sbocchi delle viuzze, e collocatosi di persona nel luogo ove piú fitta era la calca, tenne a freno con le frecce i nemici, imitato da Domizio Sabino[4], un valoroso che si distinse anche in questo combattimento. Cesare rimase sul posto continuando a tirare e bloccando l'avanzata dei giudei finché tutti i suoi soldati non si furono ritirati. [339–341]

8, 2. Cosí i romani, che erano penetrati nel secondo muro, ne furono respinti, mentre nella città i ribelli prendevano animo e s'inorgoglivano del successo riportato, pensando che i romani non avrebbero piú osato penetrare nella città o che altrimenti essi li avrebbero battuti. Ciò perché il dio, volendo punirne le iniquità, ottenebrava le loro menti, ed essi non vedevano né quanto le forze rimaste ai romani fossero superiori a quelle che essi avevano respinte, né che la fame cominciava a serpeggiare in mezzo a loro. Infatti era ancora possibile mangiare a spese delle sofferenze del popolo, e bere succhiando il sangue della città, però le persone dabbene già da tempo erano afflitte dalle privazioni e molti venivano meno per mancanza del necessario. Ma i ribelli consideravano lo sterminio del popolo come un sollievo per loro, dato che essi stimavano degni di salvezza soltanto chi non voleva la pace e desiderava vivere per combattere contro i romani, e perciò godevano che la moltitudine che la pensava diversamente perisse come un inutile peso. Tali, dunque, i loro sentimenti riguardo al popolo bloccato nella città, mentre contro i romani, che tentavano nuovamente di aprirsi un varco, per tre giorni essi si batterono valorosamente e li fermarono avendo rafforzato le difese e ostruita la breccia coi loro petti. Ma al [342–346]

60 ἀμυνόμενοι, τῇ τετάρτῃ δὲ προσβαλόντα γενναίως Τίτον οὐχ
ἤνεγκαν, ἀλλὰ βιασθέντες ᾗ καὶ πρότερον ἀναφεύγουσιν. ὁ 347
δὲ πάλιν τοῦ τείχους κρατήσας τὸ προσάρκτιον μὲν εὐθέως
κατέρριψε πᾶν, ἐπὶ δὲ τοῦ κατὰ μεσημβρίαν φρουρὰς τοῖς
πύργοις ἐγκαταστήσας τῷ τρίτῳ προσβάλλειν ἐπενόει.

9, 1. δόξαν δ' ἐπανεῖναι πρὸς ὀλίγον τὴν πολιορκίαν καὶ 348
διωρίαν βουλῆς τοῖς στασιασταῖς παρασχεῖν, εἴ τι πρὸς τὴν
καθαίρεσιν ἐνδοῖεν τοῦ δευτέρου τείχους ἢ καὶ τὸν λιμὸν
ὑποδείσαντες, οὐ γὰρ εἰς πολὺ τὰς ἁρπαγὰς αὐτοῖς ἐξαρ-
5 κέσειν, εἰς δέον κατεχρῆτο τὴν ἄνεσιν· ἐνστάσης γὰρ τῆς 349
προθεσμίας, καθ' ἣν ἔδει διαδοῦναι τοῖς στρατιώταις τροφάς,
ἐν ἀπόπτῳ τοῖς πολεμίοις ἐκέλευσε τοὺς ἡγεμόνας ἐκτάξαν-
τας τὴν δύναμιν ἀπαριθμεῖν ἑκάστῳ τἀργύριον. οἱ δ', ὥσπερ 350
ἔθος, ἀποκαλύψαντες τὰ ὅπλα θήκαις ἐσκεπασμένα τέως,
10 κατάφρακτοι προῄεσαν καὶ τοὺς ἵππους ἄγοντες οἱ ἱππεῖς
κεκοσμημένους. ἐπὶ πλεῖστον δὲ τὰ πρὸ τῆς πόλεως ἀργύρῳ 351
καὶ χρυσῷ περιελάμπετο, καὶ τῆς ὄψεως ἐκείνης οὐδὲν οὔτε
τοῖς σφετέροις ἐπιτερπέστερον οὔτε τοῖς πολεμίοις παρέστη
φοβερώτερον. κατεπλήσθη γὰρ ἀφορώντων τό τε ἀρχαῖον 352
15 τεῖχος ἅπαν καὶ τοῦ ἱεροῦ τὸ βόρειον κλίμα, τάς τε οἰκίας
μεστὰς ἦν προκυπτόντων ὑπεριδεῖν, καὶ τῆς πόλεως οὐδὲν
ὃ μὴ κεκάλυπτο πλήθει διεφαίνετο. κατάπληξις δὲ δεινὴ καὶ 353
τοῖς τολμηροτάτοις ἐνέπεσε τήν τε δύναμιν ἐπὶ ταὐτὸ πᾶσαν
ὁρῶσι καὶ τὸ κάλλος τῶν ὅπλων καὶ τὴν εὐταξίαν τῶν ἀν-
20 δρῶν· δοκοῦσί τε ἄν μοι πρὸς ἐκείνην οἱ στασιασταὶ μετα- 354
βαλέσθαι τὴν ὄψιν, εἰ μὴ δι' ὑπερβολὴν ὧν τὸν δῆμον ἔδρα-
σαν κακῶν συγγνώμην παρὰ Ῥωμαίοις ἀπήλπιζον. ἀποκει- 355
μένου δὲ τοῦ μετὰ κολάσεως, εἰ παύσαιντο, πολὺ κρείττονα
τὸν ἐν πολέμῳ θάνατον ἡγοῦντο. καὶ τὸ χρεὼν δ' ἐκράτει

9, 1. δ'ἐπανεῖναι: δὲ πᾶν εἶναι P δὲ ἐπανεῖναι MVR δ'ἐπανιέναι L 2. παρασχεῖν: παρέχειν PA 3. λιμὸν: δῆμον VRC 6. διαδοῦναι: δοῦναι PAMVRC 16. ὑπεριδεῖν: ἰδεῖν P κατιδεῖν M 18. πᾶσαν: πᾶσιν PAL 21-2. ἔδρασαν: ἔδρασεν L 24. πολέμῳ: πολέμοις A

quarto giorno[5] non riuscirono a sostenere un vigoroso assalto di Tito e, sopraffatti, furono costretti a ritirarsi in fuga sulle stesse posizioni di prima. Tito, impadronitosi ancora una volta 347 del muro, ne fece immediatamente abbattere tutta l'ala settentrionale[6] e, collocati dei presidi sulle torri dell'ala meridionale, si diede a studiare il piano per espugnare il terzo muro[7].

9, 1. Intanto deliberò di sospendere per un poco l'assedio 348 e di offrire ai ribelli il tempo di riflettere se non fosse il caso di arrendersi vista la demolizione del secondo muro e considerata la minaccia della fame, poiché non avrebbero potuto tirare avanti ancora per molto con i saccheggi[1]. E la tregua la sfruttò nel modo piú opportuno; essendo infatti arrivato il 349 giorno della distribuzione della paga ai soldati, ordinò agli ufficiali di schierare l'esercito in un luogo dove i nemici potessero vederlo e di versare a ogni uomo lo stipendio. Secondo 350 l'uso, i fanti tirarono fuori le armi da parata dalle casse in cui erano state fino allora riposte, e venivano avanti armati di tutto punto mentre i cavalieri conducevano i loro cavalli tutti bardati. La zona antistante alla città rifulse per largo 351 tratto di argento e d'oro, e di quello spettacolo nulla fu piú gradito ai romani e piú terrificante per i nemici. Si riempi- 352 rono di spettatori tutto il muro antico e il lato settentrionale del tempio, si potevano vedere le case brulicanti di persone protese a guardare, e non vi fu luogo della città che non fosse gremito di folla[2]. Anche i piú coraggiosi furono presi dallo 353 sgomento al vedere tutto l'esercito raccolto insieme, la bellezza delle armi e la disciplina degli uomini, e io credo che i 354 ribelli a quella vista avrebbero cambiato idea se non avessero disperato di ottenere dai romani il perdono per l'enormità delle colpe commesse a danno del popolo. Alla morte che li 355 attendeva come pena, se si fossero arresi, essi preferirono di gran lunga quella in combattimento. E poi era destino che

www.scribd.com/Cultura_in_Ita5

τούς τε ἀναιτίους τοῖς αἰτίοις συναπολέσθαι καὶ τῇ στάσει τὴν πόλιν.

9, 2. τέσσαρσιν μὲν οὖν ἡμέραις οἱ Ῥωμαῖοι καθ’ ἕκαστον τάγμα διετέλεσαν τὰς τροφὰς κομιζόμενοι, τῇ πέμπτῃ δ’ ὡς οὐδὲν ἀπήντα παρὰ τῶν Ἰουδαίων εἰρηνικόν, διχῇ διελὼν τὰ τάγματα Τίτος ἤρχετο τῶν χωμάτων κατά τε τὴν Ἀντωνίαν καὶ τὸ τοῦ Ἰωάννου μνημεῖον, ταύτῃ μὲν τὴν ἄνω πόλιν αἱρήσειν ἐπινοῶν, τὸ δ’ ἱερὸν κατὰ τὴν Ἀντωνίαν· τούτου γὰρ μὴ ληφθέντος οὐδὲ τὸ ἄστυ κατέχειν ἀκίνδυνον ἦν· πρὸς ἑκατέρῳ δὲ μέρει δύο χώματα ἠγείρετο καθ’ ἓν ἑκάστου τάγματος. καὶ τοὺς μὲν παρὰ τὸ μνημεῖον ἐργαζομένους οἵ τε Ἰδουμαῖοι καὶ τὸ μετὰ τοῦ Σίμωνος ὁπλιτικὸν εἶργον ἐπεκθέοντες, τοὺς δὲ πρὸ τῆς Ἀντωνίας οἱ περὶ τὸν Ἰωάννην καὶ τὸ τῶν ζηλωτῶν πλῆθος. ἐπλεονέκτουν δ’ οὐ κατὰ χεῖρα μόνον ἀφ’ ὑψηλοτέρων μαχόμενοι, καὶ τοῖς ὀργάνοις δ’ ἤδη χρῆσθαι μεμαθηκότες· ἡ γὰρ καθ’ ἡμέραν τριβὴ κατὰ μικρὸν ἔθρεψε τὴν ἐμπειρίαν. εἶχον δ’ ὀξυβελεῖς μὲν τριακοσίους, τεσσαράκοντα δὲ τῶν λιθοβόλων, δι’ ὧν τὰ χώματα τοῖς Ῥωμαίοις ἐποίουν δυσέργαστα. Τίτος δὲ σώζεσθαί τε τὴν πόλιν καὶ ἀπόλλυσθαι εἰδὼς ἑαυτῷ, ἅμα καὶ τῇ πολιορκίᾳ προσέκειτο καὶ τοῦ παραινεῖν Ἰουδαίοις μετάνοιαν οὐκ ἠμέλει, τοῖς δ’ ἔργοις ἀνέμισγε συμβουλίαν, καὶ πολλάκις γινώσκων ἀνυτικώτερον ὅπλων τὸν λόγον, αὐτός τε σώζεσθαι παρεκάλει παραδόντας τὴν πόλιν ἤδη παρειλημμένην καὶ τὸν Ἰώσηπον καθίει τῇ πατρίῳ γλώσσῃ διαλέγεσθαι, τάχ’ ἂν ἐνδοῦναι πρὸς ὁμόφυλον δοκῶν αὐτούς.

9, 3. οὗτος περιιὼν τὸ τεῖχος καὶ πειρώμενος ἔξω τε βέλους εἶναι καὶ ἐν ἐπηκόῳ, πολλὰ κατηντιβόλει φείσασθαι

30. τῶν: om. LVRC | τε: om. PA 34. δὲ: δὴ LVRC 43. δυσέργαστα: δυσεργότερα LVRC 48. αὐτός Destinon αὐτοὺς PAMC αὐτοῖς LVR 50. τάχ’ ἂν Destinon τάχα codd. 52. ἔξω τε Niese ex Lat. ἔξω PAM ἐξωτέρω LVRC 53. ἐπηκόῳ: ὑπηκόῳ AM

assieme ai colpevoli perissero gli innocenti e che la città sprofondasse con la rivoluzione.

9, 2. In quattro giorni i romani finirono di riscuotere lo stipendio legione per legione; nel quinto, poiché da parte dei giudei non arrivavano proposte di pace, Tito divise le legioni in due gruppi[3] e cominciò a elevare i terrapieni di fronte all’Antonia e alla tomba di Giovanni[4] col proposito di espugnare da questa parte la città e dal lato dell’Antonia il tempio: infatti se non si prendeva anche questo, il possesso della città restava malsicuro. Il compito di costruire due terrapieni in ciascuno di questi due punti fu assegnato uno per legione. Quelli che lavoravano presso il monumento venivano ostacolati dalle sortite degli Idumei e degli uomini di Simone, quelli che lavoravano di fronte all’Antonia dalle forze di Giovanni e dal gruppo degli Zeloti. Tutti questi avevano la meglio non solo nel lancio dei proiettili a mano, dato che combattevano dall’alto, ma anche perché avevano ormai imparato a usare le macchine, resi esperti dall’esercizio quotidiano. Disponevano di trecento lanciamissili e quaranta baliste, con cui ostacolavano grandemente i lavori di riempimento dei romani. Tito, ben sapendo che la conservazione o la distruzione della città avrebbe avuto per lui un’importanza ben diversa, mentre proseguiva nelle operazioni d’assedio non tralasciava di esortare i giudei a riflettere; alternava all’azione i consigli, nella convinzione che spesso con una parola si conclude piú che con le armi, e non solo li invitò personalmente a salvarsi consegnando la città che ormai era presa, ma inviò anche Giuseppe a parlamentare nella loro lingua, pensando che quelli si sarebbero forse lasciati persuadere da un connazionale.

9, 3. Giuseppe, seguendo il perimetro del muro a una distanza che gli permetteva di essere fuori tiro e insieme di

μὲν αὐτῶν καὶ τοῦ δήμου, φείσασθαι δὲ τῆς πατρίδος καὶ
55 τοῦ ἱεροῦ μηδὲ γενέσθαι πρὸς ταῦτα τῶν ἀλλοφύλων ἀπα-
θεστέρους. Ῥωμαίους μέν γε τοὺς μὴ μετέχοντας ἐντρέ- 363
πεσθαι τὰ τῶν πολεμίων ἅγια καὶ μέχρι νῦν τὰς χεῖρας
ἐπέχειν, τοὺς δ' ἐντραφέντας αὐτοῖς κἂν περισωθῇ μόνους
ἕξοντας ὡρμῆσθαι πρὸς ἀπώλειαν αὐτῶν. ἦ μὴν τὰ καρτε- 364
60 ρώτερα μὲν αὐτῶν ὁρᾶν τείχη πεπτωκότα, λειπόμενον δὲ τὸ
τῶν ἑαλωκότων ἀσθενέστερον· γινώσκειν δὲ τὴν Ῥωμαίων
ἰσχὺν ἀνυπόστατον καὶ τὸ δουλεύειν τούτοις οὐκ ἀπείραστον
αὐτοῖς. εἰ γὰρ δὴ καὶ πολεμεῖν ὑπὲρ ἐλευθερίας καλόν, χρῆ- 365
ναι τὸ πρῶτον· τὸ δ' ἅπαξ ὑποπεσόντας καὶ μακροῖς εἴξαν-
65 τας χρόνοις ἔπειτα ἀποσείεσθαι τὸν ζυγὸν δυσθανατούντων,
οὐ φιλελευθέρων εἶναι. δεῖν μέντοι καὶ δεσπότας ἀδοξεῖν 366
ταπεινοτέρους, οὐχ οἷς ὑποχείρια τὰ πάντα. τί γὰρ Ῥω-
μαίους διαπεφευγέναι, πλὴν εἰ μή τι διὰ θάλπος ἢ κρύος
ἄχρηστον; μεταβῆναι γὰρ πρὸς αὐτοὺς πάντοθεν τὴν τύχην, 367
70 καὶ κατὰ ἔθνος τὸν θεὸν ἐμπεριάγοντα τὴν ἀρχὴν νῦν ἐπὶ
τῆς Ἰταλίας εἶναι. νόμον γε μὴν ὡρίσθαι καὶ παρὰ θηρσὶν
ἰσχυρότατον καὶ παρ' ἀνθρώποις, εἴκειν τοῖς δυνατωτέροις
καὶ τὸ κρατεῖν παρ' οἷς ἀκμὴ τῶν ὅπλων εἶναι. διὰ τοῦτο 368
καὶ τοὺς προγόνους αὐτῶν πολὺ καὶ ταῖς ψυχαῖς καὶ τοῖς
75 σώμασιν ἔτι δὲ καὶ ταῖς ἄλλαις ἀφορμαῖς ἀμείνους ὄντας,
εἶξαι Ῥωμαίοις, οὐκ ἂν εἰ μὴ τὸν θεὸν ᾔδεσαν σὺν αὐτοῖς
τοῦθ' ὑπομείναντας. αὐτοὺς δὲ τίνι καὶ πεποιθότας ἀντέχειν, 369
ἑαλωκυίας μὲν ἐκ πλείστου τῆς πόλεως μέρους, τῶν δ' ἔνδον,
εἰ καὶ τὰ τείχη παρέμενεν, ἁλώσεως χεῖρον διακειμένων;
80 οὐ γὰρ λανθάνειν Ῥωμαίους τὸν ἐν τῇ πόλει λιμόν, ᾧ νῦν 370
μὲν τὸν δῆμον, μετ' οὐ πολὺ δὲ διαφθαρήσεσθαι καὶ τοὺς

54. αὐτῶν: αὐτῶν PLV αυτῶν R ἑαυτὸν C 55-6. ἀπαθεστέρους: ἀναισθητοτέρους L 60. μετέχοντας: μετασχόντας PA 59. αὐτῶν: αὐτοῦ PA 62. ἀπείραστον: ἀπείρατον ML 63. δή: δεῖ LV 65. δυσθανατούντων: δυσθανατώντων AMLVRC 66. δεῖν: δεῖ PMLVRC 70-1. ἐπὶ τῆς Ἰταλίας εἶναι: ἐπὶ τὴν ἰταλίαν θεῖναι C 74. πολὺ: om. PAMVRC 79. παρέμενεν: παρέμενον A

farsi sentire, scongiurò lungamente i giudei di risparmiare sé stessi e il popolo, di risparmiare la patria e il tempio, e di non nutrire per tutto ciò un'indifferenza maggiore di quella degli stranieri. I romani, pur non avendovi alcun interesse, 363 rispettavano i luoghi sacri dei nemici e fino allora non li avevano toccati; invece si adoperavano per la loro distruzione essi che vi erano cresciuti in mezzo e che da soli avrebbero continuato a goderne il possesso se si fossero salvati. Eppure 364 vedevano che i due muri piú forti erano stati abbattuti e che ne rimaneva uno piú debole di quelli già espugnati; conoscevano la forza invincibile dei romani e avevano già fatto esperienza di ubbidire a loro. Certamente era bello combattere 365 per la libertà, ma bisognava farlo al principio; ora, una volta sottomessi e rimasti soggetti per tanto tempo, il voler scuotere il giogo non era da persone amanti della libertà, ma da persone che volevano fare una brutta fine[5]. Si dovevano certo 366 disprezzare dei padroni di poco conto, ma non quelli che dominavano il mondo intero. Che cosa era rimasto fuori dell'impero romano se non qualche landa desolata per il troppo caldo o il troppo freddo? La fortuna era passata dappertutto 367 dalla loro parte, e il dio che a turno assegna il comando fra le nazioni si era ora fermato in Italia[6]. Legge suprema in vigore presso le bestie come presso gli uomini era quella di cedere al piú forte, e che di dominare spettava a chi aveva armi piú potenti. Perciò i loro antenati, che pure li avevano di molto 368 superati per le doti spirituali e fisiche e per tutti gli altri mezzi, si erano piegati ai romani, e non lo avrebbero tollerato se non avessero saputo che il dio era con quelli. Loro, poi, su 369 che cosa facevano affidamento per resistere, dato che la maggior parte della città era stata espugnata e gli abitanti, sebbene le mura restavano ancora in piedi, si trovavano peggio che se fossero stati vinti? Non sfuggiva ai romani che nella 370 città si soffriva la fame, la quale per il momento decimava il popolo, ma fra breve avrebbe fatto strage anche fra i ribelli.

μαχίμους. εἰ γὰρ δὴ καὶ παύσαιντο Ῥωμαῖοι τῆς πολιορκίας 371
μηδ' ἐπιπίπτοιεν τῇ πόλει ξιφήρεις, αὐτοῖς γε τὸν ἄμαχον
πόλεμον ἔνδον παρακαθῆσθαι καθ' ἑκάστην ὥραν τρεφόμε-
85 νον, εἰ μὴ καὶ πρὸς τὸν λιμὸν ἆραι τὰ ὅπλα καὶ μάχεσθαι
δύνανται, μόνοι τε καὶ παθῶν ἐπικρατεῖν. προσετίθει δὲ ὡς 372
καλὸν πρὸ ἀνηκέστου συμφορᾶς μεταβαλέσθαι καὶ πρὸς τὸ
σωτήριον ἕως ἔξεστι ῥέψαι· καὶ γὰρ οὐδὲ μνησικακήσειν
αὐτοῖς Ῥωμαίους τῶν γεγενημένων, εἰ μὴ μέχρι τέλους
90 ἀπαυθαδίσαιντο· φύσει τε γὰρ ἐν τῷ κρατεῖν ἡμέρους εἶναι
καὶ πρὸ τῶν θυμῶν θήσεσθαι τὸ συμφέρον. τοῦτο δ' εἶναι 373
μήτε τὴν πόλιν ἀνδρῶν κενὴν μήτε τὴν χώραν ἔρημον ἔχειν.
διὸ καὶ νῦν Καίσαρα βούλεσθαι δεξιὰν αὐτοῖς παρασχεῖν·
οὐ γὰρ ἂν σῶσαί τινα βίᾳ λαβόντα τὴν πόλιν, καὶ μάλιστα
95 μηδ' ἐν ἐσχάταις συμφοραῖς ὑπακουσάντων παρακαλοῦντι.
τοῦ γε μὴν ταχέως τὸ τρίτον τεῖχος ἁλώσεσθαι τὰ προεα- 374
λωκότα πίστιν εἶναι· κἂν ἄρρηκτον δὲ ᾖ τὸ ἔρυμα, τὸν λιμὸν
ὑπὲρ Ῥωμαίων αὐτοῖς μαχεῖσθαι.

9, 4. ταῦτα τὸν Ἰώσηπον παραινοῦντα πολλοὶ μὲν ἔσκω- 375
100 πτον ἀπὸ τοῦ τείχους, πολλοὶ δ' ἐβλασφήμουν, ἔνιοι δ' ἔβαλ-
λον. ὁ δ' ὡς ταῖς φανεραῖς οὐκ ἔπειθε συμβουλίαις, ἐπὶ τὰς
ὁμοφύλους μετέβαινεν ἱστορίας, «ἆ δειλοί,» βοῶν, «καὶ τῶν 376
ἰδίων ἀμνήμονες συμμάχων, ὅπλοις καὶ χερσὶ πολεμεῖτε
Ῥωμαίοις; τίνα γὰρ ἄλλον οὕτως ἐνικήσαμεν; πότε δ' οὐ 377
105 θεὸς ὁ κτίσας, ἂν ἀδικῶνται, Ἰουδαίων ἔκδικος; οὐκ ἐπι-
στραφέντες ὄψεσθε πόθεν ὁρμώμενοι μάχεσθε καὶ πηλίκον
ἐμιάνατε σύμμαχον; οὐκ ἀναμνήσεσθε πατέρων ἔργα δαι-
μόνια, καὶ τὸν ἅγιον τόνδε χῶρον ἡλίκους ἡμῖν πάλαι πο-

83. ἐπιπίπτοιεν: ἐπεισπίπτοιεν LV 85. ἆραι: ἄρα C ἆρα R 86. δύναν-
ται: δύναιντο LVRC | τε: om. AMC 91. τοῦτο: τούτου C 94. λαβόντα:
λαβὼν LVRC 98. μαχεῖσθαι Niese ex Lat *pugnaturam* μάχεσθαι codd.
102. δειλοί: δείλαιοι MLVRC 103. πολεμεῖτε: πολεμεῖται PALV[1] 106. πη-
λίκον: τηλικοῦτον L 107. ἐμιάνατε: ἐμιάνετε M | ἀναμνήσεσθε: ἀναμνησθή-
σεσθαι L ἀναμνήσεσθαι V ἀναμνήσασθε C 108. ἡμῖν: ὑμῖν AMV

E se anche i romani avessero interrotto le operazioni d'asse- 371
dio e non si fossero scagliati in armi contro la città, loro
avevano dentro casa un nemico imbattibile che cresceva ogni
giorno di piú: a meno che essi non potessero scendere in
campo anche contro la fame e vincerne, essi soli, i patimenti.
Aggiungeva che era bello cambiare idea prima di un disastro 372
irreparabile e rivolgersi a considerazioni salutari finché si era
ancora in tempo. I romani non avrebbero portato loro ran-
core per il passato purché non avessero persistito fino in
fondo nel loro atteggiamento oltracotante; essi erano per
natura miti con i vinti[7], e al desiderio di vendetta anteponevano
la considerazione del proprio vantaggio. Questo non consi- 373
steva nell'impadronirsi di una città spopolata né di un terri-
torio deserto, e perciò Cesare continuava ad offrire loro la
possibilità di trattare; ma se egli avesse preso d'assalto la
città non avrebbe risparmiato nessuno, specialmente dopo
che avevano respinto i suoi appelli pur trovandosi sull'orlo
della catastrofe. Che anche il terzo muro[8] sarebbe stato presto 374
espugnato lo provava la caduta degli altri due; e anche se
quello fosse risultato incrollabile, la fame li avrebbe domati
per conto dei romani.

9, 4. Mentre Giuseppe andava rivolgendo queste esorta- 375
zioni, molti dall'alto del muro lo beffeggiavano, molti impre-
cavano contro di lui e alcuni cercavano di colpirlo. Quando
egli vide che non riusciva a persuaderli coi propri argomenti,
passò ad altri ricavati dalla loro storia nazionale gridando:
«Poveri disgraziati, dimentichi dei vostri veri alleati[9], con 376
la forza delle armi vi misurerete con i romani? Quale altro
nemico abbiamo sconfitto in questo modo? E invece, quando 377
il dio nostro creatore non ha aiutato i giudei ad ottener giu-
stizia allorché subivano qualche torto? Non vi volterete a
guardare qual è il luogo da cui muovete a battaglia e quale
potente alleato avete empiamente offeso? Non ricorderete le
imprese sovrumane dei padri e da quali ardue guerre questo

λέμους καθεῖλεν; ἐγὼ μὲν φρίττω τὰ ἔργα τοῦ θεοῦ λέγων 378
110 εἰς ἀναξίους ἀκοάς· ἀκούετε δ' ὅμως, ἵνα γνῶτε μὴ μόνον
Ῥωμαίοις πολεμοῦντες ἀλλὰ καὶ τῷ θεῷ. βασιλεὺς ὁ τότε 379
Νεχαὼς Αἰγυπτίων, ὁ δ' αὐτὸς ἐκαλεῖτο καὶ Φαραώ, μυρίᾳ
χειρὶ καταβὰς ἥρπασε Σάρραν βασιλίδα, τὴν μητέρα τοῦ
γένους ἡμῶν. τί οὖν ὁ ταύτης ἀνὴρ Ἀβραάμ, προπάτωρ δ' 380
115 ἡμέτερος; ἆρα τὸν ὑβριστὴν ἠμύνατο τοῖς ὅπλοις, καίτοι
ὀκτωκαίδεκα μὲν καὶ τριακοσίους ὑπάρχους ἔχων, δύναμιν
δ' ὑφ' ἑκάστῳ τούτων ἄπειρον; ἢ αὐτοὺς μὲν ἐρημίαν ἡγή-
σατο μὴ συμπαρόντος θεοῦ, καθαρὰς δ' ἀνατείνας τὰς χεῖρας
εἰς ὃν νῦν ἐμιάνατε χῶρον ὑμεῖς, τὸν ἀνίκητον αὐτῷ βοηθὸν
120 ἐστρατολόγησεν; οὐ μετὰ μίαν ἑσπέραν ἄχραντος μὲν ἡ βα- 381
σίλισσα ἀνεπέμφθη πρὸς τὸν ἄνδρα, προσκυνῶν δὲ τὸν ὑφ'
ὑμῶν αἱμαχθέντα χῶρον ὁμοφύλῳ φόνῳ καὶ τρέμων ἀπὸ
τῶν ἐν νυκτὶ φαντασμάτων ἔφευγεν ὁ Αἰγύπτιος, ἀργύρῳ
δὲ καὶ χρυσῷ τοὺς θεοφιλεῖς Ἑβραίους ἐδωρεῖτο; εἴπω τὴν 382
125 εἰς Αἴγυπτον μετοικίαν τῶν πατέρων; οὐ τυραννούμενοι καὶ
βασιλεῦσιν ἀλλοφύλοις ὑποπεπτωκότες τετρακοσίοις ἔτεσι,
παρὸν ὅπλοις ἀμύνεσθαι καὶ χερσί, σφᾶς αὐτοὺς ἐπέτρεψαν
τῷ θεῷ; τίς οὐκ οἶδεν τὴν παντὸς θηρίου καταπλησθεῖ- 383
σαν Αἴγυπτον καὶ πάσῃ φθαρεῖσαν νόσῳ, τὴν ἄκαρπον
130 γῆν, τὸν ἐπιλείποντα Νεῖλον, τὰς ἐπαλλήλους δέκα πληγάς,
τοὺς διὰ ταῦτα μετὰ φρουρᾶς προπεμπομένους πατέρας
ἡμῶν ἀναιμάκτους ἀκινδύνους, οὓς ὁ θεὸς αὐτῷ νεωκό-
ρους ἦγεν; ἀλλὰ τὴν ὑπὸ Σύρων ἁρπαγεῖσαν ἁγίαν ἡμῖν 384
λάρνακα οὐκ ἐστέναξε μὲν ἡ Παλαιστίνη καὶ Δαγὼν τὸ
135 ξόανον, ἐστέναξε δὲ πᾶν τὸ τῶν ἁρπασαμένων ἔθνος, σηπό- 385
μενοι δὲ τὰ κρυπτὰ τοῦ σώματος καὶ δι' αὐτῶν τὰ σπλάγ-

115. ἠμύνατο: ἠμύνετο L 117. ὑφ': ἐφ' ALR | ἑκάστῳ: ἑκάστου PAMVR 119. αὐτῷ Dindorf αὐτῶ codd. 123. φαντασμάτων: φασμάτων ML 125. οὐ: οἱ PLVRC 127. ἀμύνεσθαι: ἀμύνασθαι VRC 129. τὴν ἄκαρπον: τίνα καρπὸν PA[1] 130. γῆν: om. PA 132. οὓς: οἵους VRC | αὐτῷ: αὐτῶ PAL ἑαυτῶν M ἑαυτῷ VRC 133. ὑπὸ Σύρων: ὑπ' ἀσσυρίων MCLat ὑπὸ σύρων καὶ ἀζωτίων L

santo luogo ci liberò? In verità io provo orrore a parlare delle 378
opere del dio ad orecchie indegne; tuttavia voglio che mi
ascoltiate, perché sappiate che ora voi combattete non solo
contro i romani, ma anche contro il dio. L'allora re degli 379
egizi Nechao, che si chiamava anche Faraone, arrivò alla testa
di un esercito sterminato e rapí la regina Sara, madre della
nostra stirpe. Che fece allora suo marito Abramo, il nostro 380
progenitore? Si vendicò egli forse dell'offesa con le armi, pur
avendo trecentodiciotto capitani, ciascuno con un grandissimo
numero di soldati? Oppure stimò che costoro non erano
niente senza l'aiuto di dio e, protendendo le mani monde da
impurità verso il luogo che ora voi avete profanato, si assicurò
il sostegno dell'invincibile? Non avvenne allora che, dopo 381
appena una notte, la regina fu rinviata intatta al suo sposo,
mentre l'egizio preso da riverente timore per il luogo che voi
avete lordato del sangue dei vostri connazionali, e ancora
tremante per le visioni avute nella notte, si ritirava in fuga
dopo aver lasciato doni di oro e di argento ai pii ebrei[10]?
Debbo parlare della migrazione in Egitto dei nostri padri? 382
Oppressi e assoggettati a re stranieri per quattrocento anni,
pur potendo insorgere con le armi in pugno, non si affida-
rono invece al dio? E chi non sa che l'Egitto si riempí di ogni 383
specie di bestie, che fu flagellato da ogni sorta di malattie,
che la terra divenne sterile, che il Nilo si prosciugò. tutte le
dieci piaghe che si susseguirono, che dopo ciò i nostri padri
furono rinviati in patria con l'accompagnamento di una scorta
senza aver versato sangue e senza pericoli, guidati dal dio che
proteggeva i futuri custodi del suo tempio[11]? E per la nostra 384
santa arca rapita dai Siri non dovettero gemere la Palestina
e l'idolo di Dagon, non dovette gemere l'intero popolo dei 385
rapitori che, con le parti ascose del corpo putrefatte donde

χνα μετὰ τῶν σιτίων καταφέροντες, χερσὶ ταῖς λῃσαμέναις
ἀνεκόμισαν κυμβάλων, καὶ τυμπάνων ἤχῳ καὶ πᾶσι μει-
λικτηρίοις ἱλασκόμενοι τὸ ἅγιον; θεὸς ἦν ὁ ταῦτα πα- 386
140 τράσιν ἡμετέροις στρατηγῶν, ὅτι τὰς χεῖρας καὶ τὰ ὅπλα
παρέντες αὐτῷ κρῖναι τὸ ἔργον ἐπέτρεψαν. βασιλεὺς Ἀσ- 387
συρίων Σενναχηρεὶμ ὅτε πᾶσαν τὴν Ἀσίαν ἐπισυρόμενος
τήνδε περιεστρατοπεδεύσατο τὴν πόλιν, ἆρα χερσὶν ἀν-
θρωπίναις ἔπεσεν; οὐχ αἱ μὲν ἀπὸ τῶν ὅπλων ἠρεμοῦσαι 388
145 ἐν προσευχαῖς ἦσαν, ἄγγελος δὲ τοῦ θεοῦ μιᾷ νυκτὶ τὴν
ἄπειρον στρατιὰν ἐλυμήνατο, καὶ μεθ' ἡμέραν ἀναστὰς ὁ
Ἀσσύριος ὀκτωκαίδεκα μυριάδας ἐπὶ πεντακισχιλίοις νε-
κρῶν εὗρε, μετὰ δὲ τῶν καταλειπομένων ἀνόπλους καὶ μὴ
διώκοντας Ἑβραίους ἔφυγεν; ἴστε καὶ τὴν ἐν Βαβυλῶνι 389
150 δουλείαν, ἔνθα μετανάστης ὁ λαὸς ὢν ἔτεσιν ἑβδομήκοντα
οὐ πρότερον εἰς ἐλευθερίαν ἀνεχαίτισεν ἢ Κῦρον τοῦτο
χαρίσασθαι τῷ θεῷ· προυπέμφθησαν γοῦν ὑπ' αὐτοῦ, καὶ
πάλιν τὸν αὐτῶν σύμμαχον ἐνεωκόρουν. καθόλου δ' εἰπεῖν, 390
οὐκ ἔστιν ὅ τι κατώρθωσαν οἱ πατέρες ἡμῶν τοῖς
155 ὅπλοις ἢ δίχα τούτων διήμαρτον ἐπιτρέψαντες τῷ θεῷ·
μένοντες μέν γε κατὰ χώραν ἐνίκων ὡς ἐδόκει τῷ κριτῇ,
μαχόμενοι δ' ἔπταισαν ἀεί. τοῦτο μέν, ἡνίκα βασιλεὺς 391
Βαβυλωνίων ἐπολιόρκει ταύτην τὴν πόλιν, συμβαλὼν Σε-
δεκίας ὁ ἡμέτερος βασιλεὺς παρὰ τὰς Ἱερεμίου προφη-
160 τείας αὐτός θ' ἑάλω καὶ τὸ ἄστυ μετὰ τοῦ ναοῦ κατασκα-
πτόμενον εἶδε· καίτοι πόσῳ μετριώτερος ὁ μὲν βασιλεὺς
ἐκεῖνος τῶν ὑμετέρων ἡγεμόνων ἦν, ὁ δ' ὑπ' αὐτῷ λαὸς
ὑμῶν. βοῶντα γοῦν τὸν Ἱερεμίαν, ὡς ἀπέχθοιντο μὲν τῷ 392
θεῷ διὰ τὰς εἰς αὐτὸν πλημμελείας, ἁλώσοιντο δ' εἰ μὴ
165 παραδοῖεν τὴν πόλιν, οὔθ' ὁ βασιλεὺς οὔθ' ὁ δῆμος ἀνεῖλεν.

137. λῃσαμέναις: δηησαμέναις P δηισαμέναις A ληϊσαμέναις MLVRC 147. πεντακισχιλίοις: πεντακισχιλίους PA[1]LVRC 152. προυπέμφθησαν: προυπέμφθεισαν P προεπέμφθησαν L 153. αὐτῶν: αὐτῶν PAV ἑαυτῶν M ἑναυτῷ L αὐτὸν C 157. ἔπταισαν: ἔπτεσαν R 161. εἶδε: ἴδε PAR 163. ἀπέχθοιντο: ἀπεχθάνοιντο C

fuoriuscivano gli intestini insieme col cibo, restituirono l'arca con le stesse mani che l'avevano trafugata, fra suoni di cembali e di timpani e propiziandosi il luogo santo con ogni sorta di espiazioni[12]? In queste imprese fu dio il comandante dei 386 nostri padri, che misero da parte le armi e si affidarono nelle sue mani. Quando il re degli assiri Sennacherib, portandosi 387 dietro tutta l'Asia, si accampò attorno a questa città, fu per mano di uomini che egli cadde? Non erano invece prive di 388 armi e protese nella preghiera le mani, mentre in una sola notte l'angelo di dio sterminò quell'immenso esercito, e il giorno dopo l'assiro, alzandosi, trovò centottantacinquemila morti, e assieme ai superstiti si diede alla fuga dinanzi agli ebrei che erano inermi e non lo inseguivano[13]? Voi sapete 389 anche la storia della schiavitú in Babilonia, ove il popolo stette in esilio per settant'anni senza sollevare il capo verso la libertà prima che Ciro gliela concedesse in segno di gratitudine al dio; fu da lui che essi furono rimandati liberi e tornarono a custodire il tempio del loro alleato[14]. In breve, non 390 vi fu impresa in cui i nostri padri trionfarono con le armi, né vi fu impresa in cui, pur disarmati, essi fallirono dopo essersi affidati al dio; senza muoversi dal loro posto essi vinsero secondo il volere del giudice supremo, mentre quando scesero in campo furono sempre sconfitti[15]. Cosí fu quando il 391 re dei babilonesi[16] assediò questa città e il nostro re Sedecia, venuto a battaglia con lui contrariamente ai profetici ammonimenti di Geremia, fu fatto prigioniero e vide la distruzione della città insieme col santuario. Eppure, quanto piú moderato fu quel re al confronto dei vostri capi, e il suo popolo rispetto al vostro! Infatti, sebbene Geremia andasse conclamando che 392 essi erano invisi al dio per le offese arrecategli, e che sarebbero caduti in prigionia se non consegnavano la città, tuttavia né il re né il popolo lo condannarono a morte. Voi invece - e 393

ἀλλ' ὑμεῖς, ἵν' ἐάσω τἄνδον, οὐ γὰρ ἂν ἑρμηνεῦσαι δυναίμην 393
τὰς παρανομίας ὑμῶν ἀξίως, ἐμὲ τὸν παρακαλοῦντα πρὸς
σωτηρίαν ὑμᾶς βλασφημεῖτε καὶ βάλλετε, παροξυνόμενοι
πρὸς τὰς ὑπομνήσεις τῶν ἁμαρτημάτων καὶ μηδὲ τοὺς
170 λόγους φέροντες ὧν τἄργα δρᾶτε καθ' ἡμέραν. τοῦτο δ', 394
ἡνίκα 'Αντιόχου τοῦ κληθέντος 'Επιφανοῦς προσκαθεζομέ-
νου τῇ πόλει πολλὰ πρὸς τὸ θεῖον ἐξυβρικότος, οἱ πρό-
γονοι μετὰ τῶν ὅπλων προῆλθον, αὐτοὶ μὲν ἀπεσφάγησαν
ἐν τῇ μάχῃ, διηρπάγη δὲ τὸ ἄστυ τοῖς πολεμίοις, ἠρημώθη
175 δ' ἔτη τρία καὶ μῆνας ἓξ τὸ ἅγιον. καὶ τί δεῖ τἆλλα λέγειν; 395
ἀλλὰ 'Ρωμαίους τίς ἐστρατολόγησε κατὰ τοῦ ἔθνους; οὐχ
ἡ τῶν ἐπιχωρίων ἀσέβεια; πόθεν δ' ἠρξάμεθα δουλείας;
ἆρ' οὐχὶ ἐκ στάσεως τῶν προγόνων, ὅτε ἡ 'Αριστοβούλου 396
καὶ 'Υρκανοῦ μανία καὶ πρὸς ἀλλήλους ἔρις Πομπήιον
180 ἐπήγαγεν τῇ πόλει καὶ 'Ρωμαίοις ὑπέταξεν ὁ θεὸς τοὺς
οὐκ ἀξίους ἐλευθερίας; τρισὶ γοῦν μησὶ πολιορκηθέντες 397
ἑαυτοὺς παρέδοσαν, οὔθ' ἁμαρτόντες εἰς τὰ ἅγια καὶ τοὺς
νόμους ἡλίκα ὑμεῖς καὶ πολὺ μείζοσιν ἀφορμαῖς πρὸς
τὸν πόλεμον χρώμενοι. τὸ δ' 'Αντιγόνου τέλος τοῦ 'Αρι- 398
185 στοβούλου παιδὸς οὐκ ἴσμεν, οὗ βασιλεύοντος ὁ θεὸς ἁλώ-
σει πάλιν τὸν λαὸν ἤλαυνε πλημμελοῦντα, καὶ 'Ηρώδης
μὲν ὁ 'Αντιπάτρου Σόσσιον, Σόσσιος δὲ 'Ρωμαίων στρα-
τιὰν ἤγαγεν, περισχεθέντες δ' ἐπὶ μῆνας ἓξ ἐπολιορκοῦντο,
μέχρι δίκας τῶν ἁμαρτιῶν δόντες ἑάλωσαν καὶ διηρπάγη
190 τοῖς πολεμίοις ἡ πόλις; οὕτως οὐδέποτε τῷ ἔθνει τὰ ὅπλα δέ- 399
δοται, τῷ δὲ πολεμεῖσθαι καὶ τὸ ἁλώσεσθαι πάντως πρόσεσ-
τι. δεῖ γάρ, οἶμαι, τοὺς χωρίον ἅγιον νεμομένους ἐπιτρέπειν 400
πάντα τῷ θεῷ δικάζειν καὶ καταφρονεῖν τότε χειρὸς ἀνθρω-

166. ἂν ins. Destinon 171. κληθέντος: ἐπικληθέντος L 172. ἐξυβρικότος: ἐξυβρικότες L 174. διηρπάγη: διηρπάγει P 175. δ' ἔτη: δὲ ἐπὶ ἔτη L δὲ ἔτη VR δ' ἔτι C | τἆλλα: ταῦτα C 178. ἐκ στάσεως: ἀπεκστάσεως P ἐκτάσεως R 179. πρὸς: ἡ πρὸς PL 182. ἁμαρτόντες: ἁμαρτῶντες PAL 187-8. στρατιὰν: στρατηγίαν L 189. διηρπάγη: διηρπάγει P

tralascio ciò che succede entro la città perché non sarei capace di dare un quadro preciso dei vostri misfatti – lanciate improperi e proiettili contro di me che vi esorto a salvarvi, infuriandovi a sentir ricordare le vostre colpe e intolleranti di sentir solo parlare di quelle azioni che pur commettete quotidianamente. Cosí fu ancora una volta quando Antioco soprannominato Epifane[17], che molte offese aveva arrecate al dio, assediò la città, e i vostri antenati che l'avevano affrontato in battaglia furono sterminati mentre la città veniva saccheggiata dai nemici, e per tre anni e sei mesi il tempio rimase deserto. C'è bisogno di continuare? Chi spinse i romani contro il nostro paese? Non fu l'empietà degli abitanti? Donde ebbe inizio la nostra soggezione a loro? Non fu dalla contesa scoppiata tra i nostri antenati, quando la follia di Aristobulo e di Ircano e la loro mutua contesa attirò contro la città Pompeo[18], e il dio sottomise al dominio dei romani chi non era piú degno della libertà? Quelli tuttavia si arresero dopo un assedio di tre mesi, sebbene non si fossero macchiati delle vostre colpe verso il tempio e verso le leggi e disponessero di mezzi assai piú larghi per la guerra. Non conosciamo noi la fine di Antigono, il figlio di Aristobulo, sotto il cui regno ancora una volta il dio puní le colpe del popolo con la presa della città, ed Erode figlio di Antipatro attirò Sosio, e Sosio l'esercito romano, e il popolo per sei mesi fu stretto d'assedio fino a che, pagando il fio delle sue colpe, fu vinto e la città fu saccheggiata dai nemici[19]? Cosí alla nostra nazione non è mai stato concesso di trarre profitto dalle armi, e alle guerre si accompagna senza fallo la sconfitta. Ciò perché, io credo, gli abitanti del sacro suolo debbono rimettere ogni questione al giudizio di dio e non preoccuparsi dell'aiuto che

πίνης, ὅταν αὐτοὶ πείθωσι τὸν ἄνω δικαστήν. ὑμῖν δὲ τί τῶν 401
195 εὐλογηθέντων ὑπὸ τοῦ νομοθέτου πέπρακται; τί δὲ τῶν
ὑπ' ἐκείνου κατηραμένων παραλέλειπται; πόσῳ δ' ἐστὲ
τῶν τάχιον ἁλόντων ἀσεβέστεροι; οὐ τὰ κρυπτὰ μὲν τῶν 402
ἁμαρτημάτων ἠδοξήκατε, κλοπὰς λέγω καὶ ἐνέδρας καὶ
μοιχείας, ἁρπαγαῖς δ' ἐρίζετε καὶ φόνοις καὶ ξένας καινο-
200 τομεῖτε κακίας ὁδούς, ἐκδοχεῖον δὲ πάντων τὸ ἱερὸν γέγονεν
καὶ χερσὶν ἐμφυλίοις ὁ θεῖος μεμίανται χῶρος, ὃν καὶ
Ῥωμαῖοι πόρρωθεν προσεκύνουν, πολλὰ τῶν ἰδίων ἐθῶν
εἰς τὸν ὑμέτερον παραλύοντες νόμον. εἶτ' ἐπὶ τούτοις τὸν 403
ἀσεβηθέντα σύμμαχον προσδοκᾶτε; πάνυ γοῦν ἐστὲ δίκαιοι
205 ἱκέται καὶ χερσὶ καθαραῖς τὸν βοηθὸν ὑμῶν παρακαλεῖτε.
τοιαύταις ὁ βασιλεὺς ἡμῶν ἱκέτευσεν ἐπὶ τὸν Ἀσσύριον, 404
ὅτε τὸν μέγαν ἐκεῖνον στρατὸν μιᾷ νυκτὶ κατέστρωσεν ὁ
θεός; ὅμοια δὲ τῷ Ἀσσυρίῳ Ῥωμαῖοι δρῶσιν, ἵνα καὶ
ἄμυναν ὑμεῖς ὁμοίαν ἐλπίσητε; οὐχ ὁ μὲν χρήματα παρὰ 405
210 τοῦ βασιλέως ἡμῶν λαβὼν ἐφ' ᾧ μὴ πορθήσει τὴν πόλιν
κατέβη παρὰ τοὺς ὅρκους ἐμπρῆσαι τὸν ναόν, Ῥωμαῖοι
δὲ τὸν συνήθη δασμὸν αἰτοῦσιν, ὃν οἱ πατέρες ἡμῶν τοῖς
ἐκείνων πατράσι παρέσχον; καὶ τούτου τυχόντες οὔτε πορ- 406
θοῦσι τὴν πόλιν οὔτε ψαύουσι τῶν ἁγίων, διδόασι δ' ὑμῖν
215 τὰ ἄλλα, γενεάς τ' ἐλευθέρας καὶ κτήσεις τὰς ἑαυτῶν νέ-
μεσθαι καὶ τοὺς ἱεροὺς νόμους σώζουσι. μανία δὴ τὸν θεὸν 407
προσδοκᾶν ἐπὶ δικαίοις οἷος ἐπ' ἀδίκοις ἐφάνη. καὶ παρα-
χρῆμα δ' ἀμύνειν οἶδεν ὅταν δέῃ· τοὺς γοῦν Ἀσσυρίους
κατὰ νύκτα τὴν πρώτην παραστρατοπεδευσαμένους ἔκλασεν·
220 ὥστ' εἰ καὶ τὴν ἡμετέραν γενεὰν ἐλευθερίας ἢ Ῥωμαίους 408
κολάσεως ἀξίους ἔκρινε, κἂν παραχρῆμα καθάπερ τοῖς

194. ὅταν: ὅτε PAMVRC | πείθωσι: πείθουσι MVR περιθέωσι C 196. παραλέλειπται: ὑπολέλειπται L 199. ἐρίζετε: ἐρίζεται P 201. μεμίανται: μεμίασται M 203. εἰς τὸν ὑμέτερον παραλύοντες νόμον: παραλύοντες εἰς τὸν ἡμέτερον νόμον C παραλύοντες καὶ νόμων PAMVR 206. ἡμῶν: ὑμῶν AMLVR 210. πορθήσει: πορθήσῃ ALVR πορθήσειν M 215. τὰ ἄλλα: τἄλλα LVRC 219. ἔκλασεν: ἐκόλασεν VR ἐκώλασεν C

possono dare gli uomini quando abbiano propizio il giudice supremo. Ma voi quali azioni benedette dal legislatore avete 401 compiute? Da quali azioni da lui maledette vi siete astenuti[20]? Quanto non siete piú empi degli antenati che furono sconfitti in passato? Voi non trascuraste le colpe occulte, intendo dire 402 furti, agguati, adultèri, e inoltre fate a gara nelle rapine e negli assassini, e aprite nuove strade al delitto; il tempio è diventato il ricettacolo di tutti i delinquenti e il luogo santo è profanato da mani di connazionali mentre anche i romani lo rispettarono tenendosene lontani[21] e trascurando molti dei loro usi in ossequio alla vostra legge. E dopo tutto questo voi vi 403 aspettate il soccorso di chi avete empiamente offeso? Siete proprio dei supplici a posto con la giustizia, voi, e con mani veramente pure invocate il vostro protettore! Cosí erano le 404 mani del vostro re quando egli lo supplicò contro l'assiro, e in una sola notte il dio sterminò quell'immenso esercito! E i romani si comportano come l'assiro, sí che voi possiate sperare di trarne uguale vendetta? O non è vero invece che 405 quello, dopo essersi fatta consegnare dal nostro re una grossa somma per non distruggere la città, violò i patti giurati e venne a incendiare il tempio, mentre i romani non chiedono che il consueto tributo, che i nostri padri pagarono ai loro[22]? Dopo averlo riscosso essi né saccheggiano la città, né toccano 406 le cose sacre, ma vi lasciano godere tutto il resto, la libertà per le vostre famiglie, a ognuno il possesso dei suoi beni, e tutelano le leggi sacre. È una pazzia aspettarsi che il dio 407 tratti i giusti come gli ingiusti. Quando è necessario, egli sa colpire rapidamente, come fece con gli assiri, che distrusse la prima notte che s'erano accampati presso la città; sí che se 408 egli avesse giudicato il nostro popolo meritevole della libertà, o i romani meritevoli di castigo, egli si sarebbe subito mosso,

'Ασσυρίοις ἐνέσκηψεν, ὅτε τοῦ ἔθνους ἥπτετο Πομπήιος,
ὅτε μετ' αὐτὸν ἀνῄει Σόσσιος, ὅτε Οὐεσπασιανὸς ἐπόρθει
τὴν Γαλιλαίαν, τὰ τελευταῖα νῦν, ὅτε ἤγγιζε Τίτος τῇ
225 πόλει. καίτοι Μάγνος μὲν καὶ Σόσσιος πρὸς τῷ μηδὲν 409
παθεῖν καὶ ἀνὰ κράτος ἔλαβον τὴν πόλιν, Οὐεσπασιανὸς
δ' ἐκ τοῦ πρὸς ἡμᾶς πολέμου καὶ βασιλείας ἤρξατο, Τίτῳ
μὲν γὰρ καὶ πηγαὶ πλουσιώτεραι ῥέουσιν αἱ ξηρανθεῖσαι
πρότερον ὑμῖν· πρὸ γοῦν τῆς αὐτοῦ παρουσίας τήν τε Σι- 410
230 λωὰν ἐπιλείπουσαν ἴστε καὶ τὰς πρὸ τοῦ ἄστεος ἁπάσας,
ὥστε πρὸς ἀμφορέας ὠνεῖσθαι τὸ ὕδωρ· τὸ δὲ νῦν οὕτως
πληθύουσι τοῖς πολεμίοις ὑμῶν, ὡς μὴ μόνον αὐτοῖς καὶ
κτήνεσιν, ἀλλὰ καὶ κήποις διαρκεῖν. τό γε μὴν τέρας τοῦτο 411
πεπείραται καὶ πρότερον ἐφ' ἁλώσει τῆς πόλεως γεγε-
235 νημένον, ὅθ' ὁ προειρημένος Βαβυλώνιος ἐπεστράτευσεν,
ὃς τήν τε πόλιν ἑλὼν ἐνέπρησε καὶ τὸν ναόν, οὐδὲν οἶμαι
τῶν τότε ἠσεβηκότων τηλικοῦτον ἡλίκα ὑμεῖς· ὥστ' ἐγὼ 412
πεφευγέναι μὲν ἐκ τῶν ἁγίων οἶμαι τὸ θεῖον, ἑστάναι δὲ
παρ' οἷς πολεμεῖτε νῦν. ἀλλ' ἀνὴρ μὲν ἀγαθὸς οἰκίαν ἀσελ- 413
240 γῆ φεύξεται καὶ τοὺς ἐν αὐτῇ στυγήσει, τὸν δὲ θεὸν ἔτι
πείθεσθε τοῖς οἰκείοις κακοῖς παραμένειν, ὃς τά τε κρυπτὰ
πάντα ἐφορᾷ καὶ τῶν σιγωμένων ἀκούει; τί δὲ σιγᾶται 414
παρ' ὑμῖν ἢ τί κρύπτεται; τί δ' οὐχὶ καὶ τοῖς ἐχθροῖς φα-
νερὸν γέγονε; πομπεύετε γὰρ παρανομοῦντες καὶ καθ' ἡμέ-
245 ραν ἐρίζετε, τίς χείρων γένηται, τῆς ἀδικίας ὥσπερ ἀρετῆς
ἐπίδειξιν ποιούμενοι. καταλείπεται δ' ὅμως ἔτι σωτηρίας 415
ὁδός, ἐὰν θέλητε, καὶ τὸ θεῖον εὐδιάλλακτον ἐξομολογου-
μένοις καὶ μετανοοῦσιν. ὦ σιδήρειοι, ῥίψατε τὰς πανοπλίας, 416
λάβετε ἤδη κατερειπομένης αἰδῶ πατρίδος, ἐπιστράφητε
250 καὶ θεάσασθε τὸ κάλλος ἧς προδίδοτε, οἷον ἄστυ, οἷον

225. τῷ: τὸ AV¹RC 230. ἐπιλείπουσαν: ἐπιλιποῦσαν MVRC 234. πεπείραται Niese πεπείρασται PAMVR πεπείρασθε L πεπείρασθαι C 235. προειρημένος: προηρημένος A 237. ἡλίκα: οἷα M 238. τὸ θεῖον: τὸν θεὸν L 239. πολεμεῖτε: πολεμεῖται PA 241. πείθεσθε: πείθεσθαι P¹AVRC | οἰκείοις: οἰκείοις ὑμῶν M ὑμετέροις LVRC 245. χείρων: χεῖρω PALVR χεῖρον C

come contro gli assiri, sia quando Pompeo s'intromise negli affari della nazione, sia quando Sosio arrivò dopo di lui, sia quando Vespasiano devastava la Galilea e da ultimo ora, quando Tito si stava appressando alla città. Eppure Pompeo 409 Magno e Sosio non solo non ebbero a soffrir niente, ma conquistarono d'assalto la città; Vespasiano dalla guerra contro di noi ha preso l'avvio per diventare imperatore, e per Tito anche le fonti zampillano piú abbondanti mentre prima per noi si andavano essiccando; voi sapete infatti che prima 410 del suo arrivo la Siloa e tutte le fonti fuori della città avevano diminuito il loro flusso, sí che l'acqua si vendeva ad anfore. Ora invece sono cosí copiose per i vostri nemici, da bastare non solo ad essi e alle loro bestie, ma anche a irrigare i giardini[23]. Un portento simile si vide prima d'ora alla caduta della 411 città, quando il babilonese sopra ricordato arrivò col suo esercito, la prese e incendiò il tempio, senza che i giudei di allora avessero commesso empietà paragonabili alle vostre[24]; perciò io credo che il dio abbia abbandonato i luoghi sacri 412 e sia passato dalla parte di quelli che ora voi combattete[25]. Se un galantuomo si allontanerà da una casa poco onorata e 413 proverà fastidio per i suoi abitanti, credete voi che il dio continui a rimanere fra le brutture che lo circondano, egli che vede tutto ciò che è nascosto e sente tutto ciò che è taciuto? Ma che cosa presso di voi è nascosto o taciuto? Che cosa non 414 è stato reso manifesto anche ai nemici? Infatti voi portate in piazza i vostri misfatti e ogni giorno gareggiate a chi ne farà di peggiori[26] mettendo in bella mostra l'iniquità come si trattasse di virtú. Tuttavia rimane ancora una via di scampo, se 415 vorrete, e il dio è ben disposto a riconciliarsi con chi confessa le sue colpe e se ne pente. Oh! uomini dal cuore di ferro, 416 gettate via le armi, abbiate una buona volta rispetto per la patria, voltatevi a contemplare la bellezza di ciò che tradite:

ἱερόν, ὅσων ἐθνῶν δῶρα. ἐπὶ ταῦτά τις ὁδηγεῖ φλόγα; 417
ταῦτά τις μηκέτ' εἶναι θέλει; καὶ τί σώζεσθαι τούτων
ἀξιώτερον, ἄτεγκτοι καὶ λίθων ἀπαθέστεροι. καὶ εἰ μὴ 418
ταῦτα γνησίοις ὄμμασιν βλέπετε, γενεὰς γοῦν ὑμετέρας
255 οἰκτείρατε, καὶ πρὸ ὀφθαλμῶν ἑκάστῳ γενέσθω τέκνα καὶ
γυνὴ καὶ γονεῖς, οὓς ἀναλώσει μετὰ μικρὸν ἢ λιμὸς ἢ πό-
λεμος. οἶδ' ὅτι μοι συγκινδυνεύει μήτηρ καὶ γυνὴ καὶ γέ- 419
νος οὐκ ἄσημον καὶ πάλαι λαμπρὸς οἶκος, καὶ τάχα δοκῶ
διὰ ταῦτα συμβουλεύειν. ἀποκτείνατε αὐτούς, λάβετε μισθὸν
260 τῆς ἑαυτῶν σωτηρίας τὸ ἐμὸν αἷμα· κἀγὼ θνήσκειν ἕτοιμος,
εἰ μετ' ἐμὲ σωφρονεῖν μέλλετε».

10, 1. τοιαῦτα τοῦ Ἰωσήπου μετὰ δακρύων ἐμβοῶντος 420
οἱ στασιασταὶ μὲν οὔτ' ἐνέδοσαν οὔτ' ἀσφαλῆ τὴν μετα-
βολὴν ἔκριναν, ὁ δὲ δῆμος ἐκινήθη πρὸς αὐτομολίαν. καὶ 421
οἱ μὲν τὰς κτήσεις ἐλαχίστου πωλοῦντες, οἱ δὲ τὰ πολυτε-
5 λέστερα τῶν κειμηλίων, τοὺς μὲν χρυσοῦς, ὡς μὴ φωρα-
θεῖεν ὑπὸ τῶν λῃστῶν, κατέπινον, ἔπειτα πρὸς τοὺς Ῥω-
μαίους διαδιδράσκοντες, ὁπότε κατενέγκαιεν εὐπόρουν πρὸς
ἃ δέοιντο. διηφίει γὰρ τοὺς πολλοὺς ὁ Τίτος εἰς τὴν χώραν 422
ὅποι βούλοιτο ἕκαστος, καὶ τοῦτ' αὐτὸ μᾶλλον πρὸς αὐτομο-
10 λίαν παρεκάλει, τῶν μὲν εἴσω κακῶν στερησομένους, μὴ
δουλεύσοντας δὲ Ῥωμαίοις. οἱ δὲ περὶ τὸν Ἰωάννην καὶ 423
τὸν Σίμωνα παρεφύλαττον τὰς τούτων ἐξόδους πλέον ἢ
τὰς Ῥωμαίων εἰσόδους, καὶ σκιάν τις ὑπονοίας παρασχὼν
μόνον εὐθέως ἀπεσφάττετο.

15 **10,** 2. τοῖς γε μὴν εὐπόροις καὶ τὸ μένειν πρὸς ἀπώ- 424
λειαν ἴσον ἦν· προφάσει γὰρ αὐτομολίας ἀνῃρεῖτό τις διὰ
τὴν οὐσίαν. τῷ λιμῷ δ' ἡ ἀπόνοια τῶν στασιαστῶν συν-

251. ἐπὶ ταῦτά τις Bekker ἐπὶ ταῦτα τίς codd. Lat | φλόγα: φλόγας LVRC
260. τὸ ἐμὸν: τοὐμὸν LVRC
10, 3. ἔκριναν: ἔκρινον VRC 7. εὐπόρουν: εὐποροῦν P 9-10. πρὸς αὐτομολίαν: προσαυτομολεῖν PA πρὸς αὐτομολεῖν VR πρὸς τὸ αὐτομολεῖν L 12. παρεφύλαττον Niese περιεφύλαττον codd. 16. προφάσει γάρ: καὶ προφάσει PA[2] προφάσει A[1] | ἀνῃρεῖτό: ἀνήρητό PAML

che città, che tempio, quali doni di quante nazioni! Su tutto 417
questo qualcuno porterà le fiamme? Qualcuno vorrà che tutto
questo cessi di esistere? E che cosa invece piú di tutto questo
merita di essere preservato, o uomini implacabili e piú insen-
sibili delle pietre? E se queste cose voi non le contemplate 418
con occhio amorevole, ognuno si ponga almeno dinanzi la
vista dei figli, della moglie, dei genitori, che fra breve saranno
vittime della fame o della guerra. Io so di avere esposti a tali 419
pericoli mia madre, mia moglie, una famiglia non ignobile e
una casa da gran tempo illustre[27], e forse vi darò l'impressione
che da questo sono suggeriti i miei consigli. Uccideteli, pren-
dete il mio sangue[28] come prezzo della vostra salvezza; an-
ch'io sono pronto a morire se dopo vi deciderete a rinsavire! »

10, 1. Cosí gridava fra le lacrime Giuseppe, ma i ribelli 420
né fecero atto di sottomissione, né giudicarono prudente cam-
biare propositi, mentre il popolo si sentí incitato a disertare.
E dopo aver venduto a poco prezzo chi le sue proprietà, 421
chi gli oggetti di maggior valore, inghiottivano poi le monete
d'oro[1] per non farle scoprire dai banditi e, rifugiatisi presso i
romani, quando si liberavano l'intestino avevano larghezza
di mezzi per ciò che occorreva. Tito infatti per la maggior 422
parte li lasciava andare dove ognuno voleva, e ciò costituiva
un incentivo di piú a disertare, perché ci si liberava delle
sofferenze della vita in città senza essere ridotti in schiavitú
dai romani. Però gli uomini di Giovanni e di Simone sorve- 423
gliavano con piú cura per impedire l'uscita di costoro che
l'ingresso dei romani, e chi dava adito soltanto a un'ombra
di sospetto veniva immediatamente passato per le armi.

10, 2. Per i ricchi, tuttavia, il rimanere in città era altret- 424
tanto pericoloso che cercare di fuggirne; infatti con una falsa
accusa di diserzione venivano messi a morte perché le loro
sostanze facevano gola. Intanto la fame esaltava il furore

ἤκμαζε, καὶ καθ' ἡμέραν ἀμφότερα προσεξεκαίετο τὰ δεινά.
φανερὸς μὲν γὰρ οὐδαμοῦ σῖτος ἦν, ἐπεισπηδῶντες δὲ 425
20 διηρεύνων τὰς οἰκίας, ἔπειθ' εὑρόντες μὲν ὡς ἀρνησαμένους
ᾐκίζοντο, μὴ εὑρόντες δ' ὡς ἐπιμελέστερον κρύψαντας ἐβα-
σάνιζον. τεκμήριον δὲ τοῦ τ' ἔχειν καὶ μὴ τὰ σώματα τῶν 426
ἀθλίων, ὧν οἱ μὲν ἔτι συνεστῶτες εὐπορεῖν τροφῆς ἐδόκουν,
οἱ τηκόμενοι δὲ ἤδη παρωδεύοντο, καὶ κτείνειν ἄλογον
25 ἐδόκει τοὺς ὑπ' ἐνδείας τεθνηξομένους αὐτίκα. πολλοὶ δὲ 427
λάθρα τὰς κτήσεις ἑνὸς ἀντηλλάξαντο μέτρου, πυρῶν μὲν
εἰ πλουσιώτεροι τυγχάνοιεν ὄντες, οἱ δὲ πενέστεροι κρι-
θῆς, ἔπειτα κατακλείοντες αὐτοὺς εἰς τὰ μυχαίτατα τῶν
οἰκιῶν τινὲς μὲν ὑπ' ἄκρας ἐνδείας ἀνέργαστον τὸν σῖτον
30 ἤσθιον, οἱ δ' ἔπεσσον ὡς ἥ τε ἀνάγκη καὶ τὸ δέος παρῄνει.
καὶ τράπεζα μὲν οὐδαμοῦ παρετίθετο, τοῦ δὲ πυρὸς ὑφέλ- 428
κοντες ἔτ' ὠμὰ τὰ σιτία διήρπαζον.

10, 3. ἐλεεινὴ δ' ἦν ἡ τροφὴ καὶ δακρύων ἄξιος ἡ θέα, 429
τῶν μὲν δυνατωτέρων πλεονεκτούντων, τῶν δ' ἀσθενῶν
35 ὀδυρομένων. πάντων μὲν δὴ παθῶν ὑπερίσταται λιμός,
οὐδὲν δ' οὕτως ἀπόλλυσιν ὡς αἰδῶ· τὸ γὰρ ἄλλως ἐντροπῆς
ἄξιον ἐν τούτῳ καταφρονεῖται. γυναῖκες γοῦν ἀνδρῶν καὶ 430
παῖδες πατέρων, καί, τὸ οἰκτρότατον, μητέρες νηπίων ἐξήρ-
παζον ἐξ αὐτῶν τῶν στομάτων τὰς τροφάς, καὶ τῶν φιλ-
40 τάτων ἐν χερσὶ μαραινομένων οὐκ ἦν φειδὼ τοὺς τοῦ ζῆν
ἀφελέσθαι σταλαγμούς. τοιαῦτα δ' ἐσθίοντες ὅμως οὐ διε- 431
λάνθανον, πανταχοῦ δ' ἐφίσταντο οἱ στασιασταὶ καὶ τούτων
ταῖς ἁρπαγαῖς. ὁπότε γὰρ κατίδοιεν ἀποκεκλεισμένην οἰκίαν, 432
σημεῖον ἦν τοῦτο τοὺς ἔνδον προσφέρεσθαι τροφήν· εὐθέως
45 δ' ἐξαράξαντες τὰς θύρας εἰσεπήδων, καὶ μόνον οὐκ ἐκ
τῶν φαρύγγων ἀναθλίβοντες τὰς ἀκόλους ἀνέφερον. ἐτύ- 433

25. τοὺς: τοῖς PVR | τεθνηξομένους: τεθνηξομένοις VR 31-2. ὑφέλκοντες: ἐφέλκοντες L ἐφέλκοντος VRC 36. αἰδῶ: αἰδὼς PAMLC | ἄλλως: ἄλλοσε VR om. Lat 42. οἱ στασιασταί: om. PAMLVR 44. προσφέρεσθαι: προφέρεσθαι RC[1]

omicida dei ribelli, e questi due flagelli infierivano ogni giorno di piú. Poiché non si trovava grano da nessuna parte, 425 essi piombavano nelle case per rovistare, e se ne trovavano percuotevano gli abitanti per aver negato di averne, se non ne trovavano li torturavano come se l'avessero nascosto troppo bene. Indizio se avevano o non avevano provviste era l'aspet- 426 to di quei disgraziati: chi ancora si manteneva bene era sospettato di avere riserve di viveri, mentre quelli già consunti venivano trascurati, e si giudicava che non valeva la pena uccidere gente che fra poco sarebbe morta di inanizione. Molti 427 nascostamente barattavano le loro proprietà per una misura di grano, se erano ricchi, o di orzo, se erano poveri, e rinchiusisi nei piú nascosti recessi della casa alcuni lo divoravano senza nemmeno macinarlo, tanta era la fame, altri lo mettevano a cuocere, come permettevano la necessità e la paura. Non si apparecchiava piú una tavola, ma strappando i cibi 428 dal fuoco li facevano a pezzi ancora semicrudi.

10, 3. Miserabile era il pasto e lacrimevole lo spettacolo, 429 perché i piú forti facevano i prepotenti e i deboli gemevano. Certo che la fame è la piú grande di tutte le sofferenze, e nulla essa distrugge piú che il rispetto: ciò che in altre condizioni è oggetto di considerazione viene invece trattato con disprezzo quando c'è fame. Cosí le mogli strappavano il cibo dalle boc- 430 che dei loro mariti, i figli dalle bocche dei padri e, cosa fra tutte piú dolorosa, le madri dalle bocche dei loro bambini, e mentre i loro cari si struggevano fra le loro braccia essi non si facevano scrupolo di privarli delle gocce donatrici di vita. Pur cibandosi in questo modo non restavano celati ai ban- 431 diti, che dappertutto piombavano anche sui loro miseri bottini. Infatti quando essi vedevano una casa chiusa, capi- 432 vano che questo era segno che gli abitanti stavano mangiando e immediatamente, sfondata la porta, vi penetravano e strappavano loro i bocconi quasi spremendoli alla gola. Venivano 433

πτοντο δὲ γέροντες ἀντεχόμενοι τῶν σιτίων, καὶ κόμης
ἐσπαράττοντο γυναῖκες συγκαλύπτουσαι τὰ ἐν χερσίν. οὐδέ
τις ἦν οἶκτος πολιᾶς ἢ νηπίων, ἀλλὰ συνεπαίροντες τὰ
50 παιδία τῶν ψωμῶν ἐκκρεμάμενα κατέσειον εἰς ἔδαφος.
τοῖς δὲ φθάσασι τὴν εἰσδρομὴν αὐτῶν καὶ προκαταπιοῦσι 434
τὸ ἁρπαγησόμενον ὡς ἀδικηθέντες ἦσαν ὠμότεροι. δεινὰς 435
δὲ βασάνων ὁδοὺς ἐπενόουν πρὸς ἔρευναν τροφῆς, ὀρόβοις
μὲν ἐμφράττοντες τοῖς ἀθλίοις τοὺς τῶν αἰδοίων πόρους,
55 ῥάβδοις δ' ὀξείαις ἀναπείροντες τὰς ἕδρας, τὰ φρικτὰ δὲ
καὶ ἀκοαῖς ἔπασχέ τις εἰς ἐξομολόγησιν ἑνὸς ἄρτου καὶ
ἵνα μηνύσῃ δράκα μίαν κεκρυμμένην ἀλφίτων. οἱ βασα- 436
νισταὶ δ' οὐκ ἐπείνων, καὶ γὰρ ἧττον ἂν ὠμὸν ἦν τὸ μετ'
ἀνάγκης, γυμνάζοντες δὲ τὴν ἀπόνοιαν καὶ προπαρασκευ-
60 άζοντες αὑτοῖς εἰς τὰς ἑξῆς ἡμέρας ἐφόδια. τοῖς δ' ἐπὶ 437
τὴν Ῥωμαίων φρουρὰν νύκτωρ ἐξερπύσασιν ἐπὶ λαχάνων
συλλογὴν ἀγρίων καὶ πόας ὑπαντῶντες, ὅτ' ἤδη διαπε-
φευγέναι τοὺς πολεμίους ἐδόκουν, ἀφήρπαζον τὰ κομι-
σθέντα, καὶ πολλάκις ἱκετευόντων καὶ τὸ φρικτὸν ἐπικα- 438
65 λουμένων ὄνομα τοῦ θεοῦ μεταδοῦναί τι μέρος αὐτοῖς ὧν
κινδυνεύσαντες ἤνεγκαν, οὐδ' ὁτιοῦν μετέδοσαν· ἀγαπητὸν
δ' ἦν τὸ μὴ καὶ προσαπολέσθαι σεσυλημένον.

10, 4. οἱ μὲν δὴ ταπεινότεροι τοιαῦτα πρὸς τῶν δορυ- 439
φόρων ἔπασχον, οἱ δ' ἐν ἀξιώματι καὶ πλούτῳ πρὸς τοὺς
70 τυράννους ἀνήγοντο. τούτων οἱ μὲν ἐπιβουλὰς ψευδεῖς ἐπι-
καλούμενοι διεφθείροντο, οἱ δὲ ὡς προδιδοῖεν Ῥωμαίοις
τὴν πόλιν, τὸ δ' ἑτοιμότατον ἦν μηνυτής τις ὑπόβλητος
ὡς αὐτομολεῖν διεγνωκότων. ὁ δ' ὑπὸ Σίμωνος γυμνωθεὶς 440

47. κόμης: κόμας MCA^2 κομίσαι V κομίσην R^1 κομίσειν R^2 50. ἔδαφος: γῆν C 51. εἰσδρομὴν: ἐκδρομὴν L 57. μίαν: μία C | κεκρυμμένην: κεκρυμμένων PAMVR om. C 59-60. προπαρασκευάζοντες: προσπαρασκευάζοντες L 60. αὑτοῖς: αὐτοῖς PVRC ἑαυτοῖς AML 70-1. ἐπικαλούμενοι: ἐγκαλούμενοι AL 72. τις: om. PAL

percossi vecchi che si tenevano stretta qualcosa da mangiare
e venivano trascinate per i capelli donne che nascondevano
ciò che avevano in mano. Non v'era pietà per la canizie o per
l'infanzia, ma i bambini venivano sollevati con i bocconi cui
restavano appesi e scrollati verso terra. Chi preveniva le loro 434
incursioni e faceva a tempo a inghiottire ciò che essi gli avreb-
bero strappato, essi lo trattavano con ancor maggior crudeltà
come se ne avessero subita un'ingiustizia. Ed escogitarono 435
terribili forme di supplizio per farsi dire dov'era nascosto il
cibo, ad alcuni di quei miseri occludendo con dei ceci il meato
delle urine e trapassandone il sedere con aguzzi bastoncini, e
c'è da inorridire al solo sentire quali tormenti infliggevano a
qualcuno per farsi dire che aveva anche un solo pezzo di pane
o dove nascondeva una manciata di farina. E i carnefici non 436
erano affamati, giacché la necessità li avrebbe fatti apparire
meno crudeli; essi invece esercitavano solo il loro furore e si
preoccupavano di procurarsi i viveri per i giorni futuri. A 437
chi di notte strisciava verso gli avamposti romani per racco-
gliere cicorie selvatiche ed erbe, essi andavano incontro, e
quando quelli credevano di essere sfuggiti ai nemici essi li
spogliavano di ciò che portavano, e sebbene quelli piú e piú 438
volte li supplicassero, invocando anche il tremendo nome di
dio, di lasciar loro almeno una parte di quanto avevano rac-
colto con sí grave pericolo, non gliene lasciavano nemmeno
un poco; e dovevano ringraziare se, dopo essere stati spogliati,
non venivano anche uccisi.

10, 4. Queste le angherie che i comuni cittadini subivano 439
ad opera degli scherani, mentre i cittadini di rango e di censo
piú elevati erano trascinati dinanzi ai capi. Di essi alcuni
venivano messi a morte con la falsa accusa di cospirazione,
altri di intesa con i romani per consegnar loro la città; ma il
sistema piú usuale era quello di far ricorso a un delatore
prezzolato, il quale testimoniava che quelli avevano deciso di
passare al nemico. Chi era stato spogliato da Simone veniva 440

πρὸς Ἰωάννην ἀνεπέμπετο, καὶ τὸν ὑπὸ Ἰωάννου σεσυ-
75 λημένον ὁ Σίμων μετελάμβανεν· ἀντιπρούπινον δ' ἀλλή-
λοις τὸ αἷμα τῶν δημοτῶν καὶ τὰ πτώματα τῶν ἀθλίων
διεμερίζοντο. καὶ τοῦ μὲν κρατεῖν στάσις ἦν ἐν ἀμφοτέ- 441
ροις, τῶν δ' ἀσεβημάτων ὁμόνοια. καὶ γὰρ ὁ μὴ μεταδοὺς
ἐκ τῶν ἀλλοτρίων κακῶν θατέρῳ μονοτρόπως ἐδόκει πονη-
80 ρός, καὶ ὁ μὴ μεταλαβὼν ὡς ἀγαθοῦ τινος ἤλγει τὸν νο-
σφισμὸν τῆς ὠμότητος.

10, 5. καθ' ἕκαστον μὲν οὖν ἐπεξιέναι τὴν παρανομίαν 442
αὐτῶν ἀδύνατον, συνελόντι δ' εἰπεῖν, μήτε πόλιν ἄλλην
τοιαῦτα πεπονθέναι μήτε γενεὰν ἐξ αἰῶνος γεγονέναι κα-
85 κίας γονιμωτέραν, οἵ γε τελευταῖον καὶ τὸ γένος ἐφαύ- 443
λιζον τῶν Ἑβραίων, ὡς ἧττον ἀσεβεῖς δοκοῖεν πρὸς ἀλλο-
τρίους, ἐξωμολογήσαντο δ' ὅπερ ἦσαν εἶναι δοῦλοι καὶ
σύγκλυδες καὶ νόθα τοῦ ἔθνους φθάρματα. τὴν μέν γε 444
πόλιν ἀνέτρεψαν αὐτοί, Ῥωμαίους δ' ἄκοντας ἠνάγκασαν
90 ἐπιγραφῆναι σκυθρωπῷ κατορθώματι καὶ μόνον οὐχ εἵλ-
κυσαν ἐπὶ τὸν ναὸν βραδῦνον τὸ πῦρ. ἀμέλει καιόμενον 445
ἐκ τῆς ἄνω πόλεως ἀφορῶντες οὔτ' ἤλγησαν οὔτ' ἐδά-
κρυσαν, ἀλλὰ ταῦτα τὰ πάθη παρὰ Ῥωμαίοις εὑρέθη. καὶ
ταῦτα μὲν κατὰ χώραν ὕστερον μετ' ἀποδείξεως τῶν πραγ-
95 μάτων ἐροῦμεν.

11, 1. Τίτῳ δὲ τὰ μὲν χώματα προὔκοπτεν καίτοι πολλὰ 446
κακουμένων ἀπὸ τοῦ τείχους τῶν στρατιωτῶν, πέμψας δ'
αὐτὸς μοῖραν τῶν ἱππέων ἐκέλευσεν τοὺς κατὰ τὰς φάραγ-
γας ἐπὶ συγκομιδῇ τροφῆς ἐξιόντας ἐνεδρεύειν. ἦσαν δέ τινες 447
5 καὶ τῶν μαχίμων, οὐκέτι διαρκούμενοι ταῖς ἁρπαγαῖς, τὸ
δὲ πλέον ἐκ τοῦ δήμου πένητες, οὓς αὐτομολεῖν ἀπέτρεπε

74. τὸν: τῶν PVR 74-5. σεσυλημένον: σεσυλημένων PVR 76. πτώματα: κτήματα L 83. συνελόντι Niese συνελόντα codd. 88. καὶ νόθα: καινοτομοῦσι κατὰ L καινοτομοῦσι θανάτους VR 89. ἀνέτρεψαν: ἀνέστρεψαν L 91. καιόμενον: καιομένου P
11, 4. συγκομιδῇ: συγκομιδὴν L

poi mandato da Giovanni, e chi era stato spogliato da Giovanni passava poi nelle grinfie di Simone[2]; essi brindavano l'uno alla salute dell'altro col sangue dei cittadini e si spartivano le spoglie delle loro vittime. Erano divisi dalla lotta per 441 il potere, ma concordi nelle ribalderie; infatti chi non faceva parte all'altro del frutto delle altrui miserie appariva un rozzo malfattore, e chi non ne riceveva si doleva di essere escluso da quel tristo affare come fosse stato privato di un bene.

10, 5. Sarebbe impossibile raccontare nei particolari la sto- 442 ria delle loro nefandezze, ma per dirla in breve nessun'altra città ebbe mai a subire un tale martirio né, da che mondo è mondo, vi fu una generazione piú capace di mal fare. Questi, in fine, 443 oltraggiarono la stirpe degli ebrei per sembrare meno empi verso gli stranieri[3], e con il loro agire ammisero di essere una massa di schiavi – come appunto erano –, di essere gentaglia e la feccia impura della nazione. Furono essi a distrug- 444 gere la città, essi a costringere i romani, loro malgrado, a riportare un nefasto trionfo, essi ad attirare quasi a forza sul tempio le fiamme che non volevano ardere[4]. Sta di fatto che 445 quando dalla città alta essi le videro divampare né si addolorarono né versarono una lacrima, mentre fra i romani era dato di scorgere questi segni di commozione. Ma di ciò parleremo piú tardi a suo luogo nel racconto degli avvenimenti.

11, 1. Mentre progrediva il lavoro ai terrapieni, nonostante 446 i soldati subissero gravi colpi da parte dei difensori del muro, Tito mandò uno squadrone di cavalieri con l'ordine d'intercettare quelli che uscivano dalla città calandosi per i dirupi in cerca di cibo. Fra questi vi erano anche alcuni armati, cui 447 non bastava piú il frutto delle loro rapine, ma i piú erano poveri popolani, che non si decidevano a disertare per paura

τὸ περὶ τῶν οἰκείων δέος· οὔτε γὰρ λήσεσθαι τοὺς στασια- 448
στὰς ἤλπιζον μετὰ γυναικῶν καὶ παιδίων διαδιδράσκοντες
καὶ καταλιπεῖν τοῖς λησταῖς ταῦτα οὐχ ὑπέμενον ὑπὲρ αὐτῶν
10 σφαγησόμενα· τολμηροὺς δὲ πρὸς τὰς ἐξόδους ὁ λιμὸς ἐποίει, 449
καὶ κατελείπετο λανθάνοντας εἰς τοὺς πολεμίους ἁλίσκεσθαι.
λαμβανόμενοι δὲ κατ' ἀνάγκην ἠμύνοντο, καὶ μετὰ μάχην
ἱκετεύειν ἄωρον ἐδόκει. μαστιγούμενοι δὴ καὶ προβασανι-
ζόμενοι τοῦ θανάτου πᾶσαν αἰκίαν ἀνεσταυροῦντο τοῦ τεί-
15 χους ἀντικρύ. Τίτῳ μὲν οὖν οἰκτρὸν τὸ πάθος κατεφαίνετο, 450
πεντακοσίων ἑκάστης ἡμέρας ἔστι δ' ὅτε καὶ πλειόνων ἁλι-
σκομένων, οὔτε δὲ τοὺς βίᾳ ληφθέντας ἀφεῖναι ἀσφαλὲς καὶ
φυλάττειν τοσούτους φρουρὰν τῶν φυλαξόντων ἑώρα· τό γε
μὴν πλέον οὐκ ἐκώλυεν τάχ' ἂν ἐνδοῦναι πρὸς τὴν ὄψιν
20 ἐλπίσας αὐτοὺς ὡς, εἰ μὴ παραδοῖεν, ὅμοια πεισομένους.
προσήλουν δ' οἱ στρατιῶται δι' ὀργὴν καὶ μῖσος τοὺς ἁλόν- 451
τας ἄλλον ἄλλῳ σχήματι πρὸς χλεύην, καὶ διὰ τὸ πλῆθος
χώρα τ' ἐνέλειπε τοῖς σταυροῖς καὶ σταυροὶ τοῖς σώμασιν.

11, 2. οἱ στασιασταὶ δὲ τοσοῦτον ἀπεδέησαν τοῦ μεταβα- 452
25 λέσθαι πρὸς τὸ πάθος, ὥστε καὶ τοὐναντίον αὐτοὶ σοφί-
σασθαι πρὸς τὸ λοιπὸν πλῆθος. σύροντες γὰρ τοὺς τῶν αὐ- 453
τομόλων οἰκείους ἐπὶ τὸ τεῖχος καὶ τῶν δημοτῶν τοὺς ἐπὶ
πίστιν ὡρμημένους, οἷα πάσχουσιν οἱ Ῥωμαίοις προσφεύ-
γοντες ἐπεδείκνυσαν καὶ τοὺς κεκρατημένους ἱκέτας ἔλεγον,
30 οὐκ αἰχμαλώτους. τοῦτο πολλοὺς τῶν αὐτομολεῖν ὡρμημέ- 454
νων μέχρι τἀληθὲς ἐγνώσθη κατέσχεν· εἰσὶ δ' οἳ καὶ παρα-
χρῆμα διέδρασαν ὡς ἐπὶ βέβαιον τιμωρίαν, ἀνάπαυσιν ἡγού-
μενοι τὸν ἐκ τῶν πολεμίων θάνατον ἐν λιμοῦ συγκρίσει.
πολλοὺς δὲ καὶ χειροκοπῆσαι κελεύσας Τίτος τῶν ἑαλωκό- 455
35 των, ὡς μὴ δοκοῖεν αὐτόμολοι καὶ πιστεύοιντο διὰ τὴν

8. παιδίων: παίδων ML 9. καταλιπεῖν: καταλειπεῖν PA[1] | τοῖς λησταῖς ταῦτα: πάντα τοῖς λησταῖς L ταῦτα τοῖς λησταῖς VRC 11. εἰς: om. PA 12. ἠμύνοντο: ἠμύνοντο δέει τῆς κολάσεως L Lat 20. ὡς ins. Destinon ex Lat 24-5. μεταβαλέσθαι: μεταβάλλεσθαι A 31. εἰσὶ δ' οἳ: εἴσω, ἔνιοι δὲ VRC 32. βέβαιον: βεβαίαν L

dei familiari; infatti né speravano di poterla far franca se 448
avessero cercato di fuggire con mogli e figli, né avevano
l'animo di lasciarli in mano ai banditi, che li avrebbero am-
mazzati in loro vece. La fame li rendeva arditi a sortire, ma 449
se riuscivano a svignarsela finivano con l'essere catturati dai
nemici. Al momento della cattura essi di necessità cercavano
di difendersi, e dopo essersi battuti sembrava troppo tardi per
chiedere pietà. Cosí venivano flagellati e, dopo aver subito
ogni sorta di supplizi prima di morire, erano crocifissi[1] di
fronte alle mura. Tito provava compassione per la loro sorte, 450
poiché ogni giorno erano cinquecento, e talvolta anche di piú,
quelli che venivano catturati, ma d'altro canto capiva che era
un pericolo lasciar liberi i nemici caduti prigionieri, e che
sorvegliare tanti prigionieri significava immobilizzare altret-
tanti custodi; comunque la ragione principale per cui non
faceva cessare le crocifissioni era la speranza che a quello spet-
tacolo i giudei si decidessero ad arrendersi, temendo di subire
la stessa sorte se non si fossero sottomessi. Spinti dall'odio e 451
dal furore, i soldati si divertivano a crocifiggere i prigionieri
in varie posizioni, e tale era il loro numero che mancavano
lo spazio per le croci e le croci per le vittime.

11, 2. I ribelli dinanzi a questo tremendo spettacolo non 452
solo non cambiarono i loro propositi, ma ne trassero argo-
mento per convincere in senso contrario il resto del popolo.
Infatti, trascinando sulle mura i parenti dei disertori e i citta- 453
dini che desideravano trattative di resa, mostravano loro quale
fine faceva chi passava dalla parte dei romani affermando che
le vittime catturate erano dei supplici, e non dei prigionieri
di guerra. Ciò, fino a che non si seppe la verità, tenne a freno 454
molti di quelli che volevano disertare; ma vi fu anche chi
senza indugio tentò la fuga, considerando la morte per mano
dei nemici come un sollievo al paragone della morte per fame.
Tito, poi, diede ordine di mozzare le mani a molti prigionieri, 455
perché non sembrassero disertori ma fossero creduti per aver

συμφοράν, εἰσέπεμψε πρὸς τὸν Σίμωνα καὶ τὸν Ἰωάννην,
νῦν γε ἤδη παύσασθαι παραινῶν καὶ μὴ πρὸς ἀναίρεσιν τῆς 456
πόλεως αὐτὸν βιάζεσθαι, κερδῆσαι δ' ἐκ τῆς ἐν ὑστάτοις
μεταμελείας τάς τε αὑτῶν ψυχὰς καὶ τηλικαύτην πατρίδα
40 καὶ ναὸν ἀκοινώνητον ἄλλοις. περιιὼν δὲ τὰ χώματα τοὺς 457
ἐργαζομένους ἅμα κατήπειγεν, ὡς οὐκ εἰς μακρὰν ἀκολου-
θήσων ἔργοις τῷ λόγῳ. πρὸς ταῦτα αὐτόν τ' ἐβλασφήμουν 458
ἀπὸ τοῦ τείχους Καίσαρα καὶ τὸν πατέρα αὐτοῦ, καὶ τοῦ
μὲν θανάτου καταφρονεῖν ἐβόων, ᾑρῆσθαι γὰρ αὐτὸν πρὸ
45 δουλείας καλῶς, ἐργάσεσθαι δ' ὅσα ἂν δύνωνται κακὰ Ῥω-
μαίους ἕως ἐμπνέωσι, πατρίδος δ' οὐ μέλειν τοῖς ὡς αὐτός
φησιν ἀπολουμένοις, καὶ ναὸν ἀμείνω τούτου τῷ θεῷ τὸν
κόσμον εἶναι. σωθήσεσθαί γε μὴν καὶ τοῦτον ὑπὸ τοῦ κα- 459
τοικοῦντος, ὃν καὶ αὐτοὶ σύμμαχον ἔχοντες πᾶσαν χλευά-
50 σειν ἀπειλὴν ὑστεροῦσαν ἔργων· τὸ γὰρ τέλος εἶναι τοῦ θεοῦ.
τοιαῦτα ταῖς λοιδορίαις ἀναμίσγοντες ἐκεκράγεσαν.

11, 3. ἐν δὲ τούτῳ καὶ ὁ Ἐπιφανὴς Ἀντίοχος παρῆν 460
ἄλλους τε ὁπλίτας συχνοὺς ἔχων καὶ περὶ αὐτὸν στῖφος Μα-
κεδόνων καλούμενον, ἥλικας πάντας, ὑψηλούς, ὀλίγον ὑπὲρ
55 ἀντίπαιδας, τὸν Μακεδονικὸν τρόπον ὡπλισμένους τε καὶ
πεπαιδευμένους, ὅθεν καὶ τὴν ἐπίκλησιν εἶχον, ὑστεροῦντες
οἱ πολλοὶ τοῦ γένους. εὐδαιμονῆσαι γὰρ δὴ μάλιστα τῶν 461
ὑπὸ Ῥωμαίοις βασιλέων τὸν Κομμαγηνὸν συνέβη πρὶν γεύ-
σασθαι μεταβολῆς· ἀπέφηνε δὲ κἀκεῖνος ἐπὶ γήρως ὡς οὐδένα
60 χρὴ λέγειν πρὸ θανάτου μακάριον. ἀλλ' ὅ γε παῖς ἀκμά- 462
ζοντος αὐτοῦ τηνικαῦτα παρὼν θαυμάζειν ἔφασκε, τί δήποτε
Ῥωμαῖοι κατοκνοῖεν προσιέναι τῷ τείχει· πολεμιστὴς δέ

40. ἄλλοις: hic alia Titi verba excidisse ex insequentibus coni. Destinon 41-2. ἀκολουθήσων: ἀκολουθήσειν PAMVR 45. ἐργάσεσθαι: ἐργάσασθαι PALVRC 46. τοῖς: τῆς PA[2] 47. ἀπολουμένοις: ἀπολουμένης PA ἀποκαλουμένοις L ἀπολλουμένοις C 47. ναὸν Bekker ex Lat ναοῦ (τοῦ ναοῦ M) ἀπολο(υ)μένου (πυρπολουμένου L) codd. 49. πᾶσαν: πᾶσιν C 49-50. χλευάσειν: χλευάζειν LVRC 53. αὐτόν: αυτὸν PR[1] αὑτὸν AMLVR[2]C 56. πεπαιδευμένους: παιδευομένους A 59. ἀπέφηνε: ἀπέφηναι RC

subito tale orribile trattamento, e li inviò da Simone e da 456
Giovanni, esortandoli a decidersi ormai alla resa senza costrin-
gerlo alla distruzione della città, perché con un pentimento
sia pure dell'ultim'ora avrebbero salvato le loro vite, la loro
città cosí bella e il tempio che sarebbe rimasto esclusivamente
loro[2]. Nello stesso tempo, andando in giro per ispezionare i 457
terrapieni, incitava i soldati che vi lavoravano, come se avesse
intenzione di far seguire al piú presto i fatti alle parole. A 458
tali esortazioni i giudei dall'alto delle mura risposero impre-
cando contro Cesare e contro suo padre, gridando di non
aver paura della morte, che da persone non vili essi preferi-
vano alla schiavitú, gridando che avrebbero cercato di fare ai
romani tutto il male possibile finché avessero avuto un po'
di fiato, gridando che a gente che stava per morire, come egli
stesso diceva, non importava piú nulla della loro città, e che
per il dio l'universo era un tempio piú bello di quello di Geru-
salemme[3]. Ma anche questo sarebbe stato salvato dal suo 459
abitatore, che essi avevano come loro alleato, e perciò se la
ridevano di ogni minaccia non seguíta dai fatti: l'esito finale
dipendeva dal dio. Queste le risposte che essi gridarono me-
scolandole con gli improperi.

11, 3. Nel frattempo arrivò anche Antioco Epifane con 460
un gran numero di fanti e una guardia del corpo composta di
uomini che si chiamavano Macedoni, tutti della stessa età, di
alta statura, usciti da poco dall'adolescenza, armati e adde-
strati all'uso macedonico, dal che essi traevano il loro nome
sebbene per la maggior parte non fossero di quella stirpe.
Fra tutti i re clienti dei romani quello di Commagene godette 461
il piú alto grado di prosperità prima di conoscere il cambia-
mento di fortuna, e nella vecchiaia anch'egli rese testimo-
nianza che nessuno può essere stimato felice prima che arrivi
la sua morte[4]. Comunque egli era all'apice della potenza quan- 462
do suo figlio arrivò e disse di meravigliarsi perché i romani
esitavano ad attaccare le mura: era un guerriero di un certo

τις αὐτὸς ἦν καὶ φύσει παράβολος κατά τε τὴν ἀλκὴν τοσοῦτος, ὡς ὀλίγων τὰ τῆς τόλμης διαμαρτάνειν. μειδιάσαντος 463 δὲ τοῦ Τίτου καὶ «κοινὸς ὁ πόνος» εἰπόντος, ὡς εἶχεν ὥρμησεν ὁ Ἀντίοχος μετὰ τῶν Μακεδόνων πρὸς τὸ τεῖχος. αὐτὸς 464 μὲν οὖν διά τε ἰσχὺν καὶ κατ' ἐμπειρίαν ἐφυλάττετο τὰ τῶν Ἰουδαίων βέλη τοξεύων εἰς αὐτούς, τὰ μειράκια δ' αὐτῷ συνετρίβη πάντα πλὴν ὀλίγων· διὰ γὰρ αἰδῶ τῆς ὑποσχέσεως προσεφιλονείκει μαχόμενα· καὶ τέλος ἀνεχώρουν τραυ- 465 ματίαι πολλοί, συννοοῦντες ὅτι καὶ τοῖς ἀληθῶς Μακεδόσιν, εἰ μέλλοιεν κρατεῖν, δεῖ τῆς Ἀλεξάνδρου τύχης.

II, 4. τοῖς δὲ Ῥωμαίοις ἀρξαμένοις δωδεκάτῃ μηνὸς 466 Ἀρτεμισίου συνετελέσθη τὰ χώματα μόλις ἐνάτῃ καὶ εἰκάδι, ταῖς δεχεπτὰ συνεχῶς πονουμένων ἡμέραις· μέγιστα γὰρ 467 ἐχώσθη τὰ τέσσαρα, καὶ θάτερον μὲν τὸ ἐπὶ τὴν Ἀντωνίαν ὑπὸ τοῦ πέμπτου τάγματος ἐβλήθη κατὰ μέσον τῆς Στρουθίου καλουμένης κολυμβήθρας, τὸ δ' ἕτερον ὑπὸ τοῦ δωδεκάτου διεστῶτος ὅσον εἰς πήχεις εἴκοσι. τῷ δεκάτῳ δὲ 468 τάγματι διέχοντι πολὺ τούτων κατὰ τὸ βόρειον κλίμα τὸ ἔργον ἦν καὶ κολυμβήθραν Ἀμύγδαλον προσαγορευομένην· τούτου δὲ τὸ πεντεκαιδέκατον ἀπὸ τριάκοντα πηχῶν ἔχου κατὰ τὸ τοῦ ἀρχιερέως μνημεῖον. προσαγομένων δ' ἤδη τῶν 469 ὀργάνων ὁ μὲν Ἰωάννης ἔνδοθεν ὑπορύξας τὸ κατὰ τὴν Ἀντωνίαν μέχρι τῶν χωμάτων καὶ διαλαβὼν σταυροῖς τοὺς ὑπονόμους ἀνακρήμνησιν τὰ ἔργα, πίσσῃ δὲ καὶ ἀσφάλτῳ διακεχρισμένην τὴν ὕλην εἰσκομίσας ἐνίησι πῦρ. καὶ τῶν 470 σταυρῶν ὑποκαέντων ἥ τε διῶρυξ ἐνέδωκεν ἀθρόα, καὶ μετὰ μεγίστου ψόφου κατεσείσθη τὰ χώματα εἰς αὐτήν. τὸ μὲν 471 οὖν πρῶτον μετὰ τοῦ κονιορτοῦ καπνὸς ἠγείρετο βαθὺς πνιγομένου τῷ παίσματι τοῦ πυρός, τῆς δὲ θλιβούσης ὕλης

63. τὴν: om. PM 64. ὀλίγων τὰ τῆς τόλμης: ὀλίγω τὰ τῆς τόλμης AM ὀλιγοτάτης τόλμης P ὀλιγωτάτης τόλμας L ὀλίγω τὴν τόλμαν VRC ὀλίγων τὴν τόλμαν Bekker 72. δεῖ: διὰ VRC 77-8. Στρουθίου: τοῦ στρουθίου L τοῦ θείου PAMVR 78. ὑπὸ: ἀπὸ A 79. δεκάτῳ: δωδεκάτῳ PA 82. ἔχου: ἔχουσα PA ἔχουσιν LR 83-4. τῶν ὀργάνων: αὐτῶν PA 87. τὴν: om. MLVRC 91. παίσματι: πτώματι LC

valore, di natura avventurosa e dotato di tale forza, che raramente non riusciva a realizzare le sue audaci imprese. Tito, 463 con un sorriso, gli rispose: « Qui c'è da fare per tutti », e Antioco senza indugio mosse con i Macedoni[5] all'assalto del muro. Grazie alla sua forza e alla sua esperienza egli riuscí a 464 schivare i dardi dei giudei saettandoli con il suo arco, ma i suoi giovani, tranne pochi, furono tutti ridotti a mal partito; infatti per mantenere l'impegno assunto essi continuarono ostinatamente a battersi finché furono costretti a ritirarsi, per 465 lo piú feriti, e a riflettere che anche dei veri Macedoni, per vincere, avevano bisogno della fortuna di Alessandro.

II, 4. I romani, che avevano cominciato a innalzare i ter- 466 rapieni il dodici del mese di Artemisio, a stento li terminarono il ventinove, dopo diciassette giorni d'ininterrotta fatica. Si trattava infatti di quattro lavori immensi, di cui il primo, 467 quello per l'Antonia, fu innalzato dalla legione quinta di contro al centro della cisterna chiamata « del passeretto », e il secondo fu innalzato dalla legione dodicesima a circa venti cubiti di distanza. La legione decima, assai lontano dalle altre 468 due, aveva innalzato un terrapieno di contro al settore settentrionale e alla cisterna detta « dei mandorli », mentre la legione quindicesima aveva elevato il terrapieno a trenta cubiti di distanza di contro al monumento del sommo sacerdote[6]. Ma mentre già si stavano tirando su le macchine, Giovanni, 469 che aveva scavato una galleria dall'interno dell'Antonia fino ai terrapieni puntellando la cavità mediante pali che reggevano l'opera dei romani, ad un certo punto introdusse nella galleria della legna spalmata di pece e di bitume e vi appiccò il fuoco. Quando i pali furono consunti dal fuoco, la galleria 470 rovinò e con un tremendo boato fece sprofondare il terrapieno. Dapprima insieme con la polvere si levò una densa 471 nube di fumo perché il fuoco era soffocato dalle macerie, ma appena cominciò a consumarsi il materiale che lo rico-

διαβιβρωσκομένης ἤδη φανερὰ φλὸξ ἐρρήγνυτο. καὶ τοῖς 472
Ῥωμαίοις ἔκπληξις μὲν πρὸς τὸ αἰφνίδιον, ἀθυμία δὲ πρὸς
τὴν ἐπίνοιαν ἐμπίπτει, καὶ κρατήσειν οἰομένοις ἤδη τὸ συμ-
95 βὰν καὶ πρὸς τὸ μέλλον ἔψυξε τὴν ἐλπίδα· τὸ δὲ ἀμύνειν
ἀχρεῖον ἐδόκει πρὸς τὸ πῦρ, καὶ εἰ σβεσθείη τῶν χωμάτων
καταποθέντων.

11, 5. μετὰ δ' ἡμέρας δύο καὶ τοῖς ἄλλοις ἐπιτίθενται 473
χώμασιν οἱ περὶ τὸν Σίμωνα· καὶ γὰρ δὴ προσαγαγόντες
100 ταύτῃ τὰς ἑλεπόλεις οἱ Ῥωμαῖοι διέσειον ἤδη τὸ τεῖχος.
Γεφθαῖος δέ τις ἀπὸ Γάρις πόλεως τῆς Γαλιλαίας, καὶ Μα- 474
γάσσαρος τῶν βασιλικῶν Μαριάμμης θεράπων, μεθ' ὧν
Ἀδιαβηνός τις υἱὸς Ναβαταίου, τοὔνομα κληθεὶς ἀπὸ τῆς
τύχης Κεαγίρας, ὅπερ σημαίνει χωλός, ἁρπάσαντες λαμπά-
105 δας προεπήδησαν ἐπὶ τὰς μηχανάς. τούτων τῶν ἀνδρῶν οὔτε 475
τολμηρότεροι κατὰ τόνδε τὸν πόλεμον ἐκ τῆς πόλεως ἐφά-
νησαν οὔτε φοβερώτεροι· καθάπερ γὰρ εἰς φίλους ἐκτρέχον- 476
τες οὐ πολεμίων στῖφος, οὔτ' ἐμέλλησαν οὔτ' ἀπέστησαν,
ἀλλὰ διὰ μέσων ἐνθορόντες τῶν ἐχθρῶν ὑφῆψαν τὰς μηχα-
110 νάς. βαλλόμενοι δὲ καὶ τοῖς ξίφεσιν ἀνωθούμενοι πάντοθεν 477
οὐ πρότερον ἐκ τοῦ κινδύνου μετεκινήθησαν ἢ δράξασθαι
τῶν ὀργάνων τὸ πῦρ. αἰρομένης δ' ἤδη τῆς φλογὸς Ῥωμαῖοι 478
μὲν ἀπὸ τῶν στρατοπέδων συνθέοντες ἐβοήθουν, Ἰουδαῖοι
δ' ἐκ τοῦ τείχους ἐκώλυον καὶ τοῖς σβεννύειν πειρωμένοις
115 συνεπλέκοντο κατὰ μηδὲν τῶν ἰδίων φειδόμενοι σωμάτων.
καὶ οἱ μὲν εἷλκον ἐκ τοῦ πυρὸς τὰς ἑλεπόλεις τῶν ὑπὲρ 479
αὐτὰς γέρρων φλεγομένων, οἱ δ' Ἰουδαῖοι καὶ διὰ τῆς φλο-
γὸς ἀντελαμβάνοντο καὶ τοῦ σιδήρου ζέοντος δρασσόμενοι
τοὺς κριοὺς οὐ μεθίεσαν· διέβαινε δ' ἀπὸ τούτων ἐπὶ τὰ

96. χωμάτων: καμάτων R 100. ἤδη: om. PA 101. Γεφθαῖος cfr. VI 92. 148 et v. Schlatter, Hebr. Namen p. 39 τεφθαῖος codd. 104. Κεαγίρας Thackeray ex Lat καὶ ἀγίρας vel καὶ ἀγήρας (ἀγείρας) codd. καὶ Ἀγίρας Schlatter, Hebr. Namen p. 45 107. οὔτε: οὐδὲ PAMVRC 108. οὔτ' ἐμέλλησαν: οὔτ(ε) ἔδεισαν (-ησαν C) οὔτ(ε) ἐμέλλησαν MLVRC 110. καὶ: om. PAM 116. ἐκ τοῦ πυρός: om. VRC 117. φλεγομένων: ἐκ τοῦ πυρὸς φλεγομένων PAMVRC

priva il fuoco divampò liberamente. I romani furono presi 472
dallo sbigottimento per il disastro e dallo scoramento per la
trovata del nemico; e poi il colpo subito proprio mentre
credevano di aver la vittoria in pugno raggelò le loro speranze
anche per il futuro. Il fuoco sembrò inutile di combatterlo
perché, anche se si riusciva a domarlo, i terrapieni erano ormai
sprofondati.

11, 5. Due giorni dopo gli uomini di Simone diedero l'at- 473
tacco anche agli altri terrapieni perché da quella parte i romani
avevano accostate le elopoli e già battevano il muro. Un tal 474
Gefteo, della città di Garis nella Galilea, un certo Magassar,
un soldato regio al servizio di Mariamme[7], e insieme con loro
un Adiabeno figlio di un Nabateo, che dalla sua disgrazia era
chiamato Ceagiras[8], che significa zoppo, afferrarono delle torce
e si avventarono contro le macchine. Durante questa guerra 475
non si videro uomini piú audaci di costoro né piú temibili
fra quanti fecero sortite dalla città; infatti, come se corres- 476
sero verso degli amici, e non contro una schiera di avversari,
essi non ebbero un attimo d'indecisione né cambiarono dire-
zione, ma facendosi largo fra i nemici appiccarono il fuoco
alle macchine. Colpiti dai proiettili e respinti a colpi di spada 477
da ogni parte, i tre non si lasciarono strappare dalla loro im-
presa prima che il fuoco avesse fatto presa. Fu quando ormai 478
le fiamme si levavano alte che i romani accorsero in massa
dagli accampamenti, ma i giudei li ostacolavano dall'alto delle
mura e, senza preoccuparsi di risparmiare le loro vite, usci-
rono ad azzuffarsi con quelli che tentavano di spegnere l'in-
cendio. I romani cercavano di trascinare lontano dal fuoco le 479
elepoli che già avevano i graticci di copertura bruciati, mentre
i giudei, pur in mezzo alle fiamme, cercavano di trattenerle
aggrappandosi ai ferri ardenti per il calore e tenendo stretti
gli arieti. Da questi però a un certo punto il fuoco passò ai

120 χώματα τὸ πῦρ καὶ τοὺς ἀμύνοντας προελάμβανεν. ἐν τούτῳ 480
δ' οἱ μὲν Ῥωμαῖοι κυκλούμενοι τῇ φλογὶ καὶ τὴν σωτηρίαν
τῶν ἔργων ἀπογνόντες ἀνεχώρουν ἐπὶ τὰ στρατόπεδα, Ἰου- 481
δαῖοι δὲ προσέκειντο πλείους ἀεὶ γινόμενοι τῶν ἔνδοθεν προσ-
βοηθούντων καὶ τῷ κρατεῖν τεθαρρηκότες ἀταμιεύτοις ἐ-
125 χρῶντο ταῖς ὁρμαῖς, προελθόντες δὲ μέχρι τῶν ἐρυμάτων
ἤδη συνεπλέκοντο τοῖς φρουροῖς. τάξις ἐστὶν ἐκ διαδοχῆς 482
ἱσταμένη πρὸ τοῦ στρατοπέδου, καὶ δεινὸς ἐπ' αὐτῇ Ῥω-
μαίων νόμος τὸν ὑποχωρήσαντα καθ' ἣν δήποτ' οὖν αἰτίαν
θνήσκειν. οὗτοι τοῦ μετὰ κολάσεως τὸν μετ' ἀρετῆς θάνατον 483
130 προκρίναντες ἵστανται, καὶ πρὸς τὴν τούτων ἀνάγκην πολ-
λοὶ τῶν τραπέντων ἐπεστράφησαν αἰδούμενοι. διαθέντες δὲ 484
καὶ τοὺς ὀξυβελεῖς ἐπὶ τοῦ τείχους εἶργον τὸ προσγινόμενον
πλῆθος ἐκ τῆς πόλεως, οὐδὲν εἰς ἀσφάλειαν ἢ φυλακὴν τῶν
σωμάτων προνοουμένους· συνεπλέκοντο γὰρ οἱ Ἰουδαῖοι τοῖς
135 προστυχοῦσι καὶ ταῖς αἰχμαῖς ἀφυλάκτως ἐμπίπτοντες αὐ-
τοῖς τοῖς σώμασι τοὺς ἐχθροὺς ἔπαιον. οὔτε δ' ἔργοις αὐτοὶ 485
πλέον ἢ τῷ θαρρεῖν περιῆσαν καὶ Ῥωμαῖοι τῇ τόλμῃ πλέον
εἶκον ἢ τῷ κακοῦσθαι.

11, 6. παρῆν δ' ἤδη Τίτος ἀπὸ τῆς Ἀντωνίας, ὅπου 486
140 κεχώριστο κατασκεπτόμενος τόπον ἄλλοις χώμασι, καὶ πολ-
λὰ τοὺς στρατιώτας φαυλίσας, εἰ κρατοῦντες τῶν πολεμίων
τειχῶν κινδυνεύουσι τοῖς ἰδίοις καὶ πολιορκουμένων ὑπομέ-
νουσιν αὐτοὶ τύχην, ὥσπερ ἐκ δεσμωτηρίου καθ' αὑτῶν Ἰου-
δαίους ἀνέντες, περιῄει μετὰ τῶν ἐπιλέκτων κατὰ πλευρὰ
145 τοὺς πολεμίους αὐτός· οἱ δὲ κατὰ στόμα παιόμενοι καὶ πρὸς 487
τοῦτον ἐπιστραφέντες ἐκαρτέρουν. μιγείσης δὲ τῆς παρα-
τάξεως ὁ μὲν κονιορτὸς τῶν ὀμμάτων, ἡ κραυγὴ δὲ τῶν
ἀκοῶν ἐπεκράτει, καὶ οὐδετέρῳ παρῆν ἔτι τεκμήρασθαι τὸ

120. προελάμβανεν: προσελάμβανεν AML 125. ὁρμαῖς: ὀργαῖς PA | προελθόντες Niese προσελθόντες codd. 134. προνοουμένους: προνοούμενοι PAM | γὰρ οἱ: γὰρ P δὲ οἱ R 135. αἰχμαῖς: ἀκμαῖς PAMVRC 136. τοῖς: om. PAMVRC 142. κινδυνεύουσι: κινδυνεύσουσι C | ἰδίοις: Ἰουδαίοις PA 146. ἐπιστραφέντες: ἐπιστρέφοντες PA

terrapieni prima che i difensori potessero impedirlo, e allora i 480 romani, circondati dalle fiamme e disperando di poter salvare i lavori, si ritirarono negli accampamenti. Li incalzarono i 481 giudei, che diventavano sempre piú numerosi per l'accorrere di rinforzi dalla città, e, fatti arditi dal successo, non seppero moderare la loro azione, ma si spinsero fino ai trinceramenti nemici impegnando la lotta con gli uomini di guardia. Davanti 482 a ogni accampamento romano è sempre schierato a turno un reparto di guardia, sottoposto a un regolamento severissimo che punisce con la morte chi per qualsiasi motivo abbandona il suo posto. Essi, preferendo la morte da valorosi a quella per 483 castigo, si fecero trucidare sul posto, e allora presi dal rimorso per la loro sorte molti di coloro che fuggivano tornarono indietro. Messe quindi in posizione lungo il vallo le cata- 484 pulte, raffrenarono le masse che sopraggiungevano dalla città senza darsi pensiero di risparmiare la vita e di tenersi al riparo; infatti i giudei si azzuffavano con chi capitava e gettandosi senza badare sulla punta delle spade nemiche abbattevano con i loro corpi gli avversari. Ma la loro superiorità era nel co- 485 raggio piú che nei risultati concreti, e i romani cedevano di fronte al loro ardire piú che alle perdite subite.

11, 6. Nel frattempo arrivò Tito di ritorno dall'Antonia, 486 dove era andato ad eseguire una ricognizione per l'erezione di nuovi terrapieni. Egli rimproverò aspramente i soldati, che dopo aver superato le mura nemiche ora vedevano in pericolo i propri trinceramenti e sostenevano alla lor volta la parte degli assediati, avendo lasciato che i giudei fuggissero come da una prigione per scagliarsi contro di loro; quindi insieme con le sue truppe scelte attaccò sui fianchi i nemici. Costoro, sebbene fossero impegnati sulla fronte, si volsero 487 a fronteggiare anche lui. Nella mischia la polvere offuscava la vista, il clamore assordava le orecchie e nessuna delle due parti era piú in grado di distinguere un amico da un nemico.

www.scribd.com/Cultura_in_Ita5

ἐχθρὸν ἢ τὸ φίλιον. Ἰουδαίων δὲ οὐ τοσοῦτον ἔτι κατ' ἀλ- 488
150 κὴν ὅσον ἀπογνώσει σωτηρίας παραμενόντων καὶ Ῥωμαίους
ἐτόνωσεν αἰδὼς δόξης τε καὶ τῶν ὅπλων καὶ προκινδυνεύον-
τος Καίσαρος· ὥστε μοι δοκοῦσι τὰ τελευταῖα δι' ὑπερβο- 489
λὴν θυμῶν κἂν ὅλον ἁρπάσαι τὸ τῶν Ἰουδαίων πλῆθος, εἰ
μὴ τὴν ῥοπὴν τῆς παρατάξεως φθάσαντες ἀνεχώρησαν εἰς
155 τὴν πόλιν. διεφθαρμένων δὲ τῶν χωμάτων Ῥωμαῖοι μὲν 490
ἦσαν ἐν ἀθυμίαις τὸν μακρὸν κάματον ἐπὶ μιᾶς ὥρας ἀπο-
λέσαντες· καὶ πολλοὶ μὲν ταῖς συνήθεσι μηχαναῖς ἀπήλπιζον
ἁλώσεσθαι τὴν πόλιν.

12, 1. Τίτος δὲ μετὰ τῶν ἡγεμόνων ἐβουλεύετο, καὶ τοῖς 491
μὲν θερμοτέροις πᾶσαν ἐδόκει προσφέρειν τὴν δύναμιν ἀπο-
πειρᾶσθαί τε τοῦ τείχους βίᾳ· μέχρι μὲν γὰρ νῦν κατὰ σπά- 492
σμα Ἰουδαίοις συμπεπλέχθαι, προσιόντων δ' ἀθρόων οὐδὲ
5 τὴν ἔφοδον οἴσειν· καταχωσθήσεσθαι γὰρ ὑπὸ τῶν βελῶν.
τῶν δ' ἀσφαλεστέρων οἱ μὲν καὶ τὰ χώματα ποιεῖν πάλιν, 493
οἱ δὲ καὶ δίχα τούτων προσκαθέζεσθαι μόνον παραφυλάττον-
τας τάς τε ἐξόδους αὐτῶν καὶ τὰς εἰσκομιδὰς τῶν ἐπιτη-
δείων παρῄνουν καὶ τῷ λιμῷ καταλείπειν τὴν πόλιν, μηδὲ
10 συμπλέκεσθαι κατὰ χεῖρα τοῖς πολεμίοις· ἄμαχον γὰρ εἶναι 494
τὴν ἀπόγνωσιν οἷς εὐχὴ μὲν τὸ σιδήρῳ πεσεῖν, ἀπόκειται
δὲ καὶ δίχα τούτου πάθος χαλεπώτερον. αὐτῷ δὲ τὸ μὲν 495
ἀργεῖν καθόλου μετὰ τοσαύτης δυνάμεως οὐκ ἐδόκει πρέπειν
καὶ τὸ μάχεσθαι περιττὸν πρὸς ἀλλήλων φθαρησομένοις,
15 βάλλεσθαι δὲ χώματα δύσεργον ἀπέφαινεν ὕλης ἀπορίᾳ καὶ 496
τὸ παραφυλάττειν τὰς ἐξόδους δυσεργότερον· κυκλώσασθαί
τε γὰρ τῇ στρατιᾷ τὴν πόλιν διὰ μέγεθος καὶ δυσχωρίαν

149. τὸ φίλιον: τὸν φίλον L τὸ φίλον VRC 153. κἂν: καὶ PVR | ὅλον ἁρπάσαι MLVRC ἁρπάσαι PA
12, 4. Ἰουδαίοις: ἰουδαίους P ἰουδαίοις τῆς στρατιᾶς ML ἰουδαίους τῆς στρατιᾶς VRC 9. καταλείπειν: ἐκλείπειν P καταλείψειν A κατασχεῖν M καταλαβεῖν L καταλιπεῖν VR καταλειπεῖν C 11. τὸ: τῷ PAMVRC 14. φθαρησομένοις: φθαρησομένους PAMLVR 16. κυκλώσασθαί: κυκλώσεσθαι PAM[2]

I giudei si battevano non tanto per bravura quanto per dispe- 488
razione, mentre i romani erano spronati dal rispetto per la
loro reputazione e per l'onore delle armi nonché dal fatto
che Cesare si esponeva in prima fila; essi, io credo, avrebbero 489
finito per sterminare nel loro furore l'intera massa dei giudei,
se costoro non si fossero affrettati a tornarsene in città prima
della rotta. Ma la distruzione dei terrapieni aveva demoraliz- 490
zato i romani, che avevano visto andare in fumo in una sola
ora il frutto di una lunga fatica; molti ormai disperavano di
poter riuscire a conquistare la città per mezzo delle solite
macchine.

12, 1. Tito convocò a consiglio i suoi generali, e i piú 491
focosi espressero l'avviso che si dovessero mettere in campo
tutte le forze per tentare di prendere d'assalto le mura: fino 492
a quel momento, infatti, con i giudei si erano misurati soltanto
dei reparti isolati, mentre, se fossero mossi all'attacco tutti
insieme, i giudei non ne avrebbero potuto sostenere nemmeno
l'urto perché sarebbero stati sepolti sotto i proiettili. Invece i 493
piú prudenti consigliarono chi di tornare a erigere i terrapieni,
chi di non pensar piú nemmeno a questi e di limitarsi a strin-
gere il blocco per impedire le sortite e l'introduzione di viveri,
abbandonando cosí la città in preda alla fame ed evitando di
scontrarsi col nemico; infatti non era il caso di battersi con 494
dei disperati che agognavano solo a finire sotto una spada,
perché altrimenti li attendeva una sorte ancora piú miserabile.
Tito dichiarò che a lui pareva poco decoroso restare del tutto 495
inattivo con un esercito cosí imponente e che, insieme, giudi-
cava superfluo attaccare degli uomini che stavano per dila-
niarsi fra loro; d'altro canto egli mise in evidenza la difficoltà 496
d'innalzare terrapieni, data la mancanza del legname neces-
sario, e la difficoltà ancora maggiore di impedire le sortite;
infatti non era facile disporre l'esercito come un cordone
attorno alla città per la grande estensione di questa e per le

οὐκ εὐμαρὲς εἶναι καὶ σφαλερὸν ἄλλως πρὸς τὰς ἐπιθέσεις.
τῶν δὲ φανερῶν φυλαττομένων ἀφανεῖς ἐπινοηθήσεσθαι Ἰου- 497
20 δαίοις ὁδοὺς κατά τε ἀνάγκην καὶ δι' ἐμπειρίαν· εἰ δέ τι
λάθρα παρεισκομισθήσοιτο, τριβὴν ἔσεσθαι πλείω τῇ πο-
λιορκίᾳ. δεδιέναι τε μὴ τὴν δόξαν τοῦ κατορθώματος αὐτῷ 498
τὸ μῆκος ἐλαττώσῃ τοῦ χρόνου· τούτῳ μὲν γὰρ εἶναι πᾶν
ἀνύσιμον, πρὸς δὲ τῆς εὐκλείας τὸ τάχος. δεῖν γε μήν, εἰ 499
25 καὶ τῷ τάχει μετ' ἀσφαλείας βούλοιντο χρήσασθαι, περιτει-
χίζειν ὅλην τὴν πόλιν· μόνως γὰρ οὕτως ἂν πάσας ἀποφράξαι
τὰς ἐξόδους, καὶ Ἰουδαίους ἢ πρὸς ἅπαντα ἀπογνόντας τὴν
σωτηρίαν παραδώσειν τὴν πόλιν ἢ λιμώττοντας χειρωθή-
σεσθαι ῥᾳδίως· οὐδὲ γὰρ ἠρεμήσειν αὐτὸς ἄλλως, ἀλλὰ καὶ 500
30 τῶν χωμάτων ἐπιμελήσεσθαι πάλιν χρώμενος τοῖς κωλύουσιν
ἀτονωτέροις. εἰ δέ τῳ μέγα δοκεῖ καὶ δυσήνυτον τὸ ἔργον, 501
χρῆναι σκοπεῖν, ὡς οὔτε Ῥωμαίοις τι μικρὸν ἐνεργεῖν πρέ-
πει, καὶ δίχα πόνου κατορθοῦν τι τῶν μεγάλων οὐδενὶ ῥᾴ-
διον.

35 **12,** 2. τούτοις πείσας τοὺς ἡγεμόνας διανέμειν ἐκέλευσε 502
τὰς δυνάμεις ἐπὶ τὸ ἔργον. ὁρμὴ δέ τις ἐμπίπτει δαιμόνιος
τοῖς στρατιώταις, καὶ μερισαμένων τὸν περίβολον οὐ μόνον
τῶν ταγμάτων ἦν ἔρις, ἀλλὰ καὶ τῶν ἐν αὐτοῖς τάξεων πρὸς
ἀλλήλας, καὶ στρατιώτης μὲν δεκαδάρχην, δεκαδάρχης δ' 503
40 ἑκατοντάρχην, οὗτος δ' ἐσπούδαζεν ἀρέσασθαι χιλίαρχον,
τῶν δὲ χιλιάρχων ἐπὶ τοὺς ἡγεμόνας ἔτεινεν ἡ φιλοτιμία
καὶ τῶν ἡγεμόνων τὴν ἅμιλλαν ἐβράβευε Καῖσαρ· περιιὼν
γὰρ αὐτὸς ἑκάστης ἡμέρας πολλάκις ἐπεσκόπει τὸ ἔργον.
ἀρξάμενος δ' ἀπὸ τῆς Ἀσσυρίων παρεμβολῆς, καθ' ἣν αὐτὸς 504
45 ἐστρατοπεδεύσατο, ἐπὶ τὴν κατωτέρω Καινόπολιν ἦγε τὸ

19. ἐπινοηθήσεσθαι Thackeray ἐπινοεῖσθαι codd. 25. βούλοιντο: βούλοιτο PAMVRC 29. αὐτὸς Destinon αὐτοὺς PAMVRC αὐτὸν L 33. πόνου: πόνων L | οὐδενὶ: οὐδὲ θεῷ L Lat 33-4. ῥᾴδιον: ῥάδιον ἀλλ' ἢ θεῷ μόνῳ MVRC 37. στρατιώταις: στασιασταῖς R 38. τῶν ταγμάτων: προστάγματος LVRC 43. ἐπεσκόπει: ἐσκόπει L

difficoltà del terreno, senza dire dei pericoli di un tale schieramento in caso di un attacco nemico. E mentre essi avrebbero 497 tenuto sotto controllo i passi conosciuti, i giudei, spinti dalla necessità e guidati dalla conoscenza dei luoghi, ne avrebbero scoperti di nuovi; se poi quelli fossero riusciti a introdurre furtivamente dei viveri nella città, l'assedio si sarebbe trascinato ancora piú in lungo. Tito espresse infine il timore che la 498 gloria del successo gli venisse diminuita dalla lentezza nel conseguirlo, perché col tempo tutto si può fare mentre l'abilità sta nel farlo presto. E allora, se volevano conciliare in- 499 sieme la rapidità e la sicurezza, bisognava circondare con un vallo l'intera città: soltanto cosí avrebbero bloccato tutte le vie d'uscita e allora o i giudei, perduta ogni speranza, avrebbero consegnato la città o, stremati dalla fame, sarebbero stati facilmente annientati. Inoltre egli contava di non restare 500 inattivo sino alla fine, ma di riprendere il lavoro dei terrapieni quando i difensori avrebbero opposto piú debole resistenza. Se qualcuno giudicava troppo impegnativo ed arduo il suo 501 piano, considerasse che ai romani non si addicevano imprese da poco e che senza fatica nessuno può compiere facilmente qualche cosa di grande.

12, 2. Avendo con tali argomenti persuaso i generali, Tito 502 comandò loro di ripartire il lavoro fra i diversi corpi. I soldati furono presi da un ardore sovrumano e, quando vennero assegnati i vari settori della circonvallazione, non soltanto gareggiarono fra loro le legioni, ma anche i reparti di cui ciascuna era composta, e il soldato si sforzò di guadagnarsi l'elogio 503 del decurione[1], il decurione del centurione, il centurione del tribuno, mentre i tribuni cercavano di competere con i generali e della emulazione fra i generali era giudice Cesare; questi infatti ogni giorno compiva numerosi giri d'ispezione per controllare il lavoro. Cominciando dal Campo degli assiri[2], 504 ov'era il suo accampamento, egli fece drizzare il vallo verso la parte piú bassa della Città Nuova, e di lí attraverso il Ce-

τεῖχος, ἔνθεν διὰ τοῦ Κεδρῶνος ἐπὶ τὸ Ἐλαιῶν ὄρος· εἶτ' ἀνακάμπτων κατὰ μεσημβρίαν περιλαμβάνει τὸ ὄρος ἄχρι τῆς Περιστερεῶνος καλουμένης πέτρας τόν τε ἑξῆς λόφον, ὃς ἐπίκειται τῇ κατὰ τὴν Σιλωὰμ φάραγγι, κἀκεῖθεν ἐκκλίνας πρὸς δύσιν εἰς τὴν τῆς πηγῆς κατῄει φάραγγα. μεθ' ἣν ἀναβαίνων κατὰ τὸ Ἀνάνου τοῦ ἀρχιερέως μνημεῖον καὶ διαλαβὼν τὸ ὄρος, ἔνθα Πομπήιος ἐστρατοπεδεύσατο, πρὸς κλίμα βόρειον ἐπέστρεφε, καὶ προελθὼν μέχρι κώμης τινός, Ἐρεβίνθων οἶκος καλεῖται, καὶ μετ' ἐκείνην τὸ Ἡρώδου μνημεῖον περισχὼν κατὰ ἀνατολὴν τῷ ἰδίῳ στρατοπέδῳ συνῆπτεν, ὅθεν ἤρξατο. τὸ μὲν οὖν τεῖχος ἑνὸς δέοντος τεσσαράκοντα σταδίων ἦν, ἔξωθεν δ' αὐτῷ προσῳκοδομήθη τρισκαίδεκα φρούρια, καὶ τούτων οἱ κύκλοι δέκα συνηριθμοῦντο σταδίων. τρισὶ δ' ᾠκοδομήθη τὸ πᾶν ἡμέραις, ὡς τὸ μὲν ἔργον μηνῶν εἶναι ἄξιον, τὸ τάχος δ' ἡττᾶσθαι πίστεως. περικλείσας δὲ τῷ τείχει τὴν πόλιν καὶ δύναμιν τοῖς φρουρίοις ἐγκαταστήσας, τὴν μὲν πρώτην φυλακὴν τῆς νυκτὸς περιιὼν αὐτὸς ἐπεσκέπτετο, τὴν δευτέραν δ' ἐπέτρεψεν Ἀλεξάνδρῳ, τὴν τρίτην δ' ἔλαχον οἱ τῶν ταγμάτων ἡγεμόνες. διεκληροῦντο δ' οἱ φύλακες τοὺς ὕπνους, καὶ δι' ὅλης νυκτὸς περιῄεσαν κατὰ τὰ διαστήματα τῶν φρουρίων.

12, 3. Ἰουδαίοις δὲ μετὰ τῶν ἐξόδων ἀπεκόπη πᾶσα σωτηρίας ἐλπίς, καὶ βαθύνας αὑτὸν ὁ λιμὸς κατ' οἴκους καὶ γενεὰς τὸν δῆμον ἐπεβόσκετο. καὶ τὰ μὲν τέγη πεπλήρωτο γυναικῶν καὶ βρεφῶν λελυμένων, οἱ στενωποὶ δὲ γερόντων νεκρῶν, παῖδες δὲ καὶ νεανίαι διοιδοῦντες ὥσπερ εἴδωλα κατὰ τὰς ἀγορὰς ἀνειλοῦντο καὶ κατέπιπτον ὅπῃ τινὰ τὸ πάθος καταλαμβάνοι. θάπτειν δὲ τοὺς προσήκοντας οὔτ' ἴσχυον οἱ κάμνοντες καὶ τὸ διευτονοῦν ὤκνει διά τε πλῆθος τῶν νεκρῶν καὶ τὸ κατὰ σφᾶς ἄδηλον· πολλοὶ γοῦν τοῖς ὑπ'

47. ἄχρι: μέχρι L 53. προελθὼν: προσελθὼν VRC 56. ὅθεν: ὅθενπερ C
60. εἶναι: om. PA | ἡττᾶσθαι: ἡττῆσθαι LVRC 66. τά: om. PALVRC
68. αὐτὸν: αὐτῶν PA αὐτὸν VR ἑαυτὸν LC 74. διά τε: διὰ τὸ PAMVRC
75. γοῦν: οὖν L

dron fino al monte degli Olivi; poi, facendolo piegare verso sud, racchiuse il monte fino alla rupe chiamata Colombaia e l'adiacente collina che domina i pendii della fonte Siloa, e di lí lo fece volgere a occidente e scendere nella valle della fonte. Il trinceramento risaliva poi lungo il monumento del sommo sacerdote Anano[3] e, tagliando il colle su cui s'era accampato Pompeo[4], volgeva verso nord e, raggiunta una frazione che si chiamava Casa dei Ceci, recingeva poi il monumento di Erode[5] e, volgendo a oriente, arrivava all'accampamento donde aveva preso inizio. Questo vallo aveva la lunghezza di trentanove stadi[6], e comprendeva verso l'esterno tredici fortilizi i cui perimetri assommavano complessivamente a dieci stadi[7]. L'intero lavoro fu condotto a termine in tre giorni, con una rapidità incredibile per un'opera che avrebbe richiesto dei mesi. Rinchiusa la città entro questa linea e collocate le guarnigioni nei fortilizi, Tito riservò a sé l'ispezione del primo turno di guardia durante la notte, e affidò quella del secondo turno ad Alessandro[8], mentre quella del terzo turno veniva assegnata per sorteggio ai diversi generali[9]. Anche gli uomini di guardia avevano le ore di riposo stabilite dal sorteggio, e durante l'intera notte pattugliavano il terreno tra un fortilizio e l'altro.

12, 3. Ai giudei insieme con le vie d'uscita dalla città fu preclusa ogni speranza di salvezza, e la fame, fattasi piú micidiale, sterminava il popolo a intere casate e famiglie. Le case erano pieni di donne e di bambini consunti, i vicoli di vecchi stecchiti, mentre i ragazzi e i giovani col corpo tumefatto si aggiravano come fantasmi nelle piazze e stramazzavano dovunque il male li finiva. Erano tanto deboli da non aver la forza di seppellire i loro parenti, e chi stava un po' meglio esitava a farlo sia per il gran numero dei cadaveri, sia per l'incertezza della propria sorte; infatti parecchi cadevano morti sopra a

www.scribd.com/Cultura_in_Ita5

αὐτῶν θαπτομένοις ἐπαπέθνησκον, πολλοὶ δ' ἐπὶ τὰς θήκας
πρὶν ἐπιστῆναι τὸ χρεὼν προῆλθον. οὔτε δὲ θρῆνος ἐν ταῖς 515
συμφοραῖς οὔτ' ὀλοφυρμὸς ἦν, ἀλλ' ὁ λιμὸς ἤλεγχε τὰ πάθη,
ξηροῖς δὲ τοῖς ὄμμασι καὶ σεσηρόσι τοῖς στόμασιν οἱ δυσθα-
80 νατοῦντες ἐφεώρων τοὺς φθάσαντας ἀναπαύσασθαι, βαθεῖα
δὲ περιεῖχεν τὴν πόλιν σιγὴ καὶ νὺξ θανάτου γέμουσα καὶ
τούτων οἱ λῃσταὶ χαλεπώτεροι. τυμβωρυχοῦντες γοῦν τὰς 516
οἰκίας ἐσύλων τοὺς νεκροὺς καὶ τὰ καλύμματα τῶν σωμά-
των περισπῶντες μετὰ γέλωτος ἐξῄεσαν, τάς τε αἰχμὰς τῶν
85 ξιφῶν ἐδοκίμαζον ἐν τοῖς πτώμασιν, καί τινας τῶν ἐρριμ-
μένων ἔτι ζῶντας διήλαυνον ἐπὶ πείρᾳ τοῦ σιδήρου· τοὺς 517
δ' ἱκετεύοντας χρῆσαι σφίσι δεξιὰν καὶ ξίφος τῷ λιμῷ κα-
τέλειπον ὑπερηφανοῦντες, καὶ τῶν ἐκπνεόντων ἕκαστος ἀτε-
νίσας εἰς τὸν ναὸν ἀφεώρα τοὺς στασιαστὰς ζῶντας ἀπο-
90 λιπών. οἱ δὲ τὸ μὲν πρῶτον ἐκ τοῦ δημοσίου θησαυροῦ τοὺς 518
νεκροὺς θάπτειν ἐκέλευον, τὴν ὀσμὴν οὐ φέροντες, ἔπειθ' ὡς
οὐ διήρκουν ἀπὸ τῶν τειχῶν ἔρριπτον εἰς τὰς φάραγγας.

12, 4. περιιὼν δὲ ταύτας ὁ Τίτος ὡς ἐθεάσατο πεπλη- 519
σμένας τῶν νεκρῶν καὶ βαθὺν ἰχῶρα μυδώντων ὑπορρέοντα
95 τῶν σωμάτων, ἐστέναξέ τε καὶ τὰς χεῖρας ἀνατείνας κατε-
μαρτύρατο τὸν θεόν, ὡς οὐκ εἴη τὸ ἔργον αὐτοῦ. τὰ μὲν δὴ 520
κατὰ τὴν πόλιν εἶχεν οὕτως, Ῥωμαῖοι δὲ μηδενὸς ἔτι τῶν
στασιαστῶν ἐκτρέχοντος, ἤδη γὰρ καὶ τούτων ἀθυμία καὶ
λιμὸς ἐφήπτετο, πρὸς εὐθυμίαις ἦσαν σίτου τε ἀφθονίαν καὶ
100 τῶν ἄλλων ἐπιτηδείων ἐκ τῆς Συρίας καὶ τῶν πλησίον ἐπαρ-
χιῶν ἔχοντες· ἱστάμενοι δὲ πολλοὶ τοῦ τείχους πλησίον 521
καὶ πολὺ πλῆθος τῶν ἐδωδίμων ἐπιδεικνύμενοι τῷ κατὰ
σφᾶς κόρῳ τὸν λιμὸν τῶν πολεμίων ἐξέκαιον. πρὸς δὲ 522
τὸ πάθος τῶν στασιαστῶν μηδὲν ἐνδιδόντων, Τίτος οἰκτεί-

79. σεσηρόσι: σεσηπόσι LVR *corruptis* Lat   80. ἐφεώρων: ἐφεώρουν PA[1] ἐπαιώρουν L ἐθεώρων C   84. αἰχμὰς: ἀκμὰς L   87-8. κατέλειπον: κατέλιπον AC   92. τὰς: om. PVRC   94. ὑπορρέοντα Bekker τὸν ὑπορρέοντα codd.   95. ἐστέναξέ: στενάξας VRC   99. πρὸς εὐθυμίαις Bekker ἀεὶ δὲ οἱ ῥωμαῖοι προσευθυμίαις L ἐπ'εὐθυμίαις PAMVR ἐπευθείαις C   100. πλησίων AC ἄλλων L

quelli che stavano seppellendo, e molti arrivarono alla loro
tomba prima di essere raggiunti dal fato di morte. Fra tanti 515
lutti non si levava un lamento o un gemito: la fame cancellava
i sentimenti, e quelli che stentavano a morire guardavano
con gli occhi asciutti e le bocche contorte chi li aveva prece-
duti nell'ultimo riposo. La città era in preda a un profondo
silenzio e a una notte piena di morte, ma anche a qualche cosa
di peggio, i banditi. Scassinando le case, diventate ora dei 516
sepolcri, essi spogliavano i morti e, strappate le vesti dai corpi,
se ne uscivano sghignazzando; provavano la punta delle spade
sui cadaveri, e talvolta trafissero anche dei disgraziati che
erano caduti stremati ma non erano ancora morti; non si 517
curavano invece di quelli che li supplicavano di dar loro il
colpo di grazia, e li lasciavano morire di fame. Chiunque spi-
rava teneva gli occhi fissi verso il tempio distogliendoli dai
banditi che si lasciava dietro di sé. Costoro dapprima disposero 518
che i cadaveri venissero sepolti a spese pubbliche, non soppor-
tandone il fetore; poi, quando quelli diventarono troppo nu-
merosi, li fecero scaraventare dall'alto delle mura nei burroni.

12, 4. Quando nei suoi giri d'ispezione Tito vide i bur- 519
roni ricolmi di cadaveri, e un denso liquame fluire sotto i
corpi putrefatti, ebbe parole di commiserazione, e levando
le mani al cielo chiamò dio a testimone che tutto quello non
era opera sua. Tale era la situazione della città. I romani invece, 520
poiché nessuno dei ribelli faceva piú sortite, essendo ormai
anch'essi in preda allo scoramento e alla fame, avevano il
morale altissimo, riforniti abbondantemente di grano e di tutto
ciò di cui abbisognavano dalla Siria e dalle province vicine.
Molti si appressavano alle mura e, mettendo in mostra una 521
gran quantità di viveri, stimolavano la fame dei nemici con
lo spettacolo della loro sazietà. Ma poiché i ribelli non cede- 522
vano dinanzi a tante sofferenze, Tito, preso da compassione

105 ρων τὰ λείψανα τοῦ δήμου καὶ σπουδάζων τὸ γοῦν περιὸν
ἐξαρπάσαι, πάλιν ἤρχετο χωμάτων χαλεπῶς αὐτῷ τῆς ὕλης
ποριζομένης· ἥ μὲν γὰρ περὶ τὴν πόλιν πᾶσα τοῖς προ- 523
τέροις ἔργοις ἐκέκοπτο, συνεφόρουν δ' ἄλλην ἀπ' ἐνενή-
κοντα σταδίων οἱ στρατιῶται. καὶ πρὸς μόνης ὕψουν τῆς
110 'Αντωνίας κατὰ μέρη τέσσαρα πολὺ μείζονα τῶν προτέρων
χώματα. περιιὼν δ' ὁ Καῖσαρ τὰ τάγματα καὶ κατεπείγων 524
τὸ ἔργον ἐπεδείκνυ τοῖς λῃσταῖς, ὡς ἐν χερσὶν εἴησαν αὐτοῦ.
μόνοις δ' ἐκείνοις ἄρα κακῶν ἀπολώλει μεταμέλεια, καὶ 525
τὰς ψυχὰς χωρίσαντες ἀπὸ τῶν σωμάτων ἀμφοτέροις ὡς
115 ἀλλοτρίοις ἐχρῶντο. οὔτε γὰρ πάθος αὐτῶν ἡμέρου τὴν 526
ψυχὴν οὔτ' ἀλγηδὼν ἥπτετο τοῦ σώματος, οἵ γε καὶ νεκρὸν
τὸν δῆμον ὥσπερ κύνες ἐσπάραττον καὶ τὰ δεσμωτήρια
τῶν ἀρρώστων ἐνεπίμπλασαν.

13, 1. Σίμων γοῦν οὐδὲ Ματθίαν, δι' ὃν κατέσχε τὴν 527
πόλιν, ἀβασάνιστον ἀνεῖλε· Βοηθοῦ παῖς ἦν οὗτος ἐκ τῶν
ἀρχιερέων, ἐν τοῖς μάλιστα τῷ δήμῳ πιστὸς καὶ τίμιος·
ὃς ὑπὸ τοῖς ζηλωταῖς κακουμένου τοῦ πλήθους, οἷς ἤδη 528
5 καὶ 'Ιωάννης προσῆν, πείθει τὸν δῆμον εἰσαφεῖναι τὸν Σί-
μωνα βοηθόν, οὐδὲν οὔτε προσυνθέμενος οὔτε προσδοκήσας
φαῦλον ἐξ αὐτοῦ. παρελθὼν δ' ἐκεῖνος ὡς ἐκράτησε τῆς 529
πόλεως, ἐχθρὸν ἐν ἴσῳ τοῖς ἄλλοις ἡγεῖτο καὶ τὸν ὑπὲρ
αὐτοῦ σύμβουλον ὡς ἂν ἐξ ἁπλότητος γεγενημένον. ἀχθέντα 530
10 δὲ τηνικαῦτα καὶ κατηγορούμενον τὰ τῶν 'Ρωμαίων φρο-
νεῖν κατακρίνει μὲν θανάτῳ, μηδ' ἀπολογίας ἀξιώσας, σὺν
τρισὶν υἱοῖς· ὁ γὰρ τέταρτος ἔφθη διαδρὰς πρὸς Τίτον·
ἱκετεύοντα δ' ἀναιρεθῆναι πρὸ τῶν τέκνων καὶ ταύτην
αἰτούμενον τὴν χάριν ἀνθ' ὧν ἀνοίξειεν αὐτῷ τὴν πόλιν,

107. πορIζομένης: κομιζομένης P   109. ὕψουν: ὑψοῦν PA[1]   115-6. ἡμέρου τὴν ψυχὴν: ἥμερον τῆς ψυχῆς LVRC   116. οἵ γε: οἱ δὲ LVR
13, 5. 'Ιωάννης: ὁ 'Ιωάννης P | εἰσαφεῖναι: εἰσαφῆναι A[1]V   9. ἂν: om. PA
10. τῶν: om. LVRC

per quanti restavano del popolo e volendo strappare a quella sorte almeno i superstiti, cominciò di nuovo a innalzare i terrapieni anche se procurarsi il legname era diventato ora piú difficoltoso. Tutti gli alberi intorno alla città erano stati ab- 523 battuti per i lavori precedenti, e i soldati dovettero trasportare il nuovo materiale da novanta stadi[10] di distanza. Ed essi innalzarono i terrapieni soltanto di fronte all'Antonia, ma erano divisi in quattro sezioni ed erano molto piú grandi dei precedenti. Andando in giro a ispezionare le legioni e a spro- 524 narle al lavoro, Cesare mostrava ai ribelli che ormai erano nelle sue mani. Ma costoro erano gli unici in cui fosse svanito 525 ogni rimorso per il mal fatto: avevano come separato l'anima dal corpo trattandole come due cose estranee; infatti né la 526 sofferenza placava la loro ferocia, né il dolore agiva sul corpo. Come cani dilaniavano i resti del popolo, e riempivano le prigioni di disgraziati senza piú forza.

13, 1. Simone non lasciò morire senza supplizi nemmeno 527 Mattia, che aveva consegnato nelle sue mani la città[1]. Costui era figlio di Boeto, discendente di sommi sacerdoti, uno degli uomini piú stimati e onorati dal popolo. Quando la città era 528 angariata dagli Zeloti, cui s'era unito anche Giovanni, egli aveva persuaso il popolo a far entrare in loro aiuto Simone, senza stringere in precedenza alcun accordo con lui e senza sospettare alcun tiro da parte sua. Ma quando Simone mise 529 piede in città e se ne fece padrone, considerò Mattia nemico al pari degli altri, anche se aveva perorato la sua causa, giudicando che lo aveva fatto per stolta ingenuità. Cosí allora se 530 lo fece trascinare al suo cospetto e con l'accusa di parteggiare per i romani lo condannò a morte, senza permettergli di difendersi, insieme con tre figli, perché il quarto aveva fatto in tempo a rifugiarsi presso Tito[2]. E quando Mattia lo supplicò di ucciderlo prima dei figli, chiedendogli questa grazia in ricompensa di avergli fatto aprire le porte della città, Simone

www.scribd.com/Cultura_in_Ita5

τελευταῖον ἀνελεῖν ἐκέλευσεν. ὁ μὲν οὖν ἐν ὄψει φονευθεῖσιν ἐπεσφάγη τοῖς παισὶν ἀντικρὺς Ῥωμαίων προαχθείς· οὕτω γὰρ ὁ Σίμων Ἀνάνῳ τῷ Βαγαδάτου προσέταξεν, ὃς ἦν ὠμότατος αὐτῷ τῶν δορυφόρων, ἐπειρωνευόμενος, εἴ τι βοηθήσουσιν αὐτῷ πρὸς οὓς ἐξελθεῖν εἵλετο, θάπτειν τ' ἀπεῖπε τὰ σώματα. μετὰ τούτους ἱερεύς τις Ἀνανίας υἱὸς Μασβάλου τῶν ἐπισήμων καὶ ὁ γραμματεὺς τῆς βουλῆς Ἀριστεύς, γένος ἐξ Ἀμμαοῦς, καὶ σὺν τούτοις πεντεκαίδεκα τῶν ἀπὸ τοῦ δήμου λαμπρῶν ἀναιροῦνται. τὸν δὲ τοῦ Ἰωσήπου πατέρα συγκλείσαντες ἐφύλαττον, κηρύττουσι δὲ μηδένα τῶν κατὰ τὴν πόλιν μήτε συνομιλεῖν μήτ' ἐπὶ ταὐτὸ συναθροίζεσθαι δέει προδοσίας, καὶ τοὺς συνολοφυρομένους πρὸ ἐξετάσεως ἀνῄρουν.

13, 2. ταῦτα ὁρῶν Ἰούδης τις υἱὸς Ἰούδου, τῶν ὑπάρχων τοῦ Σίμωνος εἷς ὢν καὶ πεπιστευμένος ὑπ' αὐτοῦ πύργον φυλάττειν, τάχα μέν τι καὶ οἴκτῳ τῶν ὠμῶς ἀπολλυμένων, τὸ δὲ πλέον αὐτοῦ προνοίᾳ, συγκαλέσας τοὺς πιστοτάτους τῶν ὑπ' αὐτὸν δέκα, «μέχρι τίνος ἀνθέξομεν,» ἔφη, «τοῖς κακοῖς; ἢ τίνα σωτηρίας ἔχομεν ἐλπίδα πιστοὶ πονηρῷ μένοντες; οὐχ ὁ μὲν λιμὸς ἤδη καθ' ἡμῶν, Ῥωμαῖοι δὲ παρὰ μικρὸν ἔνδον, Σίμων δὲ καὶ πρὸς εὐεργέτας ἄπιστος, καὶ δέος μὲν ἤδη παρ' αὐτοῦ κολάσεως, ἡ δὲ παρὰ Ῥωμαίοις δεξιὰ βέβαιος; φέρε, παραδόντες τὸ τεῖχος σώσωμεν ἑαυτοὺς καὶ τὴν πόλιν. πείσεται δ' οὐδὲν δεινὸν Σίμων, ἐὰν ἀπεγνωκὼς ἑαυτὸν τάχιον δῷ δίκην». τούτοις τῶν δέκα πεισθέντων ὑπὸ τὴν ἕω τοὺς λοιποὺς τῶν ὑποτεταγμένων ἄλλον ἀλλαχόσε διέπεμπεν, ὡς μὴ φωραθείη τι

15. ἀνελεῖν: ἀνελεῖν αὐτὸν C 15-6. φονευθεῖσιν Hudson φονευθεὶς codd. 16. ἐπεσφάγη: ἀπεσφάγη M ἐναπεσφάγη VRC 17. Βαγαδάτου: γαμαδάτου L βαμάδα VR βαμάδου C 21. Μασβάλου: μασαμβάλου L 26. ταὐτὸ: τούτω P τὸ αὐτὸ MLVRC 30. μέν τι: μέντοι PA[1] 31. αὐτοῦ: αὑτοῦ PAVR 36. αὐτοῦ: αὐτὸν PA αὐτῷ LVRC ἑαυτοῦ LC 37. τὸ: τότε PA 39. τάχιον δῷ: δῷ PAM δῷ ταχὶ R[1] δῷ ταχὺ R[2]

lo fece uccidere per ultimo. Cosí egli fu ammazzato sopra ai suoi figli, che già erano stati trucidati sotto i suoi occhi, e dopo essere stato condotto in un luogo dove i romani potevano vederlo; tale fu infatti l'ordine che Simone diede ad Anano figlio di Bagadate, il piú spietato dei suoi scherani, aggiungendo ironicamente che cosí si sarebbe visto se gli avrebbero dato qualche aiuto coloro dalla cui parte voleva passare; e alla fine vietò di dar sepoltura ai cadaveri. Dopo di essi furono passati per le armi un sacerdote di nome Ananias, figlio di Masbalo, che era uno dei personaggi di rilievo, e il segretario del sinedrio Aristeo, nativo di Emmaus, e assieme a loro quindici degli uomini piú eminenti del popolo. Misero in prigione il padre di Giuseppe[3] e, per paura di tradimento, ordinarono che nella città nessuno si fermasse a parlare con altri né che si tenessero adunanze; quelli che si riunivano per dar sfogo alle loro pene venivano mandati a morte senza processo.

13, 2. Al veder ciò un certo Giude, figlio di Giude, che era uno dei subalterni di Simone e ne aveva avuto l'incarico di far la guardia a una torre, un po' forse per compassione verso le vittime uccise con tanta ferocia, ma specialmente preoccupato di quella che sarebbe stata la sua sorte, chiamò a sé dieci fra gli uomini piú fidati che aveva e disse loro: « Fino a quando sopporteremo queste malefatte? Che speranza di salvarci abbiamo se restiamo fedeli a un farabutto? Non abbiamo già la fame addosso, i romani sul punto di entrare in città, mentre Simone non rispetta nemmeno chi gli ha fatto del bene[4], sí che c'è da temere che da un momento all'altro egli ci metta a morte quando invece ci si può fidare della parola dei romani? Orsú, consegnamo le mura e salviamo noi stessi e la città! Non sarà un gran male per Simone pagare piú presto il fio dal momento che non ha speranza di salvarsi ». Persuasi i dieci, allo spuntar del giorno Giude inviò gli altri suoi uomini chi da una parte, chi dall'altra, per evitare che si

τῶν βεβουλευμένων, αὐτὸς δὲ περὶ τρίτην ὥραν ἀπὸ τοῦ
πύργου τοὺς Ῥωμαίους ἐκάλει. τῶν δ' οἱ μὲν ὑπερηφάνουν, 539
οἱ δὲ ἠπίστουν, οἱ πολλοὶ δ' ὤκνουν ὡς μετὰ μικρὸν ἀκιν-
45 δύνως ληψόμενοι τὴν πόλιν. ἐν ὅσῳ δὲ Τίτος μεθ' ὁπλιτῶν 540
παρῄει πρὸς τὸ τεῖχος, ἔφθη γνοὺς ὁ Σίμων, καὶ μετὰ
τάχους τόν τε πύργον προκαταλαμβάνει καὶ τοὺς ἄνδρας
συλλαβὼν ἐν ὄψει τῶν Ῥωμαίων ἀναιρεῖ καὶ πρὸ τοῦ τεί-
χους λωβησάμενος ἔρριψε τὰ σώματα.

50 **13,** 3. κἀν τούτῳ περιιὼν Ἰώσηπος, οὐ γὰρ ἀνίει παρα- 541
καλῶν, βάλλεται τὴν κεφαλὴν λίθῳ καὶ παραχρῆμα πίπτει
καρωθείς. ἐκδρομὴ δὲ ἐπὶ τὸ πτῶμα τῶν Ἰουδαίων γίνεται,
κἂν ἔφθη συρεὶς εἰς τὴν πόλιν, εἰ μὴ ταχέως Καῖσαρ ἔπεμψε
τοὺς ὑπερασπίζοντας. μαχομένων δὲ τούτων ὁ Ἰώσηπος 542
55 μὲν αἴρεται βραχύ τι τῶν πραττομένων ἐπαΐων, οἱ στα-
σιασταὶ δ' ὡς ἀνελόντες ὃν ἐπεθύμουν μάλιστα μετὰ χαρᾶς
ἀνεβόων. διαγγέλλεταί τε εἰς τὴν πόλιν, καὶ τὸ καταλει- 543
πόμενον πλῆθος ἐπέσχεν ἀθυμία, πεπεισμένους οἴχεσθαι τῷ
ὄντι δι' ὃν αὐτομολεῖν ἐθάρρουν. ἀκούσασα δ' ἡ τοῦ Ἰωσή- 544
60 που μήτηρ ἐν τῷ δεσμωτηρίῳ τεθνάναι τὸν υἱόν, πρὸς
μὲν τοὺς φύλακας ἀπὸ Ἰωταπάτων τοῦτ' ἔφη πεπεῖσθαι·
καὶ γὰρ οὐδὲ ζῶντος ἀπολαύειν· ἰδίᾳ δ' ὀλοφυρομένη πρὸς 545
τὰς θεραπαινίδας τοῦτον εἰληφέναι τῆς εὐτεκνίας ἔλεγε καρ-
πὸν τὸ μηδὲ θάψαι τὸν υἱόν, ὑφ' οὗ ταφήσεσθαι προσε-
65 δόκησεν. ἀλλὰ γὰρ οὔτε ταύτην ἐπὶ πλέον ὠδύνα τὸ ψεῦδος 546
οὔτε τοὺς λῃστὰς ἔθαλπε· ταχέως γὰρ ἐκ τῆς πληγῆς ἀνή-
νεγκεν ὁ Ἰώσηπος, καὶ προελθὼν τοὺς μὲν οὐκ εἰς μακρὰν
ἐβόα δίκας αὐτῷ δώσειν τοῦ τραύματος, τὸν δὲ δῆμον
ἐπὶ πίστιν πάλιν προυκαλεῖτο. θάρσος δὲ τῷ λαῷ καὶ τοῖς 547
70 στασιασταῖς ἔκπληξις ἐμπίπτει πρὸς τὴν ὄψιν αὐτοῦ.

48. συλλαβὼν: συλλαμβάνων PA 50. ἀνίει: ἀνείη PR ἀνίη A ἀνήει LV 52. τὸ πτῶμα: τῷ πτώματι MVRC 55. τι: om. MLVRC 56. ἀνελόντες: ἀνελόντα VR 57-8. καταλειπόμενον: καταλιπόμενον PA καταλειπόμενον δὲ L 65. οὔτε: οὐδὲ PA Lat 67. προελθὼν: προσελθὼν ML

scoprisse il complotto, e verso l'ora terza si mise a chiamare dall'alto della torre i romani. Ma di questi alcuni non gli ba- 539 darono, altri non se ne fidarono mentre i piú non si mossero pensando che tra breve avrebbero avuto in mano la città senza correre pericolo. E quando alla fine Tito si apprestava 540 ad avvicinarsi al muro alla testa di un reparto, Simone raggiunto dalla notizia accorse a prendere sotto controllo la torre; catturati i traditori, li uccise sotto gli occhi dei romani e, mutilati i cadaveri, li scaraventò davanti alle mura.

13, 3. Intanto Giuseppe, mentre girava attorno alle mura 541 esortando senza posa i giudei ad arrendersi, fu colpito al capo da una pietra e cadde all'istante esanime. I ribelli fecero una sortita per prenderne il corpo, ed egli sarebbe stato trascinato nella città se Cesare non si fosse affrettato a mandare degli uomini in suo soccorso. Grazie all'energico intervento di 542 costoro, Giuseppe fu portato via senza comprendere quasi nulla di ciò che stava succedendo, mentre i ribelli levavano grida festose, come se avessero spacciato il nemico piú odiato. Tale notizia si diffuse nella città, e la gente ancora superstite 543 fu presa dall'avvilimento, credendo che veramente fosse morto chi li incoraggiava a disertare. La madre di Giuseppe, quando 544 fu informata in prigione della morte del figlio, disse ai carcerieri che se l'aspettava fin dal tempo della difesa di Iotapata, e che da vivo egli non le aveva dato alcuna soddisfazione; invece in privato si sfogò con le ancelle lamentandosi che 545 dalla sua felice maternità aveva ricavato il vantaggio di non poter seppellire il figlio dal quale sperava di essere un giorno sepolta. Ma la falsa notizia non continuò per molto tempo 546 né ad affliggere costei, né a rallegrare i ribelli; infatti Giuseppe si riebbe rapidamente dal colpo e, avvicinatosi alle mura, gridava al loro indirizzo che fra breve gli avrebbero pagato il fio della ferita mentre tornava a incoraggiare il popolo ad aver fiducia. Il suo riapparire rianimò il popolo e diffuse lo 547 sgomento fra i ribelli.

13, 4. τῶν δ' αὐτομόλων οἱ μὲν ὑπ' ἀνάγκης ἀπὸ τοῦ τείχους ἐπήδων ταχέως, οἱ δὲ προϊόντες ὡς ἐπὶ μάχῃ μετὰ χερμάδων ἔπειτα πρὸς τοὺς Ῥωμαίους ἔφευγον. συνείπετο δὲ τούτοις τύχη τῶν εἴσω χαλεπωτέρα, καὶ τοῦ παρὰ σφίσι λιμοῦ συντομώτερον εὕρισκον πρὸς ὄλεθρον τὸν παρὰ Ῥωμαίοις κόρον. παρεγίνοντο μὲν γὰρ ἀπὸ τῆς ἐνδείας πεφυσημένοι καὶ ὥσπερ ὑδρωπιῶντες, ἔπειτα ἀθρόως κενοῖς ὑπερεμπιπλάμενοι τοῖς σώμασιν ἐρρήγνυντο, πλὴν τῶν δι' ἐμπειρίαν ταμιευσαμένων τὰς ὀρέξεις καὶ κατ' ὀλίγον προσθέντων τροφὴν ἀπειθισμένῳ τῷ σώματι φέρειν. καὶ τοὺς οὕτω δὲ σωζομένους ἑτέρα πληγὴ μετελάμβανε· τῶν γὰρ παρὰ τοῖς Σύροις τις αὐτομόλων φωρᾶται τῶν τῆς γαστρὸς λυμάτων χρυσοῦς ἐκλέγων· καταπιόντες δ', ὡς ἔφαμεν, αὐτοὺς προῄεσαν, ἐπειδὴ διηρεύνων πάντας οἱ στασιασταί, καὶ πολὺ πλῆθος ἦν ἐν τῇ πόλει χρυσοῦ· δώδεκα γοῦν Ἀττικῶν ὠνοῦντο πρότερον ἰσχύοντας πέντε καὶ εἴκοσιν. ἀλλά τοι τῆς ἐπινοίας ἐλεγχθείσης δι' ἑνός, ἀναπίμπλαται μὲν φήμης τὰ στρατόπεδα, ὡς μεστοὶ χρυσίου παρεῖεν οἱ αὐτόμολοι, τὸ δὲ τῶν Ἀράβων πλῆθος καὶ οἱ Σύροι τοὺς ἱκέτας ἀνατέμνοντες ἠρεύνων τὰς γαστέρας. καὶ τούτου τοῦ πάθους οὐδὲν ἔμοιγε δοκεῖ συμβῆναι Ἰουδαίοις χαλεπώτερον· μιᾷ γοῦν ἀνεσχίσθησαν νυκτὶ πρὸς δισχιλίους.

13, 5. καὶ γνοὺς τὴν παρανομίαν Τίτος ὀλίγου μὲν ἐδέησε τὸ ἱππικὸν περιστήσας κατακοντίσαι τοὺς αἰτίους, εἰ μὴ πολὺ πλῆθος ἐνείχετο καὶ τῶν ἀνῃρημένων πολλαπλασίους ἦσαν οἱ κολασθησόμενοι. συγκαλέσας δὲ τούς τε τῶν συμμάχων ἡγεμόνας καὶ τοὺς τῶν ταγμάτων, συνδιεβάλλοντο γὰρ καὶ τῶν στρατιωτῶν τινες, πρὸς ἑκατέρους ἀγανακτεῖν ἔλεγεν, εἰ τῶν μὲν σὺν αὐτῷ στρατευομένων

75. συντομώτερον: *velociorem* Lat συντονώτερον PAMVRC 80. ἀπειθισμένῳ: ἀπειθισμένων PA[1] ἀπηθισμένῳ LR 83. καταπιόντες Herwerden καταπίνοντες codd. 84. ἐπειδὴ διηρεύνων Destinon et Niese ἐπειδὴ ἀνηρεύνων PAMC ἐπεὶ δ' ἀνηρεύνων LVR 88. φήμης Holwerda φήμη εἰς codd. 89. οἱ: om. PAMVRC 96. τε: om. PAMVRC 99. ἀγανακτεῖν Bekker ἀγανακτῶν codd. | σὺν: om. LVRC

13, 4. Alcuni dei disertori, non sapendo piú che fare, si buttavano all'improvviso giú dalle mura, altri facendo finta di andare all'assalto con pietre in mano, cercavano poi scampo presso i romani. Ma li attendeva una sorte ancora piú dolorosa di quella riservata a chi restava in città, e trovavano che la sazietà nel campo romano li faceva morire ancor prima della fame di casa loro. Essi infatti arrivavano tutti gonfi per il digiuno come se fossero malati d'idropisia, e rimpinzavano il loro stomaco vuoto sovraccaricandolo al punto da scoppiare[5], salvo quei pochi che s'accorsero che bisognava frenare l'appetito e seppero dosare il nutrimento per il corpo non piú avvezzo al cibo. Ma anche quelli che in tal modo s'erano salvati caddero poi vittime di un'altra sciagura. Un disertore che era stato alloggiato fra i Siri[6] fu scoperto nell'atto di raccogliere monete d'oro fra i suoi escrementi: abbiamo già detto che essi le inghiottivano prima di tentare la fuga[7], perché i ribelli rovistavano dappertutto e d'altra parte in città v'era tanta abbondanza d'oro, che per dodici dramme attiche si potevano avere monete che prima ne valevano venticinque[8]. Scoperto l'espediente da quel caso isolato, si diffuse negli accampamenti la voce che i disertori erano arrivati pieni d'oro, e allora gli arabi e i siri[9] si diedero a sventrarli per vedere cosa avevano negli intestini. Non credo che sui giudei si abbatté un flagello peggiore di questo; in una sola notte ne furono sventrati circa duemila.

13, 5. Quando fu informato di tale bestiale ferocia, Tito per poco non diede ordine alla cavalleria di circondare i colpevoli e di massacrarli; lo trattenne il gran numero di costoro, visto che la massa dei colpevoli da punire superava piú volte quella delle vittime. Ad ogni modo convocò i comandanti dei corpi ausiliari e quelli delle legioni – giacché venivano coinvolti nell'accusa anche alcuni legionari – e rivolgendosi agli uni e agli altri manifestò il suo sdegno per il fatto che soldati

100 τινὲς τοιαῦτα δρῶσιν κέρδους ἕνεκεν ἀδήλου, μηδὲ τὰ ὅπλα σφῶν αὐτῶν αἰδούμενοι πεποιημένα ἀργύρου τε καὶ χρυσοῦ, τοῖς δ' Ἄραψι καὶ τοῖς Σύροις, εἰ πρῶτον μὲν 556 ἐν ἀλλοτρίῳ πολέμῳ τοῖς πάθεσιν αὐτεξουσίως χρῶνται, ἔπειτα τῇ περὶ φόνους ὠμότητι καὶ τῷ πρὸς Ἰουδαίους
105 μίσει Ῥωμαίους ἐπιγράφουσι· καὶ γὰρ νῦν ἐνίους αὐτῶν τῶν στρατιωτῶν συναπολαύειν τῆς κακοδοξίας. τούτοις μὲν 557 οὖν διηπείλησε θάνατον, εἴ τις εὑρεθείη πάλιν τὸ αὐτὸ τολμῶν, τοῖς δ' ἀπὸ τῶν ταγμάτων ἐπέστελλεν ἐρευνήσαντας τοὺς ὑπόπτους ἀνάγειν ἐπ' αὐτόν. καταφρονεῖ δ', 558
110 ὡς ἔοικε, φιλοχρηματία πάσης κολάσεως, καὶ δεινὸς ἐμπέφυκεν ἀνθρώποις τοῦ κερδαίνειν ἔρως, οὐδέν τε οὕτως πάθος ὡς πλεονεξία παραβάλλεται. ἢ ταῦτα μὲν ἄλλως 559 καὶ μέτρον ἔχει καὶ φόβοις ὑποτάσσεται, θεὸς δ' ἦν ὁ τοῦ λαοῦ παντὸς κατακρίνας καὶ πᾶσαν αὐτοῖς σωτηρίας ὁδὸν
115 εἰς ἀπώλειαν ἀποστρέφων. ὃ γοῦν μετ' ἀπειλῆς ἀπεῖπεν 560 ὁ Καῖσαρ λάθρα κατὰ τῶν αὐτομόλων ἐτολμᾶτο, καὶ τοὺς διαδιδράσκοντας πρὶν πᾶσιν ὀφθῆναι προαπαντῶντες ἀπέσφαττον οἱ βάρβαροι, περισκοπούμενοι δέ, μή τις ἐπίδοι Ῥωμαίων, ἀνέσχιζον κἀκ τῶν σπλάγχνων τὸ μιαρὸν κέρδος
120 εἷλκον. ὀλίγοις δ' ἐνευρίσκετο, καὶ τοὺς πολλοὺς παρα- 561 νήλισκεν ἐλπὶς μόνη. τοῦτο μὲν δὴ τὸ πάθος πολλοὺς τῶν αὐτομόλων ἐπανήγαγεν.

13, 6. Ἰωάννης δ' ὡς ἐπέλειπον αἱ ἁρπαγαὶ παρὰ τοῦ 562 δήμου, πρὸς ἱεροσυλίαν ἐτρέπετο, καὶ πολλὰ μὲν τῶν ἀνα-
125 θημάτων κατεχώνευεν ἐκ τοῦ ναοῦ, πολλὰ δὲ τῶν πρὸς τὰς λειτουργίας ἀναγκαίων σκεύη, κρατῆρας τε καὶ πίνακας καὶ τραπέζας· ἀπέσχετο δ' οὐδὲ τῶν ὑπὸ τοῦ Σεβαστοῦ καὶ τῆς γυναικὸς αὐτοῦ πεμφθέντων ἀκρατοφόρων.

101. πεποιημένα: πεποιημένα ἐξ MVRC 105. αὐτῶν: αὐτῷ VRC 108-9. ἐρευνήσαντας: ἐρευνήσοντας PAMVRC 109. καταφρονεῖ Destinon κατεφρόνει codd. 112. ὡς ins. Hudson 123. ἐπέλειπον: ἐπέλιπον LC 125. κατεχώνευεν ἐκ: κατέχων ἐκ PAR κατεχώννυεν ἐκ LV 126. τε: om. PAM

del suo esercito compissero simili azioni spinti da un'incerta speranza di lucro e senza provare il dovuto rispetto per le loro armi che erano fatte di argento e d'oro. Agli arabi e ai 556 siri, poi, espresse la sua collera anzitutto perché in una guerra che non li interessava direttamente avevano dato libero sfogo ai loro sentimenti, e poi perché avevano coinvolto il nome dei romani nella loro ferocia sanguinaria e nell'odio contro i giudei; infatti alcuni dei suoi legionari condividevano ora la loro ignobile reputazione. In conclusione, a costoro minacciò 557 la pena di morte per chiunque fosse stato scoperto a commettere ancora una volta la stessa infamia, mentre ai legionari ingiunse di ricercare i sospetti e di portarli al suo cospetto. Ma la cupidigia, a quel che sembra, non teme alcun castigo; 558 nell'uomo è insito un naturale desiderio di guadagno, e nessuna passione è cosí pronta ad affrontare qualsiasi rischio come l'avidità. In altre circostanze, certamente, queste brame 559 hanno un limite e sono tenute a freno dalla paura, ma questa volta era il dio che aveva condannato tutto il popolo e indirizzava alla rovina ogni loro via di scampo. Cosí ciò che Ce- 560 sare aveva vietato sotto pena di morte si continuò nascostamente a perpetrare a danno dei disertori, e quei barbari, andando incontro ai fuggiaschi prima di tutti gli altri, li trucidavano e, dopo essersi assicurati che nessun romano li vedesse, li sventravano e traevano dalle budella la turpe mercede. Pochi furono quelli in cui si trovò l'oro; i piú caddero vittime 561 di una vana speranza. Tale eccidio fece sí che molti disertori cambiassero idea.

13, 6. Giovanni, quando non ci fu piú nulla da strappare 562 al popolo, si diede a spogliare il tempio, e fece fondere molti doni votivi e molti oggetti necessari alle cerimonie sacre, coppe, vassoi e tavole, e non rispettò nemmeno i vasi per contenere il vino puro offerti a suo tempo da Augusto e da

οἱ μέν' γε Ῥωμαίων βασιλεῖς ἐτίμησάν τε καὶ προσεκό- 563
130 σμησαν τὸ ἱερὸν ἀεί, τότε δ' ὁ Ἰουδαῖος καὶ τὰ τῶν ἀλ-
λοφύλων κατέσπα. πρὸς δὲ τοὺς συνόντας ἔλεγεν, ὡς δεῖ 564
μετ' ἀδείας καταχρήσασθαι τοῖς θείοις ὑπὲρ τοῦ θείου
καὶ τοὺς τῷ ναῷ στρατευομένους ἐξ αὐτοῦ τρέφεσθαι. διὰ 565
τοῦτο καὶ τὸν ἱερὸν οἶνον καὶ τὸ ἔλαιον, ὃ τοῖς ὁλοκαυ-
135 τώμασιν οἱ ἱερεῖς ἐφύλαττον ἐπιχεῖν, ἐκκενώσας, ἦν δ'
ἐν τῷ ἔνδον ἱερῷ, διένεμε τῷ πλήθει, κἀκεῖνοι δίχα φρίκης
ἠλείφοντο καὶ ἔπινον ἐξ αὐτῶν. οὐκ ἂν ὑποστειλαίμην 566
εἰπεῖν ἅ μοι κελεύει τὸ πάθος· οἶμαι Ῥωμαίων βραδυ-
νόντων ἐπὶ τοὺς ἀλιτηρίους ἢ καταποθῆναι ἂν ὑπὸ χά-
140 σματος ἢ κατακλυσθῆναι τὴν πόλιν ἢ τοὺς τῆς Σοδομηνῆς
μεταλαβεῖν κεραυνούς· πολὺ γὰρ τῶν ταῦτα παθόντων ἤνεγ-
κε γενεὰν ἀθεωτέραν· τῇ γοῦν τούτων ἀπονοίᾳ πᾶς ὁ
λαὸς συναπώλετο.

13, 7. καὶ τί δεῖ κατὰ μέρος ἐκδιηγεῖσθαι τὰς συμ- 567
145 φοράς; ἀλλὰ πρὸς Τίτον ἐν ταύταις ταῖς ἡμέραις Μανναῖος
ὁ Λαζάρου φυγὼν διὰ μιᾶς ἔλεγεν ἐκκεκομίσθαι πύλης,
ἣν αὐτὸς ἐπεπίστευτο, μυριάδας ἕνδεκα νεκρῶν ἐπὶ πεντα-
κισχιλίοις ὀκτακοσίοις ὀγδοήκοντα, ἀφ' ἧς αὐτοῖς ἡμέρας
παρεστρατοπεδεύσατο τεσσαρεσκαιδεκάτῃ Ξανθικοῦ μηνὸς
150 ἄχρι Πανέμου νουμηνίας. τοῦτο δ' ἦν πλῆθος ἀπόρων· 568
καὶ οὐδὲ αὐτὸς ἐφεστώς, ἀλλὰ δημοσίᾳ μισθὸν διδοὺς ἐξ
ἀνάγκης ἠρίθμει. τοὺς δὲ λοιποὺς οἱ προσήκοντες ἔθαπτον·
ταφὴ δ' ἦν τὸ προκομίσαντας ἐκ τοῦ ἄστεος ῥῖψαι. μετὰ 569
δὲ τοῦτον διαδράντες πολλοὶ τῶν ἐπισήμων τὰς πάσας
155 τῶν ἀπόρων νεκρῶν ἀπήγγελλον μυριάδας ἑξήκοντα διὰ
τῶν πυλῶν ἐκριφῆναι, τῶν δ' ἄλλων ἀνεξερεύνητον εἶναι

129-30. προσεκόσμησαν: προσεκόμισαν PMC προσεκόμησαν A 135. ἐπιχεῖν: ἐπεῖχεν PA ἐπεισχεῖν M om. Lat 136. ἔνδον: ἐνδοτέρω LVR ἐνδωτέρω C | διένεμε: διένεμεν οὖν PA διένειμεν οὖν LVR διένειμε C | φρίκης: φρίκης πλέον τοῦ ἴν (ἶν ML) MLVRC 137. ἐξ αὐτῶν: om. Lat 139. ἂν: om. PM 145. ταύταις: αὐταῖς PAM 150. νουμηνίας: νεομηνίας PAMLVR 153. προκομίσαντας: προσκομίσαντας C 154. τάς: om. PA 156. ἀνεξερεύνητον: ἀνεξεύρετον LVRC

sua moglie. Gli imperatori romani avevano sempre onorato 563
e adornato il tempio, mentre allora questo giudeo lo spogliava
anche dei doni offerti dagli stranieri. Ai suoi uomini diceva 564
che non dovevano farsi scrupolo di usare le cose sacre a sostegno della santa causa, e che chi combatteva per il tempio
doveva essere mantenuto dal tempio stesso. Pertanto egli 565
attinse il vino e l'olio santo, che i sacerdoti conservavano
nel tempio interno per versarlo sugli olocausti, e lo distribuí
alla sua banda, e quelli senza inorridire se ne unsero e ne bevvero. Non posso trattenermi dal dire ciò che l'animo sconvolto 566
mi detta: se i romani avessero tardato a punire i colpevoli,
la terra si sarebbe spalancata per inghiottire la città, o questa
sarebbe stata spazzata via dal diluvio o sarebbe stata incenerita dai fulmini come la terra di Sodoma; essa infatti aveva
allevato una stirpe assai piú empia di quelle che subirono tali
flagelli, e per la sua follia il popolo intero fu votato allo sterminio.

13, 7. Perché raccontare i particolari di quell'immane tragedia? In quei giorni presso Tito si rifugiò Manneo figlio di 567
Lazzaro, il quale riferí che attraverso una sola porta, affidata
alla sua sorveglianza, nel periodo fra il quattordici del mese di
Xanthico[10], quando i romani si erano accampati presso la città[11],
e il primo del mese di Panemo[12] erano stati trasportati fuori
centoquindicimila ottocentottanta cadaveri[13]. Tutti questi appartenevano ai ceti piú bassi del popolo, ed egli, pur non es- 568
sendo preposto a quest'ufficio, li aveva dovuti contare perché
aveva l'incarico di pagare col pubblico denaro le spese del
trasporto. Tutti gli altri erano stati sepolti a cura dei parenti,
e la sepoltura consisteva nel tirarli fuori e buttarli via dalla
città. Dopo di lui molti altri notabili che riuscirono a scam- 569
pare presso Tito riferirono che i cadaveri dei poveri gettati
fuori dalle porte erano stati complessivamente seicentomila,
mentre degli altri non era possibile calcolare il numero pre-

τὸν ἀριθμόν. μηκέτι δ' εὐτονούντων τοὺς πτωχοὺς ἐκφέ- 570
ρειν, ἔλεγον συσσωρεύοντας εἰς τοὺς μεγίστους οἴκους τὰ
πτώματα ἀποκλείειν. καὶ τοῦ μὲν σίτου τὸ μέτρον πρα- 571
160 θῆναι ταλάντου, μετὰ ταῦτα δ' ὡς οὐδὲ ποηλογεῖν ἔθ'
οἷόν τ' ἦν περιτειχισθείσης τῆς πόλεως, προελθεῖν τινας
εἰς τοσοῦτον ἀνάγκης, ὥστε τὰς ἀμάρας ἐρευνῶντας καὶ
παλαιὸν ὄνθον βοῶν προσφέρεσθαι τὰ ἐκ τούτων σκύβαλα,
καὶ τὸ μηδ' ὄψει φορητὸν πάλαι τότε γενέσθαι τροφήν.
165 ταῦτα Ῥωμαῖοι μὲν ἀκούοντες ἠλέησαν, οἱ στασιασταὶ δὲ 572
καὶ βλέποντες οὐ μετενόουν, ἀλλ' ἠνείχοντο μέχρις αὐτῶν
προελθεῖν· πεπήρωντο γὰρ ὑπὸ τοῦ χρεών, ὃ τῇ τε πόλει
καὶ αὐτοῖς ἤδη παρῆν.

167. προελθεῖν: προσελθεῖν VR

ciso. Dissero anche che, poiché non avevano piú la forza di 570
trasportare fuori le salme della povera gente, le ammontic-
chiavano entro le case piú grandi e ve le rinchiudevano. Una 571
misura di grano era arrivata a esser pagata un talento[14]; poi,
quando dopo il blocco della città non si poté piú uscire a
prendere un po' d'erba, alcuni erano arrivati al punto da rac-
cogliere lo sterco cercando nelle fogne e tra il vecchio letame
bovino, e si erano cibati di ciò di cui prima non avrebbero
nemmeno sopportato la vista. Soltanto al sentir tali cose i 572
romani provavano pietà, mentre i ribelli, che anche le vede-
vano, non si decisero ad arrendersi, ma continuarono la resi-
stenza fino a tali estremi: erano infatti accecati dal destino,
che come sulla città ormai incombeva anche su di loro.

1, 1. Τὰ μὲν οὖν τῶν Ἱεροσολύμων πάθη προύκοπτεν καθ' ἡμέραν ἐπὶ τὸ χεῖρον, τῶν τε στασιαστῶν μᾶλλον παροξυνομένων ἐν ταῖς συμφοραῖς καὶ τοῦ λιμοῦ μετὰ τὸν δῆμον ἤδη κἀκείνους νεμομένου. τό γε μὴν πλῆθος τῶν σεσωρευμένων ἀνὰ τὴν πόλιν πτωμάτων ὄψει τε φρικῶδες ἦν καὶ λοιμῶδη προσέβαλλεν ὀσμήν, πρός τε τὰς ἐκδρομὰς ἐμπόδιον τοῖς μαχομένοις· ὥσπερ γὰρ διὰ παρατάξεως φόνῳ μυρίῳ γεγυμνασμένους χωροῦντας ἔδει τὰ σώματα πατεῖν. οἱ δ' ἐπιβαίνοντες οὔτ' ἔφριττον οὔτ' ἠλέουν οὔτε κληδόνα κακὴν σφῶν αὐτῶν ὑπελάμβανον τὴν εἰς τοὺς κατοιχομένους ὕβριν, πεφυρμένοι δ' ὁμοφύλῳ φόνῳ τὰς δεξιὰς ἐπὶ τὸν πρὸς τοὺς ἀλλοφύλους πόλεμον ἐξέθεον, ὀνειδίζοντες ἔμοιγε δοκεῖν τὸ θεῖον εἰς βραδυτῆτα τῆς ἐπ' αὐτῶν κολάσεως· οὐ γὰρ ἐλπίδι νίκης ὁ πόλεμος, ἤδη δὲ ἀπογνώσει σωτηρίας ἐθρασύνετο. Ῥωμαῖοι δὲ καίτοι πολλὰ περὶ τὴν τῆς ὕλης συγκομιδὴν ταλαιπωρούμενοι τὰ χώματα διήγειραν μιᾷ καὶ εἴκοσιν ἡμέραις, κείραντες, ὡς προείρηται, τὴν περὶ τὸ ἄστυ χώραν ἐπ' ἐνενήκοντα στα-

Titulus: φλαυΐου ἰωσήπου περὶ ἁλώσεως ἰουδαϊκης ἱστορίας λόγος ϛ̄ P φλαυΐου ἰωσήπου ἰουδαϊκῆς ἱστορίας περὶ ἁλώσεως βιβλίον ϛ̄ A φλαυΐου ἰωσήπου ἑβραίου ἰουδαϊκῆς ἱστορίας περὶ ἁλώσεως λόγος ἕκτος M τοῦ αὐτοῦ βιβλίον ϛ̄ L ἰωσήπου περὶ ἁλωσωες λόγος ϛ̄ (ἕκτος R) VR φλαουΐου ἰωσήπου περὶ ἁλώσεως λόγος ϛ̄ C
1, 2. τε: om. PAMVRC 3. ἐν: om. L Lat 8. γεγυμνασμένους: γεγυμνασμένης MVR 9. ἐπιβαίνοντες: ἐπιβάντες L 12. τοὺς: om. P 13. δοκεῖν: δοκεῖ MVRC 14. αὐτῶν: αὐτοῖς MVRC αὐτοὺς L

1, 1. La drammatica situazione di Gerusalemme peggiorava ogni giorno di piú, perché la ferocia dei ribelli s'acuiva fra tanti disastri mentre la fame, dopo aver sterminato il popolo, mieteva le sue vittime anche fra loro. La moltitudine dei cadaveri ammonticchiati per la città non solo offriva uno spettacolo raccapricciante ed emanava un tanfo pestifero, ma ostacolava le sortite dei combattenti, costretti ad avanzare calpestando i caduti come soldati adusi alle grandi stragi dei campi di battaglia. Ed essi li calpestavano senza provarne orrore o pietà, e senza un presentimento di malaugurio per l'offesa arrecata ai morti, ma con le destre imbrattate del sangue dei concittadini uscivano ad affrontare gli stranieri rimproverando al dio – io credo – la lentezza nel punirli: infatti ciò che li spronava a combattere non era piú ormai la speranza di vittoria, ma il non aver speranza di salvezza. Frattanto i romani, pur avendo molto penato nel procurarsi il legname necessario, in ventun giorni avevano costruito i terrapieni dopo aver tagliato tutti gli alberi intorno alla città, come ho detto, entro un raggio di novanta stadi[1]. Cosí era diventato

δίους ἐν κύκλῳ πᾶσαν. ἦν δ' ἐλεεινὴ καὶ τῆς γῆς ἡ θέα· τὰ γὰρ πάλαι δένδρεσι καὶ παραδείσοις κεκοσμημένα τότε πανταχόθεν ἠρήμωτο καὶ περικέκοπτο τὴν ὕλην, οὐδείς τε τὴν πάλαι Ἰουδαίαν καὶ τὰ περικαλλῆ προάστεια τῆς πόλεως ἑωρακὼς ἀλλόφυλος, ἔπειτα τὴν τότε βλέπων ἐρημίαν οὐκ ὠλοφύρατο καὶ κατεστέναξεν τὴν μεταβολὴν παρ' ὅσον γένοιτο· πάντα γὰρ ἐλυμήνατο τὰ σημεῖα τοῦ κάλλους ὁ πόλεμος, καὶ οὐκ ἄν τις ἐξαπίνης ἐπιστὰς τῶν προεγνωκότων ἐγνώρισε τὸν τόπον, ἀλλὰ παρὼν ἐζήτει τὴν πόλιν.

1, 2. Ῥωμαίοις δὲ καὶ Ἰουδαίοις τὸ τέλος τῶν χωμάτων ἴσην ἐνεποίει δέους ἀρχήν· οἱ μὲν γάρ, εἰ μὴ καὶ ταῦτα καύσειαν, ἁλώσεσθαι τὴν πόλιν προσεδόκων, Ῥωμαῖοι δ' οὐκέθ' αἱρήσειν κἀκείνων διαφθαρέντων. ὕλης τε γὰρ ἦν ἀπορία, καὶ τῶν μὲν πόνων ἤδη τὸ σῶμα, τῶν δ' ἐπαλλήλων πταισμάτων αἱ ψυχαὶ τοῖς στρατιώταις ἐλείποντο. τάς γε μὴν κατὰ τὴν πόλιν συμφορὰς Ῥωμαίοις πλέον εἶναι συνέβαινε πρὸς ἀθυμίας ἢ τοῖς ἐν αὐτῇ· παρὰ γὰρ τὰ τηλικαῦτα πάθη τοῖς μαχομένοις οὐδὲν ἐχρῶντο μαλακωτέροις, ἀλλ' ἐθραύοντο πάντοτε τὰς ἐλπίδας, τῶν μὲν χωμάτων ταῖς ἐπιβουλαῖς, τῶν δ' ὀργάνων στερρότητι τοῦ τείχους, τῆς δὲ κατὰ χεῖρα μάχης ταῖς τῶν συμπλεκομένων τόλμαις πλεονεκτούμενοι, τὸ δὲ μέγιστον, στάσεώς τε καὶ λιμοῦ καὶ πολέμου καὶ τοσούτων κακῶν εὑρίσκοντες ἐπάνω τὸ παράστημα τῆς ψυχῆς Ἰουδαίους ἔχοντας. ὑπελάμβανόν τε τῶν ἀνδρῶν ἀμάχους μὲν τὰς ὁρμάς, ἀνάλωτον δὲ τὴν ἐπὶ συμφοραῖς εὐθυμίαν εἶναι· τί γὰρ ἂν μὴ ὑποστῆναι δεξιᾷ τύχῃ χρωμένους τοὺς ὑπὸ κακῶν πρὸς ἀλκὴν τρεπομένους; οἱ μὲν οὖν ἐρρωμενεστέρας διὰ ταῦτα τῶν χωμάτων ἐποιοῦντο τὰς φυλακάς.

19. ἐν: om. L fortasse recte 21. περικέκοπτο: περικέκοπτω A περιεκέκοπτο LC 24. ὠλοφύρατο: ὠλοφύρετο L 32. οὐκέθ' Herwerden οὐκ ἂν ἔθ' codd. 33. τὸ σῶμα: τὰ σώματα M 40. χεῖρα: χεῖραν P 42. καὶ πολέμου: om. VR

penoso anche lo spettacolo offerto dalla campagna; infatti quelle contrade, un tempo rese amene da alberi e giardini, erano allora ridotte a una landa deserta e senza verde, e nessuno straniero che avesse visto la Giudea di una volta e gli incantevoli dintorni della città allo spettacolo di quella desolazione avrebbe potuto fare a meno di rattristarsi e di gemere di fronte a un tale cambiamento. La guerra aveva infatti cancellato ogni traccia dell'antico splendore, e chi per caso fosse all'improvviso ritornato in quei luoghi non li avrebbe riconosciuti, ma si sarebbe messo in cerca della città pur trovandosi nei suoi paraggi.

1, 2. Il compimento dei terrapieni fu fonte di timore tanto per i romani quanto per i giudei; costoro infatti sapevano che, se non fossero riusciti a distruggerli ancora una volta col fuoco, la città sarebbe stata espugnata, mentre dal canto loro i romani consideravano vana ogni altra speranza di vittoria se anche questi terrapieni fossero stati abbattuti. Mancava infatti il legname, e ai soldati si affievolivano le forze per le fatiche e, insieme, si abbassava il morale per i continui rovesci. In effetti la tragica situazione della città aveva finito per scoraggiare piú i romani che i suoi abitanti; infatti, pur fra tanti disastri, non si attenuava la resistenza degli avversari, e invece svanivano da ogni parte le loro speranze perché i terrapieni cedevano agli attacchi insidiosi, le macchine alla robustezza delle mura, i combattimenti corpo a corpo alla spericolatezza dei nemici e – ciò che piú contava – essi trovavano i giudei animati da una volontà di resistenza che superava i contrasti, la fame, la guerra e ogni altra avversità. Perciò s'erano messi in mente che non sarebbero riusciti ad aver ragione della loro aggressività e che indomabile era il loro coraggio nella sventura. Quali prove, infatti, non sarebbero stati capaci di affrontare col favore della fortuna degli uomini che attingevano coraggio dai disastri? Per tali ragioni i romani intensificarono la vigilanza sui terrapieni.

1, 3. οἱ δὲ περὶ τὸν Ἰωάννην κατὰ τὴν Ἀντωνίαν ἅμα καὶ πρὸς τὸ μέλλον, εἰ καταρριφθείη τὸ τεῖχος, ἠσφαλίζοντο καὶ πρὶν ἐπιστῆναι τοὺς κριοὺς ἐπέθεντο τοῖς ἔργοις. οὐ μὴν ἐκράτησάν γε τῆς ἐπιχειρήσεως, ἀλλὰ προελθόντες μετὰ λαμπάδων πρὶν ἐγγίσαι τοῖς χώμασι ψυχρότεροι τῆς ἐλπίδος ὑπέστρεψαν. πρῶτον μὲν γὰρ οὐδ' ὁμονοεῖν ἡ σκέψις αὐτῶν ἐῴκει κατὰ μέρος ἐκπηδώντων κἀκ διαλειμμάτων καὶ μεμελλημένως μετὰ δέους καθόλου τ' εἰπεῖν οὐκ Ἰουδαϊκῶς· τὰ γὰρ ἴδια τοῦ ἔθνους ὑστέρητο ἅμα ἡ τόλμα καὶ ὁρμὴ καὶ δρόμος ὁμοῦ πάντων καὶ τὸ μηδὲ πταίοντας ἀναστρέφειν. ἀτονώτεροι δ' ἑαυτῶν προελθόντες καὶ τοὺς Ῥωμαίους εὗρον ἐρρωμενέστερον τοῦ συνήθους παρατεταγμένους· τοῖς μέν γε σώμασι καὶ ταῖς πανοπλίαις οὕτως ἐφράξαντο τὰ χώματα πάντοθεν ὡς τῷ πυρὶ μηδαμόθεν καταλιπεῖν παράδυσιν, τὴν δὲ ψυχὴν ἐτόνωσαν ἕκαστος μὴ μετακινηθῆναι τῆς τάξεως πρὸ θανάτου. πρὸς γὰρ τῷ πάσας αὐτῶν ὑποκόπτεσθαι τὰς ἐλπίδας, εἰ κἀκεῖνα καταφλεγείη τὰ ἔργα, δεινὴ τοὺς στρατιώτας εἶχεν αἰδώς, εἰ πάντα κρατήσειαν πανουργία μὲν ἀρετῆς, ἀπόνοια δ' ὅπλων, πλῆθος δ' ἐμπειρίας, Ἰουδαῖοι δὲ Ῥωμαίων. ἅμα δέ τι καὶ τἀφετήρια συνήργει τῶν προπηδώντων ἐφικνούμενα, καὶ πεσών τις τῷ μεθ' αὑτὸν ἐμπόδιον ἦν, ὅ τε κίνδυνος τοῦ πρόσω χωρεῖν ἐποίει μαλακωτέρους. τῶν δ' ἐνδοτέρω βέλους ὑποδραμόντων οἱ μὲν πρὶν εἰς χεῖρας ἐλθεῖν τὴν εὐταξίαν καὶ τὸ πύκνωμα τῶν πολεμίων καταπλαγέντες, οἱ δὲ νυττόμενοι τοῖς ξυστοῖς ἐπαλινδρόμουν· καὶ τέλος ἀλλήλους κακίζοντες εἰς δειλίαν ἀνεχώρουν ἄπρακτοι. νουμηνίᾳ Πανέμου μηνὸς ἡ ἐπιχείρησις ἦν. ἀναχωρησάντων δὲ τῶν Ἰου-

49. ἅμα: om. P   52. ἀλλά: ἀλλὰ καὶ L | προελθόντες ed. pr. προσελθόντες codd.   56. οὐκ: οὐχ PA οὐχὶ M   57. ὑστέρητο: ὑστέρει τὸ PA ὑστερεῖτο L   63. ἐτόνωσαν: ἐτόνωσεν ML   65. καταφλεγείη: καταφλέγειν L   67. κρατήσειαν: κρατήσειν L   68. ἅμα δέ τι καί: ἅμα δὲ PA ἅμα δὲ καὶ L ἅμα δὲ ἔτι καὶ MVR   75. κακίζοντες: καταικίζοντες L

1, 3. Gli uomini di Giovanni che presidiavano l'Antonia eseguivano intanto opere di fortificazione, in vista dell'eventualità che il muro venisse abbattuto, e insieme portarono un attacco ai terrapieni prima che fossero messi in posizione gli arieti. Ma non riuscirono nell'impresa perché, mentre si facevano avanti con fiaccole incendiarie, prima di avvicinarsi ai terrapieni si disanimarono e tornarono indietro. Dettero soprattutto l'impressione di non essere tutti d'accordo nel piano d'azione perché vennero fuori a piccoli gruppi, a intervalli, mostrando esitazione e paura, sí che insomma non sembravano dei giudei; infatti furono assenti tutte le caratteristiche di quel popolo quali l'audacia, l'aggressività, l'attacco in massa e il non ritirarsi nemmeno se ridotti a mal partito[2]. Inoltre, mentre essi si fecero avanti con minor slancio del solito, d'altro canto trovarono i romani schierati a difesa con una straordinaria volontà di resistenza: riparavano i terrapieni con i loro corpi e le loro armi, sí da non lasciar nemmeno uno spiraglio a chi volesse appiccarvi il fuoco, e ognuno era fermamente deliberato a morire piuttosto che abbandonare il suo posto. In realtà, oltre al fatto che se quei terrapieni fossero andati distrutti ciò avrebbe significato il crollo di tutte le loro speranze, i soldati provavano una gran vergogna che l'astuzia continuasse invariabilmente ad aver la meglio sul valore, la disperazione sulle armi, la massa sulla perizia, i giudei sui romani. Nello stesso tempo fu efficace l'apporto delle artiglierie, il cui tiro bersagliava i giudei che balzavano all'attacco; chi cadeva era d'ostacolo a chi lo seguiva e il pericolo di avanzare smorzava l'ardore degli altri. Di coloro che riuscirono a varcare la zona battuta dai proiettili alcuni indietreggiarono prima dello scontro corpo a corpo sbigottiti dall'impeccabile schieramento a ranghi serrati del nemico, altri sotto i colpi dei giavellotti; alla fine si ritirarono senza aver nulla concluso, accusandosi l'un l'altro di vigliaccheria. Quest'azione essi la tentarono il primo del mese di Panemo[3]. Quando i giudei si

www.scribd.com/Cultura_in_Ita5

δαίων προσῆγον οἱ Ῥωμαῖοι τὰς ἑλεπόλεις, βαλλόμενοι πέτραις τε ἀπὸ τῆς Ἀντωνίας καὶ πυρὶ καὶ σιδήρῳ καὶ παντὶ τῷ χορηγουμένῳ Ἰουδαίοις ὑπὸ τῆς ἀνάγκης βέλει· καίπερ γὰρ πολὺ τῷ τείχει πεποιθότες καὶ τῶν ὀργάνων καταφρονοῦντες ὅμως ἐκώλυον τοὺς Ῥωμαίους προσάγειν. οἱ δὲ τὴν σπουδὴν τῶν Ἰουδαίων τοῦ μὴ πληγῆναι τὴν Ἀντωνίαν ὑπολαμβάνοντες γίνεσθαι δι' ἀσθένειαν τοῦ τείχους καὶ σαθροὺς ἐλπίσαντες εἶναι τοὺς θεμελίους ἀντεφιλονείκουν. οὐ μὴν ὑπήκουε τὸ τυπτόμενον, ἀλλ' οἱ μὲν συνεχῶς βαλλόμενοι καὶ πρὸς μηδένα τῶν καθύπερθεν κινδύνων ἐνδιδόντες ἐνεργοὺς παρεῖχον τὰς ἑλεπόλεις· ὡς δ' ἦσαν ἐλάττους καὶ περιεθραύοντο ταῖς πέτραις, ἕτεροι τοὺς θυρεοὺς ὀροφώσαντες ὑπὲρ τῶν σωμάτων χερσὶ καὶ μοχλοῖς ὑπώρυττον τοὺς θεμελίους, καὶ τέσσαράς γε λίθους προσκαρτερήσαντες ἐξέσεισαν. ἀνέπαυσε δὲ νὺξ ἑκατέρους, κἀν ταύτῃ τὸ τεῖχος ὑπὸ τῶν κριῶν σεσαλευμένον, καὶ καθ' ὃ τοῖς προτέροις ἐπιβουλεύων χώμασιν ὁ Ἰωάννης ὑπώρυξεν ἐνδούσης τῆς διώρυχος, ἐξαπίνης κατερείπεται.

1, 4. τούτου συμβάντος παραδόξως ἑκατέροις διετέθη τὰ φρονήματα· Ἰουδαίους μὲν γάρ, οὓς ἀθυμεῖν εἰκὸς ἦν, τῷ μὴ παρ' ἐλπίδα γενέσθαι τὸ πτῶμα καὶ προησφαλίσθαι πρὸς αὐτὸ θαρρεῖν ὡς μενούσης συνέβαινε τῆς Ἀντωνίας· Ῥωμαίων δέ γε τὴν παρ' ἐλπίδα χαρὰν ἐπὶ τῷ καταρριφθέντι ταχέως ἔσβεσεν ὄψις ἑτέρου τείχους, ὅπερ ἔνδοθεν οἱ περὶ τὸν Ἰωάννην ἀντῳκοδομήκεσαν. εὐμαρεστέρα γε μὴν τῆς πρότερον ἡ προσβολὴ κατεφαίνετο· τό τε γὰρ ἀναβῆναι διὰ τῶν καταρριφθέντων ῥᾷον ἐδόκει, καὶ τὸ τεῖχος ἀσθενέστερόν τε πολλῷ τῆς Ἀντωνίας καὶ ταχέως τῷ πρόσκαιρον εἶναι

78-9. καὶ παντί: καταπαντί L 82. οἱ δέ: οἱ δὲ τῶν ῥωμαίων πρὸς PA 94. τῆς: δὲ τῆς P | κατερείπεται: καταρίπτεται P καταρρίπτεται M κατερίπεται A κατέρριπται VRC 95. διετέθη: διηγέρθη MVRC 95-6. τὰ φρονήματα: τὸ φρόνημα L 96. τῷ: τὸ PMC 97. μή: om. MVRC | καί: καὶ μὴ PAMVRC 101. γε μήν: μέν γε VRC 102. τό τε Bekker τότε vulgo

furono ritirati, i romani si diedero a mettere in posizione le elepoli, sebbene dall'alto dell'Antonia fossero sottoposti al lancio di pietre, fuoco, ferro e ogni altra specie di proiettili forniti ai giudei dalla necessità; infatti costoro, pur provando grande fiducia nella robustezza delle mura e disprezzo per le macchine, cercavano d'impedire ai romani di metterle in azione. I romani dal canto loro raddoppiarono gli sforzi, ritenendo che l'impegno dei nemici nel difendere l'Antonia dipendesse da una debolezza delle sue strutture, e sperando che le sue fondamenta fossero lesionate. Ma la muraglia resistette ai colpi, sebbene gli assalitori, pur sottoposti a un tiro continuo, non si lasciassero paralizzare dai pericoli incombenti dall'alto e mantenessero in azione le elepoli. Quando avevano la peggio ed erano schiacciati dalle pietre, altri subentravano riparandosi il corpo sotto gli scudi[4], e cosí a forza di mani e di paletti scalzarono le fondamenta, riuscendo con la loro coraggiosa ostinazione a rimuovere quattro blocchi. La notte pose fine all'azione di entrambe le parti, ma nel corso di essa all'improvviso il muro crollò, sia per effetto dei colpi subiti dagli arieti, sia per il franamento della galleria nel punto dove Giovanni aveva scavato sotto il muro[5] per provocare il crollo dei precedenti terrapieni.

1, 4. Questo fatto provocò fra i due contendenti reazioni insospettate. Infatti i giudei avrebbero dovuto restarne demoralizzati, ma essendo preparati al crollo e avendo adottato le opportune contromisure, finirono invece col riprendere animo al vedere che l'Antonia restava ancora in piedi. Nei romani invece la gioia inaspettata per il crollo del muro fu ben presto spenta dalla vista di un altro muro che gli uomini di Giovanni avevano innalzato dietro al primo[6]. Certo dar l'assalto a questo si presentava piú facile perché appariva piú agevole dargli la scalata montando sulle macerie del precedente e perché ritenevano che fosse molto piú debole dell'Antonia sí da poterlo abbattere in breve tempo trattandosi

105 λύσειν ὑπελάμβανον. οὐ μὴν ἐτόλμα τις ἀναβῆναι· προῦπτος
γὰρ τοῖς ἀρξαμένοις ἦν ἀπώλεια.

1, 5. νομίζων δ' ὁ Τίτος ἐγείρεσθαι μάλιστα τὰς τῶν 33
πολεμούντων προθυμίας ἐλπίδι καὶ λόγῳ, τάς τε προτροπὰς
καὶ τὰς ὑποσχέσεις πολλάκις μὲν λήθην ἐνεργάζεσθαι τῶν
110 κινδύνων, ἔστι δ' ὅτε καὶ θανάτου καταφρόνησιν, συναγα-
γὼν ἐπὶ ταὐτὸ τοὺς ἀλκίμους ἐπειρᾶτο τῶν ἀνδρῶν, «ὦ 34
συστρατιῶται,» λέγων, «τὸ μὲν παρακελεύειν ἐπὶ τὰ μὴ
φέροντα κίνδυνον αὐτόθεν τοῖς παρακελευομένοις ἀκλεές,
ἀμέλει δὲ καὶ τῷ παρακελεύοντι φέρει κατάγνωσιν ἀνανδρίας.
115 δεῖ δ', οἶμαι, προτροπῆς εἰς μόνα τὰ σφαλερὰ τῶν πραγμά- 35
των, ὡς ἐκεῖνά γε καθ' αὑτοὺς πράττειν ἄξιον. ὥστ' ἔγωγε 36
τὸ μὲν ὑπάρχειν χαλεπὴν τὴν ἐπὶ τὸ τεῖχος ἄνοδον αὐτὸς
ὑμῖν προτίθημι· τὸ δ' ὅτι μάλιστα προσήκει μάχεσθαι τοῖς
δυσκόλοις τοὺς ἀρετῆς ἐφιεμένους καὶ ὅτι καλὸν ἐν εὐκλείᾳ
120 τελευτὴ καὶ ὡς οὐκ ἄκαρπον ἔσται τοῖς καταρξαμένοις τὸ
γενναῖον, διέξειμι. πρῶτον μὲν οὖν ὑμῶν γενέσθω προτροπὴ 37
τό τινας ἴσως ἀποτρέπον, ἡ Ἰουδαίων μακροθυμία καὶ τὸ
καρτερικὸν ἐν οἷς κακοπαθοῦσιν· αἰσχρὸν γὰρ Ῥωμαίους 38
τε ὄντας καὶ στρατιώτας ἐμούς, καὶ διδακτὸν μὲν ἐν εἰρήνῃ
125 τὸ πολεμεῖν, ἔθιμον δ' ἐν πολέμῳ τὸ κρατεῖν ἔχοντας, ἡτ-
τᾶσθαι κατὰ χεῖρα Ἰουδαίων ἢ κατὰ ψυχήν, καὶ ταῦτα
πρὸς τῷ τέλει τῆς νίκης καὶ συνεργουμένους ὑπὸ τοῦ
θεοῦ. τὰ μὲν γὰρ ἡμέτερα πταίσματα τῆς Ἰουδαίων ἐστὶν 39
ἀπονοίας, τὰ δ' ἐκείνων πάθη ταῖς τε ὑμετέραις ἀρεταῖς
130 καὶ ταῖς τοῦ θεοῦ συνεργίαις αὔξεται· στάσις γὰρ καὶ λιμὸς 40
καὶ πολιορκία καὶ δίχα μηχανημάτων πίπτοντα τείχη τί
ἂν ἀλλ' ἢ θεοῦ μὲν εἴη μῆνις ἐκείνοις, βοήθεια δ' ἡμετέρα;
τὸ τοίνυν μὴ μόνον ἐλαττοῦσθαι χειρόνων, ἀλλὰ καὶ τὴν 41

105. λύσειν Bekker λύειν PAMVRC λύσιν L 109. ἐνεργάζεσθαι: ἐργάζεσθαι RC 120. οὐκ ἄκαρπον: κἄκαρπον M 121. ὑμῶν: ὑμᾶς VR 127. τῷ: om. LVRC 128. μὲν γάρ: γὰρ PAMVRC

di un'opera eseguita in fretta e furia. Però nessuno aveva il coraggio di dar la scalata, giacché era evidente che i primi sarebbero andati incontro alla morte.

1, 5. Allora Tito, ritenendo per certo che l'aggressività 33 dei combattenti è stimolata dalla speranza e dalle parole d'incoraggiamento, e che spesso le esortazioni e le promesse fanno dimenticare i pericoli, e talvolta anche disprezzare la morte, raccolse i piú valorosi dei suoi e ne mise alla prova l'ardore con queste parole: « Commilitoni[7], l'esortare a im- 34 prese che non comportano rischi è senz'altro offensivo nei confronti di coloro cui le esortazioni vengono rivolte, e d'altro canto denota la pusillanimità di chi le rivolge. Io credo invece 35 che alle esortazioni si deve ricorrere soltanto per le imprese rischiose, poiché le altre ognuno sa compierle di per sé. E 36 allora comincerò col riconoscere io stesso che è difficile dar la scalata alle mura, ma poi continuerò col dirvi che agli spiriti eroici nulla si addice di piú che lottare contro le difficoltà, che è bella una morte gloriosa, che non resterà senza compenso il valore di quanti saranno i primi ad attaccare. Innanzi- 37 tutto deve rendervi fiduciosi ciò che forse potrebbe scoraggiare altri, voglio dire l'ostinata resistenza dei giudei e la loro incrollabile fermezza pur fra tanti disastri; infatti sarebbe 38 una vergogna se voi che siete romani e miei soldati, istruiti in tempo di pace a far la guerra e in tempo di guerra a riportare la vittoria, doveste risultare inferiori nel braccio e nello spirito ai giudei, e ciò alla vigilia della vittoria e quando abbiamo dalla nostra l'aiuto del dio[8]. I nostri rovesci sono do- 39 vuti alla disperazione dei giudei, mentre le loro sofferenze sono accresciute dal vostro valore e dalla cooperazione del dio; infatti discordia, fame, assedio e mura che crollano senza 40 l'azione delle macchine, che altro potrebbero essere se non effetto dell'ira del dio contro di loro e della sua volontà di aiutarci? Perciò non sarebbe degno di noi non soltanto soc- 41 combere di fronte ad avversari che ci sono inferiori, ma anche

θείαν συμμαχίαν προδιδόναι πρὸς ἡμῶν οὐκ ἂν εἴη. πῶς δ' οὐκ αἰσχρὸν Ἰουδαίους μέν, οἷς οὐ πολλὴν αἰσχύνην φέρει τὸ λείπεσθαι μαθοῦσι δουλεύειν, ὑπὲρ τοῦ μηκέτι τοῦτο πάσχειν θανάτου καταφρονεῖν καὶ πολλάκις εἰς μέσους ἡμᾶς ἐκτρέχειν, οὐκ ἐλπίδι τοῦ κρατήσειν, ἀλλὰ διὰ ψιλὴν ἐπίδειξιν ἀνδρείας· ὑμᾶς δὲ τοὺς γῆς ὀλίγου δεῖν ἁπάσης καὶ θαλάσσης κρατοῦντας, οἷς καὶ τὸ μὴ νικᾶν ὄνειδος, μηδ' ἅπαξ εἰς τοὺς πολεμίους παραβάλλεσθαι, περιμένειν δὲ τὸν λιμὸν κατ' αὐτῶν καὶ τὴν τύχην ἀργοὺς καθεζομένους μετὰ τοιούτων ὅπλων, καὶ ταῦτα δι' ὀλίγου τοῦ παραβόλου τὸ πᾶν κατορθῶσαι δυναμένους; ἀναβάντες γοῦν ἐπὶ τὴν Ἀντωνίαν ἔχομεν τὴν πόλιν· καὶ γὰρ ἂν γίνηταί τις ἔτι πρὸς τοὺς ἔνδον, ὅπερ οὐκ οἶμαι, μάχη, τό γε κατὰ κορυφὴν εἶναι καὶ ταῖς ἀναπνοαῖς ἐπικαθῆσθαι τῶν πολεμίων ταχέως τὴν ὁλοσχερῆ νίκην ἐγγυᾶται. καὶ ἔγωγε τὸ μὲν ὑμνεῖν ἄρτι τὴν ἐν πολέμῳ τελευτὴν καὶ τὴν ἐπὶ τοῖς ἀρειμανίοις πεσοῦσιν ἀθανασίαν παραλιπὼν ἐπαρασαίμην ἂν τοῖς ἄλλως ἔχουσι τὸν κατ' εἰρήνην ἐκ νόσου θάνατον, οἷς μετὰ τοῦ σώματος καὶ ἡ ψυχὴ τάφῳ κατακρίνεται. τίς γὰρ οὐκ οἶδε τῶν ἀγαθῶν ἀνδρῶν ὅτι τὰς μὲν ἐν παρατάξει ψυχὰς σιδήρῳ τῶν σαρκῶν ἀπολυθείσας τὸ καθαρώτατον στοιχεῖον αἰθὴρ ξενοδοχῶν ἄστροις ἐγκαθιδρύει, δαίμονες δ' ἀγαθοὶ καὶ ἥρωες εὐμενεῖς ἰδίοις ἐγγόνοις ἐμφανίζονται, τὰς δ' ἐν νοσοῦσι τοῖς σώμασι συντακείσας, κἂν τὰ μάλιστα κηλίδων ἢ μιασμάτων ὦσι καθαραί, νὺξ ὑπόγειος ἀφανίζει καὶ λήθη βαθεῖα δέχεται, λαμβανούσας ἅμα τοῦ τε βίου καὶ τῶν σωμάτων, ἔτι δὲ τῆς μνήμης περιγραφήν; εἰ δὲ κέκλωσται μὲν ἀνθρώποις ἀναγκαία τελευτή, κουφότερον δ' εἰς αὐτὴν νόσου πάσης σίδηρος ὑπηρέτης, πῶς οὐκ ἀγεννὲς μὴ διδόναι ταῖς

135. Ἰουδαίους: ἰυδαίοις PAMVRC | οὐ: om. PA 141. παραβάλλεσθαι: παραβαλέσθαι P 146. οἶμαι: οἴομαι LVR | γε: τε L 149. ἀρειμανίοις: ἀριμανίοις A 150. παραλιπὼν ἐπαρασαίμην: παραλειπὼν ἐπαρασαίμην A παραλείπω ἐπαρασαίμην LVR[1] παραλείπω ἐπαρασαίμην δ' R[2]C 159. λαμβανούσας: λαμβάνουσά τε PAVR λαμβάνουσα δ' L

tradire l'alleanza divina. E come non sarebbe una vergogna se mentre i giudei, cui la sconfitta non reca troppa onta perché sono già abituati al servaggio, per non dovervi piú sottostare non si curano della morte e spesso con le loro sortite penetrano in mezzo a noi non con la speranza di vincere, ma semplicemente per far mostra di coraggio, mentre voi che siete i padroni di quasi tutte le terre e i mari, voi per cui è una macchia anche il non riportare una vittoria, non vi scagliate nemmeno una volta contro i nemici e aspettate che agiscano contro di loro la fame e la fortuna standovene inoperosi pur essendo forniti di tali armi, e ciò mentre potreste concludere l'impresa correndo qualche piccolo rischio? Se saliamo sull'Antonia abbiamo in pugno la città; infatti, anche se dovremo affrontare un altro scontro con quelli di dentro, ciò che non credo, il trovarsi in posizione dominante e l'incombere sul respiro dei nemici ci danno garanzia di rapida e totale vittoria. Tralascio ora di esaltare la morte in combattimento e l'immortalità di coloro che cadono nel furore di Marte, ma a chi la pensa diversamente auguro di morire in tempo di pace per malattia, sí che assieme al suo corpo anche la sua anima sia condannata alla tomba. Quale valoroso ignora che le anime che in battaglia furono separate col ferro dai loro corpi vengono accolte nell'elemento piú puro, l'etere, e collocate fra gli astri, che esse appaiono come buoni geni e spiriti propizi ai loro discendenti, mentre invece le anime che si siano consumate insieme con i loro corpi ammalati, anche se sono assolutamente monde da macchie e contagi, vengono inghiottite nelle tenebrose profondità della terra e sepolte dall'oblio, private a un tempo della vita, dei corpi e del ricordo[9]? Se poi per gli uomini è un destino ineluttabile la morte, e il ferro ne è ministro piú sopportabile di qualunque malattia, non

χρείαις ὃ τῷ χρεὼν ἀποδώσομεν; καὶ ταῦτα μὲν ὡς οὐ 50
δυναμένων σωθῆναι τῶν ἐπιχειρησόντων διεξῆλθον· ἔνεστι
165 δὲ σώζεσθαι τοῖς ἀνδριζομένοις κἀκ τῶν σφαλερωτάτων.
πρῶτον μὲν γὰρ τὸ καταρριφθὲν εὐεπίβατον, ἔπειτα πᾶν τὸ 51
οἰκοδομηθὲν εὐδιάλυτον, ὑμεῖς τε πλείους θαρσήσαντες ἐπὶ
τὴν πρᾶξιν ἀλλήλοις προτροπὴ καὶ βοήθεια γίνεσθε, καὶ τοῖς
πολεμίοις τὸ ὑμέτερον παράστημα ταχέως κλάσει τὰ φρο-
170 νήματα. καὶ τάχ' ἂν ὑμῖν ἀναίμακτον τὸ κατόρθωμα γένοιτο 52
μόνον καταρξαμένοις· ἀναβαίνοντας μὲν γὰρ κωλύειν πειρά-
σονται κατὰ τὸ εἰκός, λαθόντας δὲ καὶ βιασαμένους ἅπαξ
οὐκ ἂν ὑποσταῖεν ἔτι, κἂν ὀλίγοι φθάσητε. τὸν δὲ καταρξά- 53
μενον αἰσχυνοίμην ἂν εἰ μὴ ποιήσαιμι ζηλωτὸν ἐν ταῖς
175 ἐπικαρπίαις, καὶ ὁ μὲν ζῶν ἄρξει τῶν νῦν ὁμοίων, μακα-
ριστὰ δ' ἀκολουθήσει καὶ τοῖς πεσοῦσι τὰ ἀριστεῖα».

1, 6. τοιαῦτα τοῦ Τίτου διεξιόντος τὸ μὲν ἄλλο πλῆθος 54
ἔδεισε τοῦ κινδύνου τὸ μέγεθος, τῶν δ' ἐν ταῖς σπείραις
στρατευομένων Σαβῖνος τοὔνομα, γένος ἀπὸ Συρίας, ἀνὴρ
180 καὶ κατὰ χεῖρα καὶ κατὰ ψυχὴν ἄριστος ἐφάνη. καίτοι προϊ- 55
δὼν ἄν τις αὐτὸν ἀπό γε τῆς σωματικῆς ἕξεως οὐδ' εἰκαῖον
εἶναι στρατιώτην ἔδοξε· μέλας μὲν γὰρ ἦν τὴν χροίαν,
ἰσχνός, τὴν σάρκα πεπιλημένος, ἀλλ' ἐνῴκει τις ἡρωικὴ
ψυχὴ λεπτῷ σώματι καὶ πολὺ τῆς ἰδίας ἀλκῆς στενοτέρῳ.
185 πρῶτος γοῦν ἀναστὰς «ἐπιδίδωμί σοι, Καῖσαρ,» ἔφη, «προ- 56
θύμως ἐμαυτόν· πρῶτος ἀναβαίνω τὸ τεῖχος. καὶ εὔχομαι 57
μέν μου τῇ τε ἰσχύι καὶ τῇ γνώμῃ τὴν σὴν ἀκολουθῆσαι
τύχην, εἰ δὲ νεμεσηθείην τῆς ἐπιβολῆς, ἴσθι με μὴ πταίσαν-
τα παρ' ἐλπίδας, ἀλλ' ὑπὲρ σοῦ κρίσει τὸν θάνατον ᾑρημέ-
190 νον.» ταῦτ' εἰπὼν καὶ τῇ μὲν ἀριστερᾷ χειρὶ τὸν θυρεὸν 58

164. ἐπιχειρησόντων: ἐπιχειρησάντων AL 170. ὑμῖν: ἡμῖν AMLVR 171. μὲν: om. PAMVR 174. ἂν: om. PA 177. διεξιόντος: διεξελθόντος L 178. σπείραις: σπείραις τις L Lat 181 γε: τε L om. VR | οὐδ' εἰκαῖον: οὐδὲ εἰκαῖον L οὐ δίκαιον PAMVRC 182. χροίαν: χροιὰν M χρόαν LVRCA² 184. στενοτέρῳ Niese γενναιοτέρῳ PAML γενναιοτέρα VR 188. ἐπιβολῆς: ἐπιβουλῆς AR | με μή: μή με PAMVR

sarebbe una cosa ignobile rifiutare al bene pubblico ciò che
dovremo concedere al destino? Tutto ciò l'ho detto come se 50
coloro che tenteranno l'impresa non abbiano possibilità di
salvezza; invece ai valorosi è possibile salvarsi anche dai
pericoli piú gravi. Innanzi tutto sulla breccia si può montare 51
facilmente; poi tutte le difese costruite possono essere ab-
battute; basterà che voi, fatti arditi a tentare l'impresa in
gran numero, v'incoraggiate e vi aiutiate a vicenda, e il vostro
ardimento abbatterà ben presto le velleità dei nemici. Potrebbe 52
anche darsi che riportiate la vittoria senza perdite, solo che
attacchiate; certo è da aspettarsi che una vostra scalata essi
cercheranno di ostacolarla, ma se voi riuscirete ad aprirvi la
strada dopo esservi appressati nascostamente non vi potranno
piú resistere, anche se sarete in pochi a sorprenderli. Il primo 53
a muovere all'attacco, io arrossirei se non lo dovessi colmare
di tali ricompense da renderlo oggetto d'invidia, e chi soprav-
viverà sarà promosso a un grado superiore a quello dei suoi
pari, mentre i caduti avranno anch'essi solenni onoranze».

1, 6. Cosí disse Tito, ma tutti restavano paralizzati dalla 54
gravità del pericolo; soltanto un uomo delle coorti ausiliarie,
un certo Sabino nativo della Siria, si dimostrò un soldato di
straordinario valore per forza e coraggio. Eppure, chi l'avesse 55
visto prima e l'avesse giudicato dall'aspetto esteriore, non lo
avrebbe nemmeno ritenuto abile a fare il soldato; era di carna-
gione scura, smilzo, pelle e ossa[10], ma uno spirito eroico al-
bergava in quel corpo emaciato e troppo angusto rispetto al
suo vigore. Fu lui il primo a levarsi dicendo: « Io ti offro 56
volentieri la mia vita, o Cesare; sarò il primo a dar la scalata
al muro. Auguro che alla mia forza e alla mia decisione si 57
accompagni la tua fortuna; se poi una nemesi ostacolerà la
mia impresa, sappi che non cadrò come un illuso, ma per-
ché ho deliberatamente scelto di morire per te». Ciò detto, 58

www.scribd.com/Cultura_in_Ita5

ὑπὲρ τῆς κεφαλῆς προανατείνας, τῇ δεξιᾷ δὲ τὸ ξίφος σπασάμενος ἐχώρει πρὸς τὸ τεῖχος περὶ ὥραν μάλιστα τῆς ἡμέρας ἕκτην. εἵποντο δ' αὐτῷ καὶ τῶν ἄλλων ἕνδεκα μόνοι ζηλωταὶ τῆς ἀνδρείας γενόμενοι· προῆγε δὲ πολὺ πάντων ὁ ἀνὴρ ὁρμῇ τινι δαιμονίῳ χρώμενος. οἱ φρουροὶ δ' ἀπὸ τοῦ τείχους κατηκόντιζόν τε αὐτοὺς καὶ βέλεσι πάντοθεν ἀπείροις ἔβαλλον καὶ πέτρας ἐξαισίους κατεκύλιον, αἳ ἐκ τῶν μὲν ἕνδεκα παρέσυραν ἐνίους, ὁ δὲ Σαβῖνος ἀπαντῶν τοῖς ἀφιεμένοις καὶ καταχωννύμενος ὑπὸ τῶν βελῶν οὐ πρότερον ἐπέσχε τὴν ὁρμὴν ἢ γενέσθαι τε ἐπ' ἄκρῳ καὶ τρέψασθαι τοὺς πολεμίους· καταπλαγέντες γὰρ αὐτοῦ τήν τε δύναμιν οἱ Ἰουδαῖοι καὶ τὸ παράστημα τῆς ψυχῆς, ἅμα δὲ καὶ πλείους ἀναβεβηκέναι δόξαντες ἐτράπησαν. ἔνθα δὴ καταμέμψαιτ' ἄν τις ὡς φθονερὰν ἐπὶ ταῖς ἀρεταῖς τὴν τύχην καὶ κωλύουσαν ἀεὶ τὰ παράδοξα τῶν κατορθωμάτων. ὁ γοῦν ἀνὴρ οὗτος, ὅτ' ἐκράτησε τῆς ἐπιβολῆς, ἐσφάλη καὶ πταίσας πρός τινι πέτρᾳ πρηνὴς ἐπ' αὐτὴν μετὰ μεγίστου ψόφου κατέπεσεν· ἐπιστραφέντες δ' οἱ Ἰουδαῖοι καὶ κατιδόντες μόνον τε αὐτὸν καὶ πεπτωκότα, πάντοθεν ἔβαλλον. ὁ δ' ἐς γόνυ διαναστὰς καὶ προκαλυψάμενος τὸν θυρεὸν τὸ μὲν πρῶτον ἠμύνετο καὶ πολλοὺς τῶν πλησιασάντων ἔτρωσεν· αὖθις δ' ὑπὸ πλήθους τραυμάτων παρῆκε τὴν δεξιὰν καὶ τέλος πρὶν ἀποδοῦναι τὴν ψυχὴν κατεχώσθη τοῖς βέλεσιν, ἀνὴρ ἄξιος μὲν ἀμείνονι χρῆσθαι δι' ἀνδρείαν καὶ τύχῃ, πεσὼν δὲ τῆς ἐπιβολῆς ἀναλόγως. τῶν δὲ ἄλλων τρεῖς μὲν τοὺς ἤδη πρὸς τοῖς ἄκροις ὄντας συντρίψαντες ἀπέκτειναν τοῖς λίθοις, οἱ δ' ὀκτὼ τραυματίαι κατασυρέντες ἀνεκομίσθησαν εἰς τὸ στρατόπεδον. ταῦτα μὲν οὖν τρίτῃ μηνὸς Πανέμου ἐπράχθη.

1, 7. μετὰ δ' ἡμέρας δύο τῶν προκοιτούντων τινὲς ἐπὶ

191. προανατείνας: ἀνατείνας PAM 194. πάντων: πάντας AMLVRC 206. ἐπιβολῆς: ἐπιβουλῆς PAVR 207. πρός τινι πέτρᾳ: πρός τινα πέτραν VRC ἔν τινι πέτρᾳ M 209. μόνον τε αὐτὸν: μόνον τε αὐτῶν L αὐτὸν μόνον τε M μόνον αὐτὸν C 211. ἠμύνετο: ἠμύνατο MVRC

sollevò con la sinistra lo scudo sopra la testa e, sguainata con la destra la spada, si avventò verso le mura: era esattamente l'ora sesta di quel giorno. Non lo seguirono che solo undici uomini, emuli del suo coraggio, ma egli precedeva tutti di molto, come spinto da un impulso divino. I difensori dall'alto del muro li bersagliarono con giavellotti e tirarono un'infinità di frecce e fecero rotolare giú degli enormi macigni che travolsero alcuni degli undici; ma Sabino, affrontando i proiettili e ricoperto di dardi, non frenò il suo slancio prima di essere arrivato in cima e di aver sbaragliato i nemici. Infatti i giudei, sbigottiti dalla sua forza e dal suo coraggio, e anche perché credettero che a dar la scalata fossero stati di piú, si diedero alla fuga. Qui sarebbe il caso di biasimare la fortuna come invidiosa degli atti di eroismo e sempre pronta a ostacolare le imprese straordinarie. Infatti quel valoroso, quando ebbe raggiunto la sua meta, mise un piede in fallo e, urtando contro una roccia, vi cadde sopra bocconi con un gran colpo. I giudei si voltarono indietro e, avendo visto che era solo e per di piú caduto, si diedero a colpirlo da tutte le parti. Quello, levatosi su un ginocchio e riparandosi con lo scudo, dapprincipio si difese e ferí molti di quelli che gli si avvicinavano; ma ben presto per le molte ferite non poté piú muovere la destra e alla fine, prima di spirare, fu sepolto sotto un nugolo di dardi: un uomo che per il suo valore meritava anche una sorte migliore, e la cui fine fu degna dell'impresa compiuta. Degli altri undici, tre che erano già arrivati in cima furono colpiti e uccisi a colpi di pietra, mentre gli altri otto vennero tirati giú feriti e ricondotti nell'accampamento. Quest'azione si svolse il terzo giorno del mese di Panemo[11].

1, 7. Due giorni dopo, venti degli uomini in servizio di

τοῖς χώμασι φυλάκων εἴκοσι συνελθόντες προσποιοῦνται μὲν
τὸν τοῦ πέμπτου τάγματος σημαιαφόρον καὶ δύο τινὰς τῶν
ἐν ταῖς ἴλαις ἱππέων καὶ σαλπικτὴν ἕνα, κατὰ δ' ὥραν τῆς
νυκτὸς ἐνάτην προσβαίνουσι μὲν ἡσυχῇ διὰ τῶν ἐρειπίων
225 ἐπὶ τὴν 'Αντωνίαν, ἀποσφάξαντες δὲ τοὺς πρώτους τῶν
φρουρῶν κοιμωμένους κρατοῦσι τοῦ τείχους καὶ τῷ σαλπι-
κτῇ σημαίνειν ἐκέλευσαν. πρὸς δ τῶν μὲν ἄλλων φυλάκων 69
ἐξανάστασίς τε αἰφνίδιος ἦν καὶ φυγὴ πρίν τινα τὸ πλῆθος
ἐπιδεῖν τῶν ἐπιβεβηκότων· ὅ τε γὰρ φόβος καὶ ἡ σάλπιγξ
230 φαντασίαν αὐτοῖς τοῦ πλῆθος ἀναβεβηκέναι πολεμίων πα-
ρεῖχε. Καῖσαρ δὲ τοῦ σημείου κατακούσας ἐξοπλίζει τήν τε 70
δύναμιν διὰ τάχους καὶ μετὰ τῶν ἡγεμόνων πρῶτος ἀνα-
βαίνει τοὺς ἐπιλέκτους ἔχων. καταπεφευγότων δ' 'Ιουδαίων 71
εἰς τὸ ἱερὸν καὶ αὐτοὶ διὰ τῆς διώρυγος εἰσέπιπτον, ἣν ὁ
235 'Ιωάννης ἐπὶ τὰ χώματα τῶν 'Ρωμαίων ὑπώρυξε. καὶ δια- 72
στάντες ἐπ' ἀμφοτέρων οἱ στασιασταὶ τῶν ταγμάτων, τοῦ
τε 'Ιωάννου καὶ τοῦ Σίμωνος, εἶργον αὐτοὺς οὐδεμίαν οὔτε
ἰσχύος οὔτε προθυμίας ἐλλείποντες ὑπερβολήν· πέρας γὰρ 73
ἁλώσεως ὑπελάμβανον τὸ 'Ρωμαίους παρελθεῖν εἰς τὸ ἅγιον,
240 ὃ δὴ κἀκεῖνοι τοῦ κρατεῖν ἀρχήν. συρρήγνυται δὲ περὶ τὰς 74
εἰσόδους μάχη καρτερά, τῶν μὲν καταλαβέσθαι καὶ τὸ ἱερὸν
εἰσβιαζομένων, τῶν δ' 'Ιουδαίων ἐξωθούντων αὐτοὺς ἐπὶ τὴν
'Αντωνίαν. καὶ τὰ βέλη μὲν ἦν ἀμφοτέροις ἄχρηστα καὶ τὰ 75
δόρατα, σπασάμενοι δὲ τὰ ξίφη συνεπλέκοντο, καὶ περὶ τὴν
245 συμβολὴν ἄκριτον ἦν ὁποτέρωθεν ἕκαστοι μάχοιντο, πεφυρ-
μένων μὲν τῶν ἀνδρῶν καὶ περὶ τὴν στενοχωρίαν διηλλαγμέ-
νων, τῆς δὲ βοῆς ἀσημάντου προσπιπτούσης διὰ τὸ μέγε-
θος. φόνος τε ἦν ἑκατέρωθεν πολύς, καὶ τῶν πεσόντων τά τε 76
σώματα καὶ τὰς πανοπλίας πατοῦντες ἔθραυον οἱ μαχόμενοι.

221. προσποιοῦνται: προσκαλοῦνται MLVRC 226. τοῦ τείχους: τῶν τειχῶν PAM 226-7. σαλπικτῇ: σαλπιγκτῇ PAMVRC 228. τε: om. PAMVRC 230. πλῆθος: πλήθους PA[1]LRC 233. καταπεφευγότων: καταφευγόντων VRC 235-6. διαστάντες: διαναστάντες L 236. ἐπ': ὑπ' L 246. τῶν: om. P 247. βοῆς: βίας VR | προσπιπτούσης: προσπεσούσης M 249. πατοῦντες: συμπατοῦντες L

avamposto sui terrapieni si raccolsero insieme e, fatti unire a
loro il vessillifero della legione quinta, due cavalieri delle ali
ausiliarie e un trombettiere, verso l'ora nona della notte[12]
scalarono furtivamente l'Antonia passando sulle macerie e,
uccise nel sonno le prime sentinelle, s'impadronirono del muro
e fecero dar di fiato al trombettiere. Al sentire gli squilli, 69
tutte le altre sentinelle balzarono in piedi all'istante e si die-
dero alla fuga prima di vedere quanti fossero gli assalitori;
infatti la paura e il suono della tromba diedero loro l'impres-
sione che a effettuare la scalata fosse stato un gran numero di
nemici. Cesare, udito il segnale, ordinò a tutto l'esercito di 70
prendere immediatamente le armi e in compagnia dei generali
fu il primo a salire sul muro seguito dal corpo dei suoi uomini
scelti. Essendosi i giudei ritirati di corsa nel tempio, i romani 71
penetrarono nella galleria che Giovanni aveva scavata per
raggiungere i terrapieni. I ribelli delle due bande, quella di 72
Giovanni e quella di Simone, pur restando separati, cerca-
rono di contrastare loro il passo non risparmiando alcuna
prova eccezionale di forza e di coraggio; essi comprendevano 73
infatti che l'irrompere dei romani nel tempio significava la
loro definitiva disfatta, cosí come per i romani esso rappre-
sentava la premessa della vittoria. Attorno agli ingressi si 74
accese una zuffa accanita: gli uni si sforzavano di impadronirsi
anche del tempio, mentre i giudei cercavano di respingerli
verso l'Antonia. Nessuna delle due schiere poteva far uso dei 75
proiettili e dei giavellotti, ma si battevano corpo a corpo con
le spade; la mischia era tale che non si poteva piú capire da
quale parte stessero i vari combattenti essendosi tutti confusi
insieme e mescolati in quello spazio ristretto, mentre le loro
grida si disperdevano inintelligibili nell'enorme frastuono.
Grande fu la strage da entrambe le parti, e i cadaveri e le armi 76
dei caduti venivano calpestate dai combattenti. Dovunque si 77

www.scribd.com/Cultura_in_Ita5

250 ἀεὶ δ' ἐφ' ὁπότερον βρίσειεν ῥέων ὁ πόλεμος, παρακέλευσις 77
μὲν ἦν τῶν πλεονεκτούντων, οἰμωγαὶ δὲ τῶν τρεπομένων.
οὔτε δ' αἱ φυγαὶ τόπον εἶχον οὔθ' αἱ διώξεις, ἀλλ' ἀγχώμα-
λοι ῥοπαὶ καὶ μετακλίσεις μεμιγμένης ἐγίνοντο τῆς παρα-
τάξεως. τοῖς δ' ἔμπροσθεν γινομένοις ἢ τοῦ θνήσκειν ἢ τοῦ 78
255 κτείνειν ἀνάγκη παρῆν οὐκ οὔσης ἀναφυγῆς· οἱ γὰρ κατὰ
νώτου πρόσω βιαζόμενοι τοὺς σφετέρους παρ' ἀμφοῖν οὐδὲ
τῇ μάχῃ μεταίχμιον κατέλειπον. πλεονεκτούντων δὲ τῶν 79
Ἰουδαίων τοῖς θυμοῖς τὴν Ῥωμαίων ἐμπειρίαν καὶ κλινο-
μένης καθάπαν ἤδη τῆς παρατάξεως, ἀπὸ γὰρ ἐνάτης ὥρας
260 τῆς νυκτὸς εἰς ἑβδόμην τῆς ἡμέρας ἐπολέμουν, οἱ μὲν ἀθρόοι 80
καὶ τὸν τῆς ἁλώσεως κίνδυνον ἔχοντες ἀνδρείας ἐφόδιον,
Ῥωμαῖοι δὲ μέρει τῆς δυνάμεως, οὔπω γὰρ ἐπαναβεβήκει
τὰ τάγματα, κἀκείνοις ἐπανεῖχον οἱ μαχόμενοι τότε, κρα-
τεῖν τῆς Ἀντωνίας ἀποχρῆν ἐπὶ τοῦ παρόντος ἐδόκει.

265 **1, 8.** Ἰουλιανὸς δέ τις ἑκατοντάρχης τῶν ἀπὸ τῆς Βι- 81
θυνίας, οὐκ ἄσημος ὢν ἀνήρ, ὧν ἐγὼ κατ' ἐκεῖνον ἱστόρησα
τὸν πολεμον ὅπλων τ' ἐμπειρίᾳ καὶ ἀλκῇ σώματος καὶ ψυ-
χῆς παραστήματι πάντων ἄριστος, ὁρῶν τοὺς Ῥωμαίους 82
ἐνδιδόντας ἤδη καὶ κακῶς ἀμυνομένους, παρειστήκει δὲ Τί-
270 τῳ κατὰ τὴν Ἀντωνίαν, προπηδᾷ καὶ νικῶντας ἤδη τοὺς
Ἰουδαίους τρέπεται μόνος μέχρι τῆς τοῦ ἐνδοτέρω ἱεροῦ
γωνίας. ἔφευγε δὲ τὸ πλῆθος ἄθρουν, οὔτε τὴν ἰσχὺν οὔτε
τὴν τόλμαν ἀνθρωπίνην ὑπολαμβάνοντες. ὁ δὲ διὰ μέσων 83
τῶν σκεδαννυμένων ἄλλοτε ἄλλῃ διάττων ἐφόνευε τοὺς κα-
275 ταλαμβανομένους, καὶ τῆς ὄψεως ἐκείνης οὐδὲν οὔτε τῷ
Καίσαρι θαυμασιώτερον οὔτε τοῖς ἄλλοις παρέστη φρικω-
δέστερον. ἐδιώκετο δ' ἄρα καὶ αὐτὸς ὑπὸ τῆς εἱμαρμένης, 84
ἣν ἀμήχανον διαφυγεῖν θνητὸν ὄντα. τὰ γὰρ ὑποδήματα πε- 85
παρμένα πυκνοῖς καὶ ὀξέσιν ἥλοις ἔχων, ὥσπερ τῶν ἄλλων

252-3. ἀγχώμαλοι: ἀγχόμολοι P ἀνώμαλοι VRC 257. μεταίχμιον: μεσαίχμιον LVRC 259. καθάπαν: καθάπαξ LR² 259-60. ὥρας τῆς νυκτός: νυκτὸς ὥρας LVRC 266. ὢν: ὃν PMLVR 274. ἄλλῃ: ἄλλο L | διάττων: δι' αὐτῶν LVR

spostasse l'epicentro della battaglia risuonavano gli incitamenti dei vincitori e i lamenti dei vinti. Non v'era spazio per fuggire o per inseguire, ma nella stretta convulsa si verificavano solo degli incerti ondeggiamenti e ripiegamenti. Chi si tro- 78 vava in prima fila doveva necessariamente uccidere o essere ucciso, non essendovi alcuna via di scampo; infatti coloro che si trovavano alle sue spalle lo sospingevano in avanti e non lasciavano sgombro alcuno spazio. Alla fine i giudei con 79 la loro foga scatenata ebbero la meglio sulla perizia dei romani, il cui schieramento cominciò a cedere; avevano combattuto dall'ora nona della notte fino alla settima del giorno, i giudei 80 tutti in massa, incitati al valore dallo spettro della disfatta, mentre dei romani si batterono soltanto alcuni poiché non tutti i reparti delle legioni, sul cui appoggio quelli contavano, avevano ancora superato il muro. Cosí essi conclusero che per il momento bastava l'aver occupato l'Antonia.

1, 8. Un tal Giuliano, centurione di un corpo ausiliario 81 di Bitini, una persona di non poco rilievo, che per la perizia nell'uso delle armi, la prestanza fisica e la forza d'animo era superiore a tutti quelli di cui io feci conoscenza nel corso di quella guerra, vedendo che i romani ormai stavano cedendo 82 e opponevano una resistenza sempre piú debole – si trovava sull'Antonia al seguito di Tito – saltò giú d'un balzo e da solo respinse i giudei ormai vittoriosi fino all'angolo del piazzale interno[13]. Dinanzi a lui scappavano tutti, convinti che non era un uomo chi aveva tale forza e tanto coraggio. Egli, avven- 83 tandosi qua e là nel mezzo dei nemici che fuggivano in ogni direzione, uccideva quelli che riusciva a raggiungere, e nessun altro spettacolo piú di quello destò l'ammirazione in Cesare e lo sgomento nei giudei. Ma anche su di lui incombeva il 84 destino, cui nessuno dei mortali può sottrarsi. Come tutti 85 gli altri soldati, aveva le scarpe fornite di numerosi chiodi a

280 στρατιωτῶν ἕκαστος, καὶ κατὰ λιθοστρώτου τρέχων ὑπολισθάνει, πεσὼν δ' ὕπτιος μετὰ μεγίστου τῆς πανοπλίας ἤχου τοὺς φεύγοντας ἐπιστρέφει. καὶ τῶν μὲν ἀπὸ τῆς 'Αντωνίας 86 'Ρωμαίων ἤρθη βοὴ περὶ τἀνδρὶ δεισάντων, οἱ δὲ 'Ιουδαῖοι περιστάντες αὐτὸν ἀθρόοι τοῖς τε ξυστοῖς καὶ ταῖς ῥομφαίαις
285 πάντοθεν ἔπαιον. ὁ δὲ πολὺν μὲν τῷ θυρεῷ σίδηρον ἐξεδέ- 87 χετο, πολλάκις δὲ ἀναστῆναι πειράσας ὑπὸ τοῦ πλήθους τῶν τυπτόντων ἀνετράπη, καὶ κείμενος δ' ὅμως ἔνυττε τῷ ξίφει πολλούς· οὐδὲ γὰρ ἀνῃρέθη ταχέως, τῷ τε κράνει καὶ 88 τῷ θώρακι πεφραγμένος πάντα τὰ καίρια πρὸς σφαγὴν
290 καὶ τὸν αὐχένα συνέλκων· μέχρι κοπτομένων αὐτῷ τῶν ἄλλων μελῶν καὶ μηδενὸς προσαμῦναι τολμῶντος ἐνέδωκε. δεινὸν δὲ πάθος εἰσῄει Καίσαρα ἀνδρὸς οὕτως ἐναρέτου 89 καὶ ἐν ὄψει τοσούτων φονευομένου· καὶ αὐτὸν μὲν ὁ τόπος διέκλειε βοηθεῖν θέλοντα, τοὺς δυναμένους δὲ κατάπληξις.
295 'Ιουλιανὸς μὲν οὖν πολλὰ δυσθανατήσας καὶ τῶν κτεινόν- 90 των ὀλίγους ἀπλῆγας καταλιπὼν μόλις ἀποσφάττεται, μέγιστον οὐ παρὰ 'Ρωμαίοις καὶ Καίσαρι μόνον ἀλλὰ καὶ παρὰ τοῖς πολεμίοις κλέος καταλιπών· 'Ιουδαῖοι δὲ καὶ 91 τὸν νεκρὸν ἁρπασάμενοι πάλιν τοὺς 'Ρωμαίους τρέπονται
300 καὶ κατακλείουσιν εἰς τὴν 'Αντωνίαν. ἠγωνίσαντο δὲ ἐξ 92 αὐτῶν ἐπισήμως κατὰ ταύτην τὴν μάχην 'Αλεξᾶς μέν τις καὶ Γυφθαῖος τοῦ 'Ιωάννου τάγματος, ἐκ δὲ τῶν περὶ Σίμωνα Μαλαχίας τε καὶ ὁ τοῦ Μέρτωνος 'Ιούδας, καὶ Σωσᾶ υἱὸς 'Ιάκωβος τῶν 'Ιδουμαίων ἡγεμών, τῶν δὲ ζη-
305 λωτῶν ἀδελφοὶ δύο, παῖδες 'Αρί, Σίμων τε καὶ 'Ιούδης.

2, 1. Τίτος δὲ τοῖς μὲν σὺν αὐτῷ στρατιώταις κατα- 93 σκάπτειν προσέταξε τοὺς θεμελίους τῆς 'Αντωνίας καὶ τῇ δυνάμει πάσῃ ῥᾳδίαν τὴν ἄνοδον εὐτρεπίζειν, αὐτὸς δὲ τὸν

284. τε: om. PM | ῥομφαίαις: ῥομφαίαις αὐτῶν C 285. πολὺν: τὸν πολὺν ML 287. καὶ κείμενος: κἀκεῖνος PMVR 293. φονευομένου: φαινομένου C 294. βοηθεῖν: τοῦ βοηθεῖν LVRC 295-6. κτεινόντων: κτεινάντων MVRC 301. μέν τις: μέντοι AVR 302. Γυφθαῖος: γυφθέος PA cfr. V 474 et infra 148 304. 'Ιδουμαίων: ἰουδαίων A

punta e, mentre correva sul pavimento[14], scivolò e cadde supino con un gran fragore dell'armatura facendo rivoltare gli avversari in fuga. Si levò allora dall'Antonia l'urlo dei ro- 86 mani in ansia per la sua sorte, mentre i giudei gli si accalcavano intorno e lo colpivano da ogni parte con le lance e con le spade. Quello da molti colpi si riparò con lo scudo e piú 87 volte cercò di rimettersi in piedi; non vi riuscí per il gran numero degli assalitori, ma pur stando disteso ne ferí parecchi con la sua spada; infatti ci volle non poco a finirlo perché 88 aveva tutti i punti vitali difesi dall'elmo e dalla corazza e teneva il collo incassato fra le spalle. Alla fine con tutte le membra amputate e senza che nessuno osasse aiutarlo dovette soccombere. Cesare fu profondamente commosso per la fine 89 di un uomo cosí valoroso, che era stato massacrato sotto gli occhi di tanti commilitoni; egli stesso avrebbe voluto accorrere in sua difesa, ma dal luogo dove si trovava non poteva, mentre chi poteva fu trattenuto dalla paura. Cosí Giuliano, 90 dopo aver a lungo resistito alla morte e dopo aver colpito molti dei suoi uccisori, a gran stento fu finito, lasciando grandissima fama di sé non soltanto presso i romani e presso Cesare, ma anche presso i nemici; i giudei s'impadronirono delle 91 sue spoglie e di nuovo respinsero i romani rinchiudendoli nell'Antonia. In questa battaglia si distinsero fra loro un certo 92 Alexas e Gifteo[15] della banda di Giovanni, degli uomini di Simone Malachia e Giuda figlio di Mertone, uno dei capi degli Idumei di nome Giacomo figlio di Sosas[16], e fra gli Zeloti due fratelli, Simone e Giude, figli di Ari.

2, 1. Tito ordinò ai suoi soldati di abbattere dalle fonda- 93 menta l'Antonia e di spianare una via per farvi salire facilmente tutto l'esercito; quindi affidò un incarico a Giuseppe.

Ἰώσηπον παραστησάμενος· ἐπέπυστο γὰρ ἐπ' ἐκείνης τῆς 94
5 ἡμέρας, Πανέμου δ' ἦν ἑπτακαιδεκάτη, τὸν ἐνδελεχισμὸν
καλούμενον ἀνδρῶν ἀπορίᾳ διαλελοιπέναι τῷ θεῷ καὶ τὸν
δῆμον ἐπὶ τούτῳ δεινῶς ἀθυμεῖν· λέγειν τῷ Ἰωάννῃ πάλιν 95
ἐκέλευσεν ἃ καὶ πρότερον, ὡς εἰ καί τις αὐτὸν ἔρως κακὸς
ἔχοι τοῦ μάχεσθαι, προελθόντι μεθ' ὅσων βούλεται πολε-
10 μεῖν ἐξείη δίχα τοῦ συναπολέσθαι τήν τε πόλιν καὶ τὸν
ναὸν αὐτῷ, μηκέτι μέντοι μιαίνειν τὸ ἅγιον μηδὲ εἰς τὸν
θεὸν πλημμελεῖν, παρεῖναι δ' αὐτῷ τὰς ἐπιλελοιπυίας θυσίας
ἐκτελεῖν δι' ὧν ἂν ἐπιλέξηται Ἰουδαίων. καὶ ὁ Ἰώσηπος, 96
ὡς ἂν εἴη μὴ τῷ Ἰωάννῃ μόνον ἀλλὰ καὶ τοῖς πολλοῖς
15 ἐν ἐπηκόῳ στάς, τά τε τοῦ Καίσαρος διήγγελλεν ἑβραΐζων,
καὶ πολλὰ προσηντιβόλει φείσασθαι τῆς πατρίδος καὶ δια- 97
σκεδάσαι τοῦ ναοῦ γευόμενον ἤδη τὸ πῦρ, τούς τ' ἐναγι-
σμοὺς ἀποδοῦναι τῷ θεῷ. πρὸς ταῦτα τοῦ δήμου μὲν ἦν 98
κατήφεια καὶ σιγή, πολλὰ δ' ὁ τύραννος λοιδορηθείς τε
20 τῷ Ἰωσήπῳ καὶ καταρασάμενος τὸ τελευταῖον προσέ-
θηκεν, ὡς οὐκ ἄν ποτε δείσειεν ἅλωσιν· θεοῦ γὰρ ὑπάρχειν
τὴν πόλιν. καὶ ὁ Ἰώσηπος πρὸς ταῦτ' ἀνέκραγεν «πάνυ 99
γοῦν καθαρὰν τῷ θεῷ τετήρηκας αὐτήν, ἀμίαντον δὲ μένει
τὸ ἅγιον, εἰς ὃν τ' ἐλπίζεις σύμμαχον οὐδὲν ἠσέβησας, τὰς
25 δ' ἐθίμους θυσίας ἀπολαμβάνει. κἂν μὲν σοῦ τις ἀφέλῃ 100
τὴν καθ' ἡμέραν τροφήν, ἀσεβέστατε, τοῦτον ἥγησαι πο-
λέμιον, αὐτὸν δ' ὃν τῆς αἰωνίου θρησκείας ἐστέρησας θεὸν
ἐλπίζεις σύμμαχον ἔχειν ἐν τῷ πολέμῳ; καὶ Ῥωμαίοις 101
τὰς ἁμαρτίας ἀνατίθῃς, οἳ μέχρι νῦν κήδονται τῶν ἡμε-
30 τέρων νόμων καὶ τὰς ὑπὸ σοῦ διακοπείσας θυσίας ἀπο-
δίδοσθαι τῷ θεῷ βιάζονται; τίς οὐκ ἂν στενάξειε καὶ κα- 102
τολοφύραιτο τῆς παραδόξου μεταβολῆς τὴν πόλιν, εἴ γε

2, 4. ἐπέπυστο: πέπυστο L 7. τούτῳ: τούτου PA | λέγειν: λέγειν δὲ PVRC 8. κακός: κακῶς AM 10. ἐξείη: ἐξῄει V ἐξίει C[1] ἐξῆν PAML | τε: om. PAM 17. γευόμενον: γευομένου P 18. ἀποδοῦναι: ἀποδιδόναι VRC 24. ὃν τ': ὃν δ' PM ὃν A ὃν δὲ VRC 26. ἥγησαι: ἡγήσῃ VR ἡγήσει C 29. ἀνατίθῃς: ἀνατιθεὶς PA[1]MLVR 31. στενάξειε: στενάξῃ PMV[2] στενάξει AV[1]R

Aveva saputo che da quel giorno, era il diciassette di Panemo[1], 94
il cosiddetto sacrificio perenne in onore del dio era stato interrotto per mancanza di uomini[2], e che di ciò il popolo era rimasto profondamente turbato; allora fece ripetere a Gio- 95
vanni il precedente ammonimento[3], che se cioè egli era in preda a una criminosa smania di combattere poteva farsi avanti con chi volesse e ingaggiare la lotta senza coinvolgere nella sua rovina la città e il tempio. Perciò la smettesse di profanare il santuario e di offendere il dio, anzi avrebbe potuto far celebrare i sacrifici interrotti per mezzo di quei giudei che egli stesso avrebbe designati. Giuseppe, collocatosi in modo da 96
essere udito non soltanto da Giovanni, ma anche dalla massa, trasmise in ebraico[4] il messaggio di Cesare e concluse con un 97
lungo appello perché volessero risparmiare la patria, disperdere le fiamme che già lambivano il santuario e rendere al dio i sacrifici espiatori. Le sue parole furono accolte dal popolo 98
con sgomento e silenzio mentre il tiranno, dopo aver scagliato un'infinità d'ingiurie e di maledizioni contro Giuseppe, terminò dicendo che non temeva la conquista della città perché questa apparteneva al dio. Allora Giuseppe esplose: « Vera- 99
mente pura hai conservato la città per il dio, e intatto rimane il tempio, e nessuna offesa hai arrecato a colui che speri di aver alleato, ed egli riceve le consuete offerte! Se a te, male- 100
detto empio, qualcuno togliesse il tuo cibo quotidiano, tu lo giudicheresti un nemico: come puoi illuderti di avere dalla tua parte nella guerra colui che hai privato del culto che durava da sempre? E attribuirai le tue colpe ai romani, che finora si 101
son dati cura delle nostre leggi e cercano di restaurare per il dio i riti sacrificali interrotti per causa tua? Chi non compian- 102
gerebbe amaramente la città per lo strano capovolgimento

ἀλλόφυλοι μὲν καὶ πολέμιοι τὴν σὴν ἀσέβειαν ἐπανορθοῦν-
ται, σὺ δ' ὁ Ἰουδαῖος, ὁ τοῖς νόμοις ἐντραφείς, κἀκείνων
35 πρὸς αὐτοὺς γίνῃ χαλεπώτερος; ἀλλά τοι, Ἰωάννη, καὶ 103
μετανοῆσαι μὲν ἐκ κακῶν οὐκ αἰσχρὸν ἐν ἐσχάτοις καὶ
καλὸν ὑπόδειγμα βουλομένῳ σώζειν τὴν πατρίδα σοι πρό-
κειται βασιλεὺς Ἰουδαίων Ἰεχονίας, ὅς ποτε στρατεύσαντι 104
τῷ Βαβυλωνίῳ δι' αὐτὸν ἑκὼν ἐξέστη πρὶν ἁλῶναι τῆς
40 πόλεως καὶ μετὰ γενεᾶς αἰχμαλωσίαν ὑπέμεινεν ἐθελούσιον
ὑπὲρ τοῦ μὴ παραδοῦναι ταῦτα πολεμίοις τὰ ἅγια καὶ τὸν
οἶκον τοῦ θεοῦ περιιδεῖν φλεγόμενον. διὰ τοῦτο λόγος 105
τε αὐτὸν πρὸς ἁπάντων Ἰουδαίων ἱερὸς ὑμνεῖ καὶ μνήμη
ῥέουσα δι' αἰῶνος ἀεὶ νέα τοῖς ἐπιγινομένοις παραδίδωσιν
45 ἀθάνατον. καλόν, ὦ Ἰωάννη, ὑπόδειγμα, κἂν προσῇ κίν- 106
δυνος· ἐγὼ δέ σοι καὶ τὴν ἀπὸ Ῥωμαίων συγγνώμην ἐγ-
γυῶμαι. μέμνησο δ' ὡς ὁμόφυλος ὢν παραινῶ καὶ Ἰου- 107
δαῖος ὢν ἐπαγγέλλομαι, καὶ χρὴ σκοπεῖν τίς ὁ συμβου-
λεύων καὶ πόθεν. μὴ γὰρ ἔγωγέ ποτε γενοίμην ζῶν οὕτως
50 αἰχμάλωτος, ἵνα παύσωμαι τοῦ γένους ἢ τῶν πατρίων ἐπι-
λάθωμαι. πάλιν ἀγανακτεῖς καὶ κέκραγάς μοι λοιδορού- 108
μενος, ἀξίῳ γε καὶ χαλεπωτέρων, ὃς ἀντικρὺς εἱμαρμένης
τι παραινῶ καὶ τοὺς ὑπὸ τοῦ θεοῦ βιάζομαι κατακρίτους
σώζειν. τίς οὐκ οἶδεν τὰς τῶν παλαιῶν προφητῶν ἀνα- 109
55 γραφὰς καὶ τὸν ἐπιρρέποντα τῇ τλήμονι πόλει χρησμὸν ἤδη
ἐνεστῶτα; τότε γὰρ ἅλωσιν αὐτῆς προεῖπον, ὅταν ὁμοφύλου
τις ἄρξῃ φόνου. τῶν ὑμετέρων δὲ πτωμάτων οὐχ ἡ πόλις 110
καὶ τὸ ἱερὸν δὲ πᾶν πεπλήρωται; θεὸς ἄρα, θεὸς αὐτὸς
ἐπάγει μετὰ Ῥωμαίων καθάρσιον αὐτῷ πῦρ καὶ τὴν τοσού-
60 των μιασμάτων γέμουσαν πόλιν ἀναρπάζει».

38. ὅς: ὡς PA[1] 43. ὑμνεῖ: ἀνυμνεῖ L 49. οὕτως: οὗτος PA[1]M 52. ἀξίῳ: ἀξιῶ PA[1]LVR ἄξιος C | ὅς: ὡς AC 57. ὑμετέρων δὲ: δ' ὑμετέρων L 59. καθάρσιον: κάθαρσιν PAMLVR

subito, dato che degli stranieri, e per di piú nemici, si preoccupano di mettere riparo alla tua empietà, mentre tu, che sei un giudeo e sei stato educato all'osservanza delle nostre leggi, le offendi assai piú gravemente di loro? Eppure, Giovanni, 103 non soltanto è bello pentirsi delle proprie colpe, sia pure all'ultimo momento, ma se tu volessi risparmiare alla patria la rovina avresti un magnifico esempio da seguire, quello di Ieconia re dei giudei[5]. Quando per causa sua l'esercito babilo- 104 nese gli mosse guerra, egli, prima che la città fosse espugnata, ne venne fuori senza che alcuno lo costringesse e preferí affrontare volontariamente la schiavitú insieme con la sua famiglia piuttosto che consegnare ai nemici questi luoghi santi e vedere la casa del dio in preda alle fiamme. Per questo tutti i 105 giudei lo esaltano nella loro storia sacra e il ricordo sempre fresco presso i posteri attraverso i secoli lo rende immortale. Un magnifico esempio, Giovanni, anche se per seguirlo do- 106 vessi affrontare qualche pericolo; io, comunque, ti assicuro anche il perdono dei romani, e poiché si deve badare chi è a 107 dare un consiglio e da dove viene, ricordati che è un connazionale ad esortarti, che sono un giudeo io che ti do questa assicurazione. Preferirei morire anziché trasformarmi in uno di quegli schiavi abbietti che rinnegano la loro stirpe e si dimenticano della patria. Ma tu di nuovo vai sulle furie e mi 108 gridi le tue ingiurie, che del resto ben mi merito perché con i miei consigli voglio contrastare il destino e mi sforzo di salvare quelli che il dio ha condannato. Chi ignora ciò che fu 109 scritto dagli antichi profeti, e l'oracolo che incombe su questa misera città e che sta ormai per avverarsi[6]? Predissero che essa sarebbe stata espugnata quando qualcuno avesse cominciato a far strage dei suoi connazionali. La città e il tempio 110 intero non sono ora ricolmi dei cadaveri delle vostre vittime? È il dio, è certamente il dio in persona che insieme coi romani[7] vi porta il fuoco purificatore e distrugge la città con il suo enorme carico di nefandezze».

2, 2. ταῦτα λέγων ὁ Ἰώσηπος μετ᾽ ὀδυρμοῦ καὶ δα- 111
κρύων λυγμῷ τὴν φωνὴν ἐνεκόπη. καὶ Ῥωμαῖοι μὲν ᾠκτει- 112
ράν τε τοῦ πάθους καὶ τῆς προαιρέσεως αὐτὸν ἐθαύμασαν,
οἱ δὲ περὶ τὸν Ἰωάννην παρωξύνοντο μᾶλλον ἐπὶ τοὺς
65 Ῥωμαίους ἐπιθυμοῦντες ἐγκρατεῖς γενέσθαι κἀκείνου. τῶν 113
γε μὴν εὐγενῶν πολλοὺς ἐκίνησεν ὁ λόγος, καὶ τινὲς μὲν
ὀρρωδοῦντες τὰς φυλακὰς τῶν στασιαστῶν κατὰ χώραν
ἔμενον, ἀπώλειαν μέντοι σφῶν τε αὐτῶν καὶ τῆς πόλεως
κατεγνώκεσαν, εἰσὶ δ᾽ οἳ καιροφυλακήσαντες ἄδειαν ἀνα-
70 χωρήσεως πρὸς τοὺς Ῥωμαίους κατέφυγον. ὧν ἦσαν ἀρ- 114
χιερεῖς μὲν Ἰώσηπός τε καὶ Ἰησοῦς, υἱοὶ δ᾽ ἀρχιερέων
τρεῖς μὲν Ἰσμαήλου τοῦ καρατομηθέντος ἐν Κυρήνῃ, καὶ
τέσσαρες Ματθίου καὶ εἷς ἑτέρου Ματθίου, διαδρὰς μετὰ
τὴν τοῦ πατρὸς ἀπώλειαν, ὃν ὁ τοῦ Γιώρα Σίμων ἀπέ-
75 κτεινεν σὺν τρισὶν υἱοῖς, ὡς προείρηται. πολλοὶ δὲ καὶ τῶν
ἄλλων εὐγενῶν τοῖς ἀρχιερεῦσι συμμετεβάλοντο. Καῖσαρ 115
δ᾽ αὐτοὺς τά τε ἄλλα φιλοφρόνως ἐδέξατο καὶ γινώσκων
ἀλλοφύλοις ἤθεσιν ἀηδῆ τὴν διατριβὴν ἕξειν ἀπέπεμψεν αὐ-
τοὺς εἰς Γόφναν, τέως ἐκεῖ παραινῶν μένειν· ἀποδώσειν
80 γὰρ ἑκάστῳ τὰς κτήσεις κατὰ σχολὴν ἀπὸ τοῦ πολέμου
γενόμενος. οἱ μὲν οὖν εἰς τὸ δοθὲν πολίχνιον μετὰ πάσης 116
ἀσφαλείας ἀνεχώρουν ἄσμενοι· μὴ φαινομένων δ᾽ αὐτῶν
διεφήμισαν οἱ στασιασταὶ πάλιν ὡς ἀποσφαγεῖεν ὑπὸ Ῥω-
μαίων οἱ αὐτόμολοι, δηλονότι τοὺς λοιποὺς ἀποτρέποντες
85 τῷ φόβῳ διαδιδράσκειν. ἤνυστο δ᾽ ὡς καὶ πρότερον αὐτοῖς 117
τὸ πανούργημα πρὸς καιρόν· ἐπεσχέθησαν γὰρ ὑπὸ τοῦ
δέους αὐτομολεῖν.

2, 3. αὖθις δ᾽ ὡς ἀνακαλέσας τοὺς ἄνδρας ἀπὸ τῆς 118
Γόφνα Τίτος ἐκέλευσε μετὰ τοῦ Ἰωσήπου περιελθόντας

61. ὀδυρμοῦ: ὀδυρμῶν (sic) τε L 73. τέσσαρες: τέσσαρεις P τέσσαρις A τέταρτος VRC 76. ἄλλων: om. C Lat | συμμετεβάλοντο: συνμετεβάλοντο PA[1] συμμεταβάλλοντο LVRC 83. διεφήμισαν: διεφήμησαν PALV[1]R 84. ἀποτρέποντες: ἀπέτρεπον VR 85. ἤνυστο: ἤνυσεν L 86. πανούργημα: πανοῦργον PAMVR

2, 2. Mentre Giuseppe cosí parlava fra gemiti e lacrime, i 111
singhiozzi gli troncarono la voce. I romani provarono a un 112
tempo compassione per il suo dolore e ammirazione per il
suo modo di pensare; invece gli uomini di Giovanni s'ina-
sprirono ancor piú contro i romani per la voglia che avevano
di mettere le mani addosso a Giuseppe. Il discorso di costui 113
impressionò molti dei nobili, fra i quali taluni per paura della
vigilanza dei ribelli non si mossero, sebbene fossero sicuri
della fine che attendeva loro e la città, mentre altri, approfit-
tando di qualche buona occasione per fuggire, ripararono
presso i romani. Fra gli altri fuggirono i sommi sacerdoti 114
Giuseppe e Gesú, e alcuni figli di sommi sacerdoti come tre
figli[8] dell'Ismaele che fu decapitato a Cirene, quattro di
Mattia e uno di un altro Mattia; questi era fuggito dopo la
rovina del padre, che, come sopra abbiamo detto, Simone
figlio di Ghiora aveva fatto uccidere insieme con tre figli.
Con i sommi sacerdoti fuggirono anche numerosi altri nobili.
Cesare non soltanto li accolse benevolmente, ma sapendo che 115
per la diversità delle abitudini non avrebbero avuto un sog-
giorno piacevole tra gente straniera, li mandò a Gofna invi-
tandoli per il momento a trattenersi colà; dopo la fine della
guerra, appena gli fosse stato possibile, avrebbe reintegrato
ciascuno nei suoi beni. Quelli, dunque, si ritirarono ben volen- 116
tieri e tranquillamente nella cittadina loro assegnata; ma, poi-
ché erano scomparsi dalla circolazione, i ribelli sparsero nuo-
vamente la voce che i disertori erano stati trucidati dai romani,
evidentemente per scoraggiare con tale paura chiunque altro
pensasse alla fuga. Come già prima, l'astuzia per un poco 117
fece effetto perché il timore trattenne chi voleva disertare.

2, 3. Piú tardi però Tito li richiamò da Gofna e volle che 118
insieme con Giuseppe girassero attorno alle mura per farsi

www.scribd.com/Cultura_in_Ita5

90 τὸ τεῖχος ὀφθῆναι τῷ δήμῳ, πλεῖστοι πρὸς τοὺς Ῥωμαίους
ἔφευγον. γινόμενοι δ' ἀθρόοι καὶ πρὸ τῶν Ῥωμαίων ἱ- 119
στάμενοι μετ' οἰμωγῆς καὶ δακρύων ἱκέτευον τοὺς στασιαστὰς
τὸ μὲν πρῶτον ὅλῃ τοὺς Ῥωμαίους δέξασθαι τῇ πόλει
καὶ τὴν πατρίδα σῶσαι πάλιν, εἰ δὲ μή, τοῦ γε ἱεροῦ πάντως 120
95 ὑπεξελθεῖν καὶ ῥύσασθαι τὸν ναὸν αὐτοῖς· οὐ γὰρ ἂν τολ-
μῆσαι Ῥωμαίους μὴ μετὰ μεγίστης ἀνάγκης καταφλέξαι
τὰ ἅγια. τούτοις μᾶλλον ἀντεφιλονείκουν, καὶ πολλὰ βλά- 121
σφημα τοῖς αὐτομόλοις ἀντικεκραγότες ἐπὶ τῶν ἱερῶν πυλῶν
τούς τε ὀξυβελεῖς καὶ καταπέλτας καὶ λιθοβόλους μηχανὰς
100 διέστησαν, ὡς τὸ κύκλῳ μὲν ἱερὸν ἀπὸ πλήθους νεκρῶν
προσεοικέναι πολυανδρίῳ, τὸν δὲ ναὸν αὐτὸν φρουρίῳ. τοῖς 122
δ' ἁγίοις καὶ ἀβάτοις μετὰ τῶν ὅπλων εἰσεπήδων θερμὰς
ἔτι τὰς χεῖρας ἐξ ὁμοφύλων ἔχοντες φόνων, καὶ προύκοψαν
εἰς τοσοῦτον παρανομίας, ὥσθ' ἣν ἂν εἰκὸς ἀγανάκτησιν
105 γενέσθαι Ἰουδαίων, εἰ Ῥωμαῖοι ταῦτ' ἐξυβρίζοιεν εἰς αὐ-
τούς, ταύτην εἶναι παρὰ Ῥωμαίων τότε πρὸς Ἰουδαίους
ἀσεβοῦντας εἰς τὰ ἴδια. τῶν μέν γε στρατιωτῶν οὐκ ἔστιν 123
ὅστις οὐ μετὰ φρίκης εἰς τὸν ναὸν ἀφεώρα καὶ προσεκύνει
τούς τε λῃστὰς ηὔχετο πρὶν ἀνηκέστου πάθους μετανοῆσαι.
110 **2,** 4. Τίτος δὲ ὑπερπαθήσας πάλιν ἐξωνείδιζε τοὺς περὶ 124
τὸν Ἰωάννην, λέγων «ἆρ' οὐχ ὑμεῖς, ὦ μιαρώτατοι, τὸν
δρύφακτον τοῦτον προυβάλεσθε τῶν ἁγίων; οὐχ ὑμεῖς δὲ 125
τὰς ἐν αὐτῷ στήλας διεστήσατε, γράμμασιν Ἑλληνικοῖς
καὶ ἡμετέροις κεχαραγμένας, μηδένα τὸ γείσιον ὑπερβαίνειν
115 παραγγέλλειν; οὐχ ἡμεῖς δὲ τοὺς ὑπερβάντας ὑμῖν ἀναιρεῖν 126
ἐπετρέψαμεν, κἂν Ῥωμαῖός τις ᾖ; τί οὖν νῦν, ἀλιτήριοι,
καὶ νεκροὺς ἐν αὐτῷ καταπατεῖτε; τί δὲ τὸν ναὸν αἵματι

90. τοὺς: om. P 91. ἔφευγον: προσέφευγον P | γινόμενοι: γενόμενοι P 94. πάλιν: fortasse corruptum 103. ὁμοφύλων ἔχοντες φόνων: ὁμοφύλου φέροντες φόνου L 104. εἰκὸς: εἰκὸς ἦν MVRC 105. ἐξυβρίζοιεν: ἐξύβριζον P ἐξυβρίζειεν C 110. ἐξωνείδιζε: ἐξονείδιζε AC[1] ἐξωνειδίζετο VR 112. προυβάλεσθε: προεβάλλεσθαι L προυβάλλεσθε C 114. μηδένα: ἃ μηδένα MV[2] πρῶτον μηδένα L ὡς μηδένα V[1]RC 115. παραγγέλλειν: παραγγέλλει MVRC 116. ᾖ: εἴ PL

vedere dal popolo, e allora furono moltissimi quelli che fug-
girono presso i romani. Raccoltisi tutti insieme e collocatisi 119
dinanzi alle linee dei romani, con gemiti e lacrime supplicavano
i ribelli di voler anzitutto far entrare i romani in tutta quanta
la città e salvare cosí la patria; o se no, di abbandonare il 120
tempio e di conservarselo per loro, giacché i romani non avreb-
bero ardito di appiccare il fuoco ai luoghi santi se non in
caso di estrema necessità. A tali parole quelli s'irritarono an- 121
cora di piú, e rispondendo ai disertori con molte grida ingiu-
riose collocarono sopra alle sacre porte gli scorpioni, le ca-
tapulte e le macchine lanciamissili, sí che l'area circostante il
tempio per il gran numero dei morti sembrava un cimitero,
e il tempio un fortilizio. Entro quei luoghi santi e inaccessi- 122
bili essi penetravano con le armi in pugno e le mani ancora
calde del sangue dei connazionali uccisi, e giunsero a tal
punto di scelleratezza, che lo sdegno che ben a ragione i
giudei avrebbero concepito contro i romani se costoro si
fossero macchiati di simili nefandezze a loro danno, lo conce-
pivano allora i romani contro i giudei per la profanazione che
essi facevano dei loro luoghi santi. E in realtà non v'era soldato 123
romano[9] che non volgesse lo sguardo al tempio senza un
sentimento di religioso timore, di venerazione e di augurio
che i ribelli si ravvedessero prima di un disastro irreparabile.

2, 4. Tito, in preda alla piú viva costernazione, rivolse 124
ancora una volta le sue rampogne agli uomini di Giovanni:
« Non foste proprio voi, sporchi profanatori, a innalzare que-
sta balaustra dinanzi ai luoghi sacri? A mettervi tutte le lapidi 125
che recano inciso in lingua greca e in lingua nazionale il di-
vieto per chiunque di oltrepassarla[10]? E non vi abbiamo noi 126
permesso di mettere a morte chi l'avesse oltrepassata, anche
se si fosse trattato di un romano? E perché ora, o infami,
calpestate all'interno di essa perfino i morti? Perché contami-

ξένῳ καὶ ἐγχωρίῳ φύρετε; μαρτύρομαι θεοὺς ἐγὼ πατρίους καὶ εἴ τις ἐφεώρα ποτὲ τόνδε τὸν χῶρον, νῦν μὲν γὰρ οὐκ οἴομαι, μαρτύρομαι δὲ καὶ στρατιὰν τὴν ἐμὴν καὶ τοὺς παρ' ἐμοὶ Ἰουδαίους καὶ ὑμᾶς αὐτούς, ὡς οὐκ ἐγὼ ταῦθ' ὑμᾶς ἀναγκάζω μιαίνειν. κἂν ἀλλάξητε τῆς παρατάξεως τὸν τόπον, οὔτε προσελεύσεταί τις Ῥωμαίων τοῖς ἁγίοις οὔτ' ἐνυβρίσει, τηρήσω δὲ τὸν ναὸν ὑμῖν καὶ μὴ θέλουσι».

2, 5. ταῦτα τοῦ Ἰωσήπου διαγγέλλοντος ἐκ τοῦ Καίσαρος, οἱ λῃσταὶ καὶ ὁ τύραννος οὐκ ἀπ' εὐνοίας ἀλλὰ κατὰ δειλίαν γίνεσθαι τὰς παρακλήσεις δοκοῦντες ὑπερηφάνουν. Τίτος δὲ ὡς οὔτε οἶκτον ἑαυτῶν τοὺς ἄνδρας οὔτε φειδὼ τοῦ ναοῦ ποιουμένους ἑώρα, πάλιν πρὸς πόλεμον ἄκων ἐχώρει. πᾶσαν μὲν οὖν τὴν δύναμιν ἐπάγειν αὐτοῖς οὐχ οἷόν τε ἦν μὴ χωρουμένην τῷ τόπῳ, τριάκοντα δ' ἐπιλέξας ἀφ' ἑκάστης ἑκατονταρχίας τοὺς ἀρίστους καὶ τοῖς χιλιάρχοις ἀνὰ χιλίους παραδούς, τούτων δ' ἐπιτάξας ἡγεμόνα Κερεάλιον, ἐπιθέσθαι προσέταξε ταῖς φυλακαῖς περὶ ὥραν τῆς νυκτὸς ἐνάτην. ὄντα δὲ καὶ αὐτὸν ἐν τοῖς ὅπλοις καὶ συγκαταβαίνειν παρεσκευασμένον οἵ τε φίλοι διὰ τὸ μέγεθος τοῦ κινδύνου κατέσχον καὶ τὰ παρὰ τῶν ἡγεμόνων λεγόμενα· πλεῖον γαρ αὐτὸν ἀνύσειν ἔφασαν ἐπὶ τῆς Ἀντωνίας καθεζόμενον καὶ τὴν μάχην ἀγωνοθετοῦντα τοῖς στρατιώταις ἢ εἰ καταβὰς προκινδυνεύοι· πάντας γὰρ ὁρῶντος Καίσαρος ἀγαθοὺς πολεμιστὰς ἔσεσθαι. τούτοις πεισθεὶς Καῖσαρ καὶ δι' ἓν τοῦτο τοῖς στρατιώταις ὑπομένειν εἰπών, ἵνα κρίνῃ τὰς ἀρετὰς αὐτῶν καὶ μήτε τῶν ἀγαθῶν τις ἀγέραστος μήτε τῶν ἐναντίων ἀτιμώρητος διαλάθῃ, γένηται δ' αὐτόπτης καὶ μάρτυς ἁπάντων ὁ καὶ τοῦ κολάζειν καὶ τοῦ τιμᾶν κύριος, τοὺς μὲν ἐπὶ τὴν πρᾶξιν ἔπεμπε καθ'

120. τὴν: om. PAMVRC 129. φειδὼ: φειδώ τινα LVRC 138. κατέσχον: ηντέσχον L 139. πλεῖον: πλέον MLVRC 141. πάντας: πάντα R 143. καὶ δι' ἓν: καὶ δια L διὰ VR 145. γένηται: γίνηται M γίνεται VR

nate il tempio con sangue straniero e nazionale? Io chiamo a testimoni gli dei patri e quel dio che proteggeva un tempo questo luogo, ma ora non piú, credo[11], e chiamo anche a testimoni il mio esercito e i giudei che si sono rifugiati presso di me e voi stessi, che non sono io che vi costringo a profanare questi luoghi santi! Se voi cambierete il campo di battaglia, nessun romano s'avvicinerà al tempio e lo profanerà, ed io preserverò il vostro santuario anche a vostro dispetto».

2, 5. Giuseppe tradusse queste parole di Cesare, ma i ribelli e il loro capo non se ne curarono, pensando che l'esortazione fosse frutto non di benevolenza, ma di paura. E allora Tito, quando vide che quelli né provavano pietà per sé stessi, né intendevano risparmiare il santuario, riprese suo malgrado le operazioni di guerra. Non essendo possibile condurre contro i nemici l'intero esercito per mancanza di spazio, scelse da ciascuna centuria i trenta piú valorosi e, affidatine ogni mille a un tribuno, li pose tutti alle dipendenze di Ceriale con l'ordine di attaccare le sentinelle verso l'ora sesta della notte[12]. Egli stesso si armò e si preparava a scendere insieme con gli altri, ma per la gravità del pericolo glielo impedirono gli amici e i consigli dei generali; costoro infatti affermarono che egli avrebbe concluso di piú standosene sull'Antonia e dirigendo i soldati in combattimento che se fosse sceso a battersi in prima fila, perché tutti avrebbero combattuto col maggior valore possibile sapendo di essere osservati da Cesare[13]. Persuaso da tali argomenti, e avendo fatto sapere ai soldati che l'unica ragione per cui restava era quella di seguire attentamente le loro gesta, sí che nessun valoroso rimanesse senza ricompensa e nessun vigliacco restasse impunito, ma di ogni azione fosse testimone oculare chi aveva il potere di castigare e di premiare, Cesare all'ora stabilita inviò gli uomini

ἣν ὥραν προείρηται, προελθὼν δ' αὐτὸς εἰς τὸ εὐκάτοπτον ἀπὸ τῆς 'Αντωνίας ἐκαραδόκει τὸ μέλλον.

2, 6. οὐ μὴν οἵ γε πεμφθέντες τοὺς φύλακας εὗρον κοιμωμένους, ὡς ἤλπισαν, ἀλλ' ἀναπηδήσασι μετὰ κραυγῆς εὐθέως συνεπλέκοντο· πρὸς δὲ τὴν βοὴν τῶν ἐκκοιτούντων ἔνδοθεν οἱ λοιποὶ κατὰ στῖφος ἐξέθεον. τῶν μὲν δὴ πρώτων τὰς ὁρμὰς ἐξεδέχοντο 'Ρωμαῖοι· περιέπιπτον δ' οἱ μετ' ἐκείνους τῷ σφετέρῳ τάγματι, καὶ πολλοὶ τοῖς οἰκείοις ὡς πολεμίοις ἐχρῶντο. τὴν μὲν γὰρ διὰ βοῆς ἐπίγνωσιν ἡ κραυγὴ συγχυθεῖσα παρ' ἀμφοῖν, τὴν δὲ δι' ὀμμάτων ἡ νὺξ ἕκαστον ἀφείλετο, καὶ τυφλώττειν ἄλλως οὓς μὲν οἱ θυμοὶ παρεσκεύαζον οὓς δ' οἱ φόβοι· διὰ τοῦτο τὸν προστυχόντα πλήττειν ἦν ἄκριτον. 'Ρωμαίους μὲν οὖν συνησπικότας καὶ κατὰ συντάξεις προπηδῶντας ἧττον ἔβλαπτεν ἡ ἄγνοια· καὶ γὰρ ἦν παρ' ἑκάστῳ μνήμη τοῦ συνθήματος· 'Ιουδαῖοι δ' ἀεὶ σκεδαννύμενοι καὶ τάς τε προσβολὰς καὶ τὰς ὑποχωρήσεις ἀνέδην ποιούμενοι πολλάκις φαντασίαν παρεῖχον ἀλλήλοις πολεμίων· τὸν ὑποστρέφοντα γὰρ ἕκαστος οἰκεῖον διὰ σκότους ὡς ἐπιόντα 'Ρωμαῖον ἐξεδέχετο. πλείους γοῦν ὑπὸ τῶν ἰδίων ἢ τῶν πολεμίων ἐτρώθησαν, ἕως ἡμέρας γενομένης ὄψει τὸ λοιπὸν ἡ μάχη διεκρίνετο, καὶ κατὰ φάλαγγα διαστάντες τοῖς τε βέλεσιν εὐτάκτοις ἐχρῶντο καὶ ταῖς ἀμύναις. οὐδέτεροι δὲ οὔτ' εἶκον οὔτ' ἐκοπίων, ἀλλ' οἱ μὲν ὡς ἐφορῶντος Καίσαρος κατ' ἄνδρα καὶ κατὰ συντάξεις ἤριζον ἀλλήλοις, καὶ προκοπῆς ἕκαστος ἐκείνην αὐτῷ τὴν ἡμέραν ἄρξειν ὑπελάμβανεν, εἰ γενναίως ἀγωνίσαιτο· 'Ιουδαίοις δ' ἐβράβευε τὰς τόλμας ὅ τε περὶ σφῶν αὐτῶν καὶ τοῦ ἱεροῦ φόβος καὶ ὁ τύραννος ἐφεστὼς καὶ τοὺς μὲν παρακαλῶν, τοὺς δὲ μαστιγῶν καὶ διεγείρων ἀπειλαῖς. συν-

148. ὥραν προείρηται: ὥραν καὶ προείρηται VRC 151. ἀναπεδήσασι: ἀναπεδήσαντες MVR 154. πρώτων: πρῶτον A¹L 158. ἀφείλετο: ἀφείλατο PA¹V¹R 160. προστυχόντα: προστοιχόντα C 162. ἡ: om. LVRC 164. ὑποχωρήσεις: ἀποχωρήσεις PA 166. 'Ρωμαῖον: ῥωμαίων PA 171. Καίσαρος: τίτου AMLVRC

all'assalto e, situatosi sull'Antonia in un luogo donde la vista poteva spaziare, rimase in attesa degli eventi.

2, 6. I soldati inviati all'attacco non trovarono però addormentate le sentinelle, come avevano sperato; queste immediatamente balzarono in piedi urlando e si scatenò la battaglia, mentre alle loro grida accorrevano a ondate tutti gli altri. I romani resistettero al contrattacco dei primi, e quando sopraggiunsero gli altri, questi piombarono sulla schiera dei loro e molti si scagliarono sui compagni credendo che fossero nemici. Infatti il confuso clamore che si levava da entrambe le parti impediva di riconoscersi alla voce, cosí come la notte impediva di vedere; del resto erano accecati chi dal furore, chi dalla paura e perciò senza badare menavano colpi a chi capitava vicino. I romani, che avevano congiunti i loro scudi e attaccavano a ranghi serrati, pativano minor danno dalla confusione, anche perché ognuno si ricordava la parola d'ordine[14]; i giudei, invece, che non formavano una schiera ordinata, e avanzavano o retrocedevano ciascuno come capitava, spesso si diedero l'un l'altro l'impressione di essere nemici, e nell'oscurità chi di loro si ritirava veniva scambiato per un romano all'assalto. In tal modo ne furono feriti piú dai compagni che dai nemici finché, spuntato il giorno, la battaglia continuò a vista e le due schiere, separatesi, fecero uso ordinatamente delle armi da getto e da difesa. Nessuna di esse cedeva o dava segno di stanchezza: i romani, sotto lo sguardo di Cesare, gareggiavano fra loro singolarmente e per gruppi, e ognuno pensava che quel giorno con un atto di valore poteva guadagnarsi la promozione; i giudei erano sospinti all'audacia dalla paura per loro stessi e per il tempio nonché dalla presenza del loro capo[15], che ora incoraggiava uno, ora sferzava e pungolava un altro con le minacce. La conseguenza fu che

ἔβαινε δὲ τὸ μὲν πλεῖστον σταδαίαν εἶναι τὴν μάχην, ἐν
ὀλίγῳ δὲ καὶ ταχέως ἀντιστρέφεσθαι τὰς ῥοπάς· οὐδέτεροι
γὰρ οὔτε φυγῆς οὔτε διώξεως μῆκος εἶχον. ἀεὶ δὲ πρὸς τὸ 145
180 συμβαῖνον οἰκεῖος ἀπὸ τῆς Ἀντωνίας ὁ θόρυβος ἦν, θαρ-
ρεῖν δὲ καὶ κρατοῦσι τοῖς σφετέροις ἐπεβόων καὶ μένειν
τρεπομένοις. ἦν δ' ὥσπερ τι πολέμου θέατρον· οὐδὲν γὰρ 146
οὔτε Τίτον οὔτε τοὺς περὶ αὐτὸν ἐλάνθανε τῶν κατὰ τὴν
μάχην. τὸ δὲ πέρας, ἀρξάμενοι τῆς νυκτὸς ἐνάτης ὥρας 147
185 περὶ πέμπτην τῆς ἡμέρας διελύθησαν, ἀφ' οὗπερ ἤρξαντο
τόπου τῆς συμβολῆς μηδέτεροι βεβαίως κλίναντες τοὺς ἑτέ-
ρους, ἀλλὰ τὴν νίκην μέσην ἐν ἀγχωμάλῳ καταλιπόντες.
καὶ Ῥωμαίων μὲν ἐπισήμως ἠγωνίσαντο πολλοί, Ἰουδαίων 148
δ' ἐκ μὲν τῶν περὶ Σίμωνα Ἰούδης ὁ τοῦ Μαρεώτου καὶ
190 Σίμων ὁ τοῦ Ὀσαΐα, τῶν δὲ Ἰδουμαίων Ἰάκωβος καὶ
Σίμων, Ἀκατελᾶ μὲν οὗτος παῖς, Σωσᾶ δὲ ὁ Ἰάκωβος,
τῶν δὲ μετὰ Ἰωάννου Γεφθαῖος καὶ Ἀλεξᾶς, τῶν δὲ ζηλω-
τῶν Σίμων υἱὸς Ἀρί.

2, 7. ἐν τούτῳ δ' ἡ λοιπὴ τῶν Ῥωμαίων δύναμις ἡμέ- 149
195 ραις ἑπτὰ καταστρεψαμένη τοὺς τῆς Ἀντωνίας θεμελίους
μέχρι τοῦ ἱεροῦ πλατεῖαν ἄνοδον εὐτρεπίσαντο. πλησιάσαντα 150
δε τῷ πρώτῳ περιβόλῳ τὰ τάγματα κατήρχετο χωμάτων,
τὸ μὲν ἀντικρὺς τῆς τοῦ εἴσω ἱεροῦ γωνίας, ἥτις ἦν κατ'
ἄρκτον καὶ δύσιν, τὸ δὲ κατὰ τὴν βόρειον ἐξέδραν, ἣ μεταξὺ
200 τῶν δύο πυλῶν ἦν· τῶν δὲ λοιπῶν δύο θάτερον μὲν κατὰ 151
τὴν ἑσπέριον στοὰν τοῦ ἔξωθεν ἱεροῦ, τὸ δ' ἕτερον ἔξω
κατὰ τὴν βόρειον. προύκοπτεν μέντοι μετὰ πολλοῦ καμάτου
καὶ ταλαιπωρίας αὐτοῖς τὰ ἔργα καὶ τὴν ὕλην ἀφ' ἑκατὸν
σταδίων συγκομίζουσιν, ἐκακοῦντο δ' ἔσθ' ὅπη καὶ κατ' 152

180. οἰκεῖος: οἰκείοις PAVR τοῖς οἰκείοις M om. L 182. τρεπομένοις: προτρεπομένοις PM 185. περὶ Niese ὑπὲρ codd. 187. καταλιπόντες: καταλειπόντες P τῇ παρατάξει καταλιπόντες AMLVRC (καταλειπόντες A) 191. Ἀκατελᾶ: ἀκατελά PA νακατελᾶ MV νακάτελα R κατθαία L καθλᾶ C cfr. V 249 196. ἄνοδον: ὁδὸν PM 203. καί[2]: om. C

lo scontro ebbe in massima un andamento statico e che i movimenti in avanti e all'indietro si susseguirono in breve spazio e rapidamente, perché nessuna delle due parti aveva campo sufficiente né per fuggire né per inseguire. Intanto dal- 145 l'Antonia si levava un continuo clamore ad accompagnare i vari episodi della battaglia, grida di evviva quando i compagni vincevano, d'incoraggiamento quando avevano la peggio. Sembrava di assistere in teatro a una scena di guerra, e sia 146 Tito sia il suo seguito non perdevano nemmeno un particolare dello scontro. Dopo essersi battuti a cominciare dall'ora 147 nona della notte, finalmente verso l'ora quinta del giorno si separarono senza che nessuno dei due contendenti fosse riuscito a sloggiare l'avversario dalle posizioni iniziali e lasciando indecisa la vittoria. Dei romani furono molti quelli che si segna- 148 larono; dalla parte dei giudei fra gli uomini di Simone Giude figlio di Mareotes e Simone figlio di Osaias, fra gli Idumei Giacomo e Simone, questo figlio di Acatelas e Giacomo figlio di Sosas, fra gli uomini di Giovanni Gefteo e Alexas, fra gli Zeloti Simone figlio di Ari[16].

2, 7. Intanto il resto dell'esercito romano, demolite in sette 149 giorni[17] le fondamenta dell'Antonia, aveva spianato un'ampia via per salire al tempio. Accostatesi al primo muro, le legioni 150 cominciarono a innalzare terrapieni: uno di fronte all'angolo nord-occidentale del tempio interno, un altro dirimpetto all'esedra settentrionale che stava fra le due porte; degli altri 151 due terrapieni uno fu innalzato di contro al portico occidentale del tempio esterno, l'ultimo esternamente contro il portico settentrionale[18]. Ma il lavoro progrediva a gran pena e fatica perché dovevano trasportarsi il legname da cento stadi di distanza[19], e talvolta subirono perdite perché, sentendosi 152

ἐπιβουλάς, αὐτοὶ διὰ περιουσίαν τοῦ κρατεῖν ὄντες ἀδεέστεροι καὶ δι' ἀπόγνωσιν ἤδη σωτηρίας χρώμενοι τολμηροτέροις τοῖς Ἰουδαίοις. τῶν γὰρ ἱππέων τινὲς ὁπότε προέλθοιεν ἐπὶ ξυλείαν ἢ χόρτου συλλογήν, τὸν τῆς συγκομιδῆς χρόνον ἀνίεσαν βόσκεσθαι τοὺς ἵππους ἀποχαλινοῦντες, οὓς οἱ Ἰουδαῖοι κατὰ στῖφος ἐκπηδῶντες ἥρπαζον. καὶ τούτου συνεχῶς γινομένου νομίσας Καῖσαρ, ὅπερ ἦν, ἀμελείᾳ τῶν σφετέρων πλέον ἢ τῇ Ἰουδαίων ἀνδρείᾳ γίνεσθαι τὰς ἁρπαγάς, ἔγνω σκυθρωπότερον τοὺς λοιποὺς πρὸς φυλακὴν τῶν ἵππων ἐπιστρέψαι. καὶ κελεύσας ἀπαχθῆναι τὴν ἐπὶ θανάτῳ τῶν ἀπολεσάντων στρατιωτῶν ἕνα, φόβῳ τοῖς ἄλλοις ἐτήρησε τοὺς ἵππους· οὐκέτι γὰρ εἴων νέμεσθαι, καθάπερ δὲ συμπεφυκότες αὐτοῖς ἐπὶ τὰς χρείας ἐξῄεσαν. οἱ μὲν οὖν προσεπολέμουν τῷ ἱερῷ καὶ τὰ χώματα διήγειρον.

2, 8. μετὰ δὲ μίαν ἡμέραν αὐτῶν τῆς ἀνόδου πολλοὶ τῶν στασιαστῶν, οἷς ἁρπαγαί τε ἐπέλειπον ἤδη καὶ ὁ λιμὸς ἤπειγε, συνελθόντες ταῖς κατὰ τὸ Ἐλαιῶν ὄρος Ῥωμαίων φυλακαῖς ἐπιτίθενται περὶ ὥραν ἑνδεκάτην τῆς ἡμέρας, οἰόμενοι πρῶτον μὲν ἀδοκήτων, ἔπειτα πρὸς θεραπείαις ἤδη τοῦ σώματος ὄντων ῥᾳδίως διεκπαίσειν. προαισθόμενοι δὲ τὴν ἔφοδον αὐτῶν οἱ Ῥωμαῖοι καὶ ταχέως ἐκ τῶν πλησίον φρουρίων συνδραμόντες εἶργον ὑπερπηδᾶν καὶ διακόπτειν τὸ περιτείχισμα βιαζομένους. γενομένης δὲ καρτερᾶς τῆς συμβολῆς ἄλλα τε πολλὰ παρ' ἑκατέρων γενναίως ἐπράχθη, Ῥωμαίων μὲν μετὰ τῆς ἰσχύος ἐμπειρίᾳ τοῦ πολεμεῖν χρωμένων, Ἰουδαίων δ' ἀφειδέσι ταῖς ὁρμαῖς καὶ τοῖς θυμοῖς ἀκατασχέτοις· ἐστρατήγει δὲ τῶν μὲν αἰδώς, τῶν δ' ἀνάγκη· τό τε γὰρ ἐξαφεῖναι Ἰουδαίους ὥσπερ ἄρκυσιν ἐνειλημένους

205-6. ἀδεέστεροι: ἀηδέστεροι M 208. συγκομιδῆς: κομιδῆς MLVRC 209. οἱ: om. ML 213-4. ἵππων: ἱππέων PMLVRC 214. θανάτῳ: θανάτῳ τινὰς PAMVR 215. ἕνα, φόβῳ: ἐν ἀφόβῳ PAMLVR 218. διήγειρον: διήγειραν PAMVRC 223. θεραπείαις Niese θεραπείας codd. 224. διεκπαίσειν Destinon διεκπαίειν PAMLVR διεκπεσεῖν C 229-30. χρωμένων: χρωμένους L 232. ἐνειλημένους Destinon ἐνειλημμένους codd.

troppo sicuri della loro superiorità, incapparono in qualche imboscata, mentre all'opposto trovavano i giudei resi ancora piú audaci dal non aver piú speranza di salvezza. Cosí, per esempio, alcuni cavalieri inviati a raccogliere legna o foraggio, mentre erano al lavoro usavano sfrenare i cavalli per lasciarli pascolare, e i giudei glieli portavano via con colpi di mano eseguiti da gruppi nutriti. La cosa si ripeté piú volte finché Cesare, avendo compreso che le razzie – come realmente era – avevano successo piú per la trascuratezza dei suoi uomini che per la bravura dei giudei, decise di ricorrere a un atto di severità per richiamare tutti gli altri a una piú attenta vigilanza dei cavalli. E avendo dato ordine di mettere a morte uno dei soldati che aveva perduto la sua cavalcatura, ottenne che per la paura gli altri stessero ben attenti alle loro bestie; infatti non le lasciavano piú pascolare liberamente, ma in ogni necessità le seguivano come se fossero tutt'uno con quelle. I romani, dunque, sviluppavano il loro attacco al tempio e innalzavano i terrapieni.

2, 8. Il giorno successivo a quello in cui il grosso dei romani era salito verso il tempio[20], molti dei ribelli, poiché ormai non v'era piú nulla da depredare e la fame li incalzava, si raccolsero insieme e verso l'ora undecima del giorno[21] si scagliarono contro le sentinelle romane sul monte degli Olivi, pensando anzitutto di coglierle di sorpresa e poi di trovarle intente alla cura della persona, sí da poterle superare senza difficoltà. Ma i romani si accorsero in tempo del loro assalto e, accorrendo immediatamente dai vicini fortilizi[22], resero vani i loro sforzi di scavalcare o di abbattere la palizzata della circonvallazione. Scatenatasi una violenta battaglia, dall'una e dall'altra parte furono compiuti molti atti di valore, i romani facendo sfoggio della loro potenza unita alla perizia militare, i giudei attaccando senza risparmiarsi e con slancio irrefrenabile. Gli uni ubbidivano al sentimento dell'onore, gli altri alla necessità; i romani consideravano la piú cocente delle umi-

Ῥωμαίοις αἴσχιστον ἐδόκει, κἀκεῖνοι μίαν ἐλπίδα σωτηρίας εἶχον, εἰ βιασάμενοι ῥήξειαν τὸ τεῖχος· καὶ τῶν ἀπὸ σπεί- 161
235 ρας τις ἱππέων, Πεδάνιος τοὔνομα, τρεπομένων ἤδη τῶν Ἰουδαίων καὶ κατὰ τῆς φάραγγος συνωθουμένων, ῥόθιον ἐκ πλαγίου παρελαύνων τὸν ἵππον ἁρπάζει τινὰ φεύγοντα τῶν πολεμίων, νεανίαν στιβαρόν τε ἄλλως τὸ σῶμα καὶ καθωπλισμένον, δραξάμενος ἐκ τοῦ σφυροῦ· τοσοῦτον μὲν ἑαυτὸν 162
240 ἐκ τρέχοντος ἐπέκλινε τοῦ ἵππου, τοσοῦτον δ' ἐπεδείξατο τῆς δεξιᾶς τὸν τόνον καὶ τοῦ λοιποῦ σώματος ἔτι δ' ἐμπειρίαν ἱππικῆς. ὁ μὲν οὖν ὥσπερ τι κειμήλιον ἁρπασάμενος 163 ἧκε φέρων Καίσαρι τὸν αἰχμάλωτον· Τίτος δὲ τὸν μὲν λαβόντα τῆς δυνάμεως θαυμάσας, τὸν δὲ ληφθέντα τῆς περὶ
245 τὸ τεῖχος ἐπιχειρήσεως κολάσαι κελεύσας, αὐτὸς ἐν ταῖς περὶ τὸ ἱερὸν διαμάχαις ἦν καὶ τὰ χώματα κατήπειγεν.

2, 9. ἐν ᾧ Ἰουδαῖοι κακούμενοι ταῖς συμβολαῖς, ἀεὶ κατ' 164 ὀλίγον κορυφουμένου τοῦ πολέμου καὶ τῷ ναῷ προσέρποντος, καθάπερ σηπομένου σώματος ἀπέκοπτον τὰ προειλημ-
250 μένα μέλη φθάνοντες τὴν εἰς τὸ πρόσω νομήν. τῆς γὰρ βο- 165 ρείου καὶ κατὰ δύσιν στοᾶς τὸ συνεχὲς πρὸς τὴν Ἀντωνίαν ἐμπρήσαντες ἔπειτα ἀπέρρηξαν ὅσον πήχεις εἴκοσι, ταῖς ἰδίαις χερσὶν ἀρξάμενοι καίειν τὰ ἅγια. μετὰ δ' ἡμέρας δύο, 166 τετράδι καὶ εἰκάδι τοῦ προειρημένου μηνός, τὴν πλησίον
255 στοὰν ὑποπιμπρᾶσι Ῥωμαῖοι, καὶ μέχρι πεντεκαίδεκα πηχῶν προκόψαντος τοῦ πυρὸς ἀποκόπτουσιν ὁμοίως Ἰουδαῖοι τὴν ὀροφήν, μήτε καθάπαν ἐξιστάμενοι τῶν ἔργων καὶ τὸ πρὸς τὴν Ἀντωνίαν συναφὲς αὐτῶν διαιροῦντες· διὸ καὶ 167 παρὸν κωλύειν ὑποπιμπράντας, οἱ δὲ πρὸς τὴν ἐμβολὴν τοῦ
260 πυρὸς ἠρεμήσαντες τὴν νομὴν ἐμέτρησαν τῷ σφίσι χρησίμῳ.

241. τῆς: τῆς τε AVRC 241-2 ἐμπειρίαν Thackeray ἐμπειρίας codd. 247. Ἰουδαῖοι: Ἰουδαῖοι μὲν L 250. μέλη: μέρη L 255. ὑποπιμπρᾶσι: ὑποπιμπρῶσι MVR ὑποπιπρῶσι C 257. καθάπαν: καθάπαξ PAM 260. τῷ σφίσι χρησίμῳ Niese αὐτῷ σφίσι χρησίμῳ codd.

liazioni se avessero lasciato sfuggire i giudei che erano ormai come stretti in una rete, mentre i giudei non vedevano altra via di scampo se non quella di abbattere la linea di circonvallazione. Un soldato a cavallo di una coorte, di nome Pedanio, 161 quando ormai i giudei si stavano ritirando ed erano incalzati giú per il burrone, spronando al galoppo il suo cavallo contro il fianco dei nemici in fuga ne afferrò uno, un giovane robusto e tutto ricoperto di armi, prendendolo per la caviglia: a tal 162 punto si sbilanciò dal cavallo in corsa, e tanta fu la forza della destra e del resto del corpo e la perizia nel cavalcare di cui fece sfoggio! Come se si fosse impadronito di un oggetto 163 prezioso, andò a consegnare a Cesare il prigioniero, e Tito si complimentò con lui per la sua gagliardia e ordinò che il prigioniero fosse punito[23] per il tentativo di assalto alla circonvallazione; quindi dedicò le sue cure alla battaglia per il tempio e alla sollecita costruzione dei terrapieni.

2, 9. Fu allora che i giudei, sotto il peso delle perdite su- 164 bite negli scontri, e visto che la guerra a poco a poco si avviava inesorabilmente al suo culmine e stava per raggiungere il tempio, amputarono come da un corpo in disfacimento le membra già infette per impedire gli sviluppi del male. Essi, 165 cioè, appiccarono il fuoco alla parte nord-occidentale del portico, che era congiunta con l'Antonia, e poi ne abbatterono circa una ventina di cubiti cominciando cosí a incendiare i luoghi santi con le loro stesse mani[24]. Due giorni dopo, il 166 ventiquattro del mese sopra detto, i romani incendiarono sull'altro lato il portico, e quando il fuoco si era propagato per quindici cubiti i giudei ne abbatterono allo stesso modo il tetto, senza avere alcun riguardo per quelle opere e troncando la loro continuità con la Antonia. Fu con tale intenzione che 167 essi, pur potendolo impedire, lasciarono che l'incendio divampasse nella misura che giovava alla loro difesa. Intorno al 168

περὶ μὲν δὴ τὸ ἱερὸν οὐ διέλειπον αἱ συμβολαί, συνεχὴς δ' ἦν κατὰ μέρος ἐκθεόντων ἐπ' ἀλλήλους ὁ πόλεμος.

2, 10. τῶν Ἰουδαίων δέ τις κατὰ ταύτας τὰς ἡμέρας ἀνὴρ τό τε σῶμα βραχὺς καὶ τὴν ὄψιν εὐκαταφρόνητος, γένους θ' ἕνεκα καὶ τῶν ἄλλων ἄσημος, Ἰωνάθης ἐκαλεῖτο, προελθὼν κατὰ τὸ τοῦ ἀρχιερέως Ἰωάννου μνημεῖον ἄλλα τε πολλὰ πρὸς τοὺς Ῥωμαίους ὑπερηφάνως ἐφθέγγετο καὶ τὸν ἄριστον αὐτῶν εἰς μονομαχίαν προυκαλεῖτο. τῶν δὲ ταύτῃ παρατεταγμένων οἱ πολλοὶ μὲν ὑπερηφάνουν, ἦσαν δ' οἳ κατὰ τὸ εἰκὸς ἐδεδοίκεσαν, ἥπτετό γε μὴν τινῶν καὶ λογισμὸς οὐκ ἀσύνετος θανατῶντι μὴ συμπλέκεσθαι· τοὺς γὰρ ἀπεγνωκότας τὴν σωτηρίαν ἅμα καὶ τὰς ὁρμὰς ἀταμιεύτους ἔχειν καὶ τὸ θεῖον εὐδυσώπητον, τό τε παραβάλλεσθαι πρὸς οὓς καὶ τὸ νικᾶν οὐ μέγα καὶ μετ' αἰσχύνης τὸ λειφθῆναι σφαλερόν, οὐκ ἀνδρείας ἀλλὰ θρασύτητος εἶναι. μηδενὸς δ' ἐπὶ πολὺ προϊόντος καὶ τοῦ Ἰουδαίου πολλὰ κατακερτομοῦντος αὐτοὺς εἰς δειλίαν, ἀλαζὼν γάρ τις ἦν αὐτῷ σφόδρα καὶ τῶν Ῥωμαίων ὑπερήφανος, Πούδης τις ὄνομα τῶν ἐξ ἴλης ἱππέων βδελυξάμενος αὐτοῦ τά τε ῥήματα καὶ τὸ αὔθαδες, εἰκὸς δὲ καὶ πρὸς τὴν βραχύτητα τοῦ σώματος αὐτὸν ἀσκέπτως ἐπαρθῆναι, προπηδᾷ, καὶ τὰ μὲν ἄλλα περιῆν συμβαλών, προεδόθη δ' ὑπὸ τῆς τύχης· πεσόντα γὰρ αὐτὸν ὁ Ἰωνάθης ἀποσφάττει προσδραμών. ἔπειτα ἐπιβὰς τῷ νεκρῷ τό τε ξίφος ἡμαγμένον ἀνέσειε καὶ τῇ λαιᾷ τὸν θυρεόν, ἐπηλάλαξέ τε τῇ στρατιᾷ πολλὰ καὶ πρὸς τὸν πεσόντα κομπάζων καὶ τοὺς ὁρῶντας Ῥωμαίους ἐπισκώπτων, ἕως αὐτὸν ἀνασκιρτῶντα καὶ ματαΐζοντα Πρῖσκός τις ἑκατοντάρχης τοξεύσας διήλασε βέλει· πρὸς ὃ τῶν τε Ἰουδαίων καὶ τῶν Ῥωμαίων κραυγὴ συνεξήρθη διάφορος. ὁ δὲ δινηθεὶς ἐκ τῶν ἀλγηδόνων ἐπὶ τὸ σῶμα τοῦ πολεμίου κατέ-

268. προυκαλεῖτο: προεκαλεῖτο L 272. ἅμα Destinon ἀλλὰ PAL τά τε ἄλλα MVR ταῦτ' ἄλλα C 275. λειφθῆναι: ληφθῆναι L 276. προϊόντος: προσιόντος L 278. τῶν Ῥωμαίων ὑπερήφανος, Πούδης τις: ὑπερήφανος, τῶν Ῥωμαίων τις Πούδης C Lat Heg 283. ἐπιβὰς: ἐπιστὰς L 289-90. δινηθεὶς: δεινηθεὶς A¹V¹R 290. ἐκ: ὑπὸ L

tempio si svolgevano intanto incessanti combattimenti e continui erano gli scontri fra gruppi che si facevano avanti dalle due parti.

2, 10. In quei giorni un giudeo di piccola statura e di aspetto miserabile, insignificante come per nascita cosí per tutto il resto, di nome Gionata, venne avanti dalla parte del monumento del sommo sacerdote Giovanni[25] e, dopo aver rivolto ai romani un mucchio d'insulti, ne sfidò a duello il piú valoroso[26]. Nelle file avversarie i piú non lo presero sul serio, ma è anche probabile che qualcuno ne provasse paura mentre altri dovettero accortamente riflettere che non conveniva battersi con uno che cercava la morte. Infatti chi dispera di salvarsi non solo non controlla le sue mosse, ma ha anche l'appoggio misericordioso della divinità, e sarebbe stata una prova non di coraggio, ma di sconsiderata temerità il misurarsi contro individui sui quali conseguire una vittoria non rappresentava gran che, mentre una sconfitta avrebbe comportato pericoli e ignominia. Per parecchio tempo nessuno si fece avanti e il giudeo continuò a ingiuriarli come vigliacchi (era quanto mai pieno di sé e disprezzava i romani) finché un cavaliere di uno squadrone ausiliario, di nome Pudente, infastidito dalle sue parole e dalla sua tracotanza, e forse anche spinto da un malaccorto disprezzo per la sua piccola corporatura, venne fuori a duellare e stava per far valere la sua superiorità quando fu tradito dalla fortuna; gli accadde infatti di perdere l'equilibrio, e Gionata fu svelto a saltargli addosso e a scannarlo. Questi montò poi sul cadavere e, levando la spada insanguinata e agitando con la sinistra lo scudo, lanciava grida bellicose verso l'esercito avversario facendosi un vanto del nemico ucciso e deridendo i romani che assistevano alla scena. Continuò cosí a esultare e a imperversare finché un centurione di nome Prisco lo trafisse con una freccia. Si levarono allora dalla parte dei romani e da quella dei giudei clamori contrastanti mentre il colpito, contorcendosi per i dolori, cadeva

πεσεν, ὠκυτάτην ἀποφήνας ἐν πολέμῳ τὴν ἐπὶ τοῖς ἀλόγως εὐτυχοῦσι νέμεσιν.

3, 1. οἱ δ' ἀνὰ τὸ ἱερὸν στασιασταὶ φανερῶς τε οὐκ ἀνίεσαν τοὺς ἐπὶ τῶν χωμάτων στρατιώτας ἀμυνόμενοι καθ' ἑκάστην ἡμέραν, καὶ τοῦ προειρημένου μηνὸς ἑβδόμῃ καὶ εἰκάδι δόλον ἐνσκευάζονται τοιόνδε. τῆς ἑσπερίου στοᾶς τὸ μεταξὺ τῶν δοκῶν καὶ τῆς ὑπ' αὐταῖς ὀροφῆς ὕλης ἀναπιμπλᾶσιν αὔης, πρὸς δὲ ἀσφάλτου τε καὶ πίσσης· ἔπειθ' ὡς καταπονούμενοι δῆθεν ὑπεχώρουν. πρὸς ὃ τῶν μὲν ἀσκέπτων πολλοὶ ταῖς ὁρμαῖς φερόμενοι προσέκειντο τοῖς ὑποχωροῦσιν ἐπί τε τὴν στοὰν ἀνεπήδων προσθέμενοι κλίμακας, οἱ δὲ συνετώτεροι τὴν ἄλογον τροπὴν τῶν Ἰουδαίων ὑπονοήσαντες ἔμενον. κατεπλήσθη μέντοι τῶν ἀναπηδησάντων ἡ στοά, κἀν τούτῳ Ἰουδαῖοι πᾶσαν ὑποπιμπρᾶσιν αὐτήν. αἰρομένης δ' αἰφνιδίως πάντοθεν τῆς φλογὸς τούς τε ἔξω τοῦ κινδύνου Ῥωμαίους ἔκπληξις ἐπέσχε δεινὴ καὶ τοὺς περισχεθέντας ἀμηχανία. κυκλούμενοι δ' ὑπὸ τῆς φλογὸς οἱ μὲν εἰς τὴν πόλιν ὀπίσω κατεκρήμνιζον ἑαυτούς, οἱ δ' εἰς τοὺς πολεμίους, πολλοὶ δ' ἐλπίδι σωτηρίας εἰς τοὺς σφετέρους καταπηδῶντες ἐκλῶντο τὰ μέλη, πλείστων δ' ἔφθανε τὰς ὁρμὰς τὸ πῦρ καί τινες τὴν φλόγα σιδήρῳ. περιεῖχε δ' εὐθέως καὶ τοὺς ἄλλως φθειρομένους τὸ πῦρ ἐπὶ πλεῖστον ἐκφερόμενον. Καίσαρα δὲ καίπερ χαλεπαίνοντα τοῖς ἀπολλυμένοις, ἐπειδὴ δίχα παραγγέλματος ἀναβεβήκεσαν, ὅμως οἶκτος εἰσῄει τῶν ἀνδρῶν· καὶ μηδενὸς προσαμύνειν δυναμένου, τοῦτο γοῦν παραμύθιον ἦν τοῖς φθειρομένοις τὸ βλέπειν ὑπὲρ οὗ τις ἠφίει τὴν ψυχὴν ὀδυνώμενον· βοῶν τε γὰρ αὐτοῖς καὶ

291. τοῖς: τῷ P τὸ A 292. εὐτυχοῦσι: εὐτυχοῦντι PA
3, 5. ὑπ' αὐταῖς ed. pr. ὑπ' αὐτῆς PAL ἀπ' αὐτῆς MVRC 9. ἀνεπήδων: ἐπήδων VRC 12. τούτῳ: τοῦτο PA | Ἰουδαῖοι: οἱ Ἰουδαῖοι AMVRC 16. ἑαυτούς: αὑτοὺς AV αὐτοὺς MR 20. ἄλλως: ἄλλους M Lat 23. προσαμύνειν: προσεπαμύνειν M κἂν προσαμύνειν L

sul corpo del nemico dimostrando ancora una volta che in guerra la nemesi si abbatte fulminea su chi riporta un indebito successo[27].

3, 1. I ribelli asserragliati nel tempio, che giorno per giorno non cessavano di affrontare in campo aperto i nemici che venivano all'attacco sui terrapieni, il giorno ventisette del mese sopra ricordato[1] ordirono questo tranello. Riempirono di legna secca l'intercapedine fra le travi del portico occidentale e il sottostante soffitto, aggiungendovi anche bitume e pece; poi, facendo finta di non essere piú in grado di resistere, si ritirarono[2]. Allora molti romani si lasciarono sconsideratamente trasportare dalla foga e, incalzando quelli che fingevano di ritirarsi, montarono sul portico appoggiandovi delle scale; i piú accorti, invece, s'insospettirono per l'inspiegabile ritirata dei giudei e restarono fermi. Intanto il portico si era riempito di soldati che vi erano montati, e ad un certo momento i giudei vi appiccarono il fuoco. In un baleno le fiamme si propagarono da ogni parte e grande fu il terrore che s'impadroní dei romani fuori pericolo, mentre quelli presi in trappola non sapevano come uscirne. Circondati dalle fiamme, alcuni si precipitarono a capofitto nella città che giaceva alle loro spalle[3], altri fra le schiere nemiche, altri, sperando di salvarsi, saltarono in mezzo ai compagni fratturandosi le membra; ma ai piú il fuoco non dette tempo di muoversi e qualcuno lo prevenne con la sua spada. L'incendio, che aveva assunto enormi proporzioni, ben presto ghermí anche chi era destinato a una morte diversa. Cesare era infuriato contro quei disgraziati, perché erano montati sui portici senza averne avuto l'ordine, ma al tempo stesso provava per loro una grande compassione; nell'impossibilità per chiunque di aiutarli, a quei miseri era di conforto vedere il dolore di colui per il quale essi facevano getto della vita; ognuno infatti poteva

προπηδῶν καὶ τοῖς περὶ αὐτὸν ἐκ τῶν ἐνόντων ἐπαμύνειν
παρακαλῶν δῆλος ἦν. τὰς δὲ φωνὰς ἕκαστος καὶ τὴν διά- 184
θεσιν ὥσπερ τι λαμπρὸν ἀποφέρων ἐντάφιον εὔθυμος ἀπέ-
θνησκεν. ἔνιοί γε μὴν ἐπὶ τὸν τοῖχον τῆς στοᾶς ὄντα πλατὺν 185
30 ἀναχωρήσαντες ἐκ μὲν τοῦ πυρὸς διεσώθησαν, ὑπὸ δὲ τῶν
Ἰουδαίων περισχεθέντες ἐπὶ πολὺ μὲν ἀντέσχον διατιτρω-
σκόμενοι, τέλος δὲ πάντες ἔπεσον.

3, 2. καὶ τελευταῖός τις αὐτῶν νεανίας, ὀνόματι Λόγ- 186
γος, ὅλον ἐπικοσμήσας τὸ πάθος καὶ κατ' ἄνδρα μνήμης
35 ἀξίων ὄντων πάντων τῶν ἀπολωλότων ἄριστος φανείς. ὃν 187
οἱ μὲν Ἰουδαῖοι τῆς τε ἀλκῆς ἀγάμενοι καὶ ἄλλως ἀνελεῖν
ἀσθενοῦντες καταβῆναι πρὸς αὐτοὺς ἐπὶ δεξιᾷ παρεκάλουν,
ὁ δὲ ἀδελφὸς Κορνήλιος ἐκ θατέρου μὴ καταισχῦναι τὸ σφέ-
τερον κλέος καὶ τὴν Ῥωμαίων στρατιάν. τούτῳ πεισθεὶς καὶ
40 διαράμενος φανερὸν ἑκατέροις τοῖς τάγμασι τὸ ξίφος αὑτὸν
ἀναιρεῖ. τῶν δὲ τῷ πυρὶ περισχεθέντων Ἀρτώριός τις πα- 188
νουργίᾳ διασώζεται· προσκαλεσάμενος γάρ τινα τῶν συστρα-
τιωτῶν Λούκιον, ᾧ συνεσκήνει, μεγάλῃ τῇ φωνῇ «κληρο-
νόμον,» ἔφη, «καταλείπω σε τῶν ἐμαυτοῦ κτημάτων, εἰ
45 προσελθών με δέξαιο». τοῦ δὲ ἑτοίμως προσδραμόντος ὁ 189
μὲν ἐπ' αὐτὸν κατενεχθεὶς ἔζησεν, ὁ δὲ δεξάμενος ὑπὸ τοῦ
βάρους τῷ λιθοστρώτῳ προσαραχθεὶς παραχρῆμα θνήσκει.
τοῦτο τὸ πάθος πρὸς καιρὸν μὲν Ῥωμαίοις ἐνεποίησεν ἀθυ- 190
μίαν, πρὸς δὲ τὸ μέλλον ὅμως ἀπαρακλήτους κατασκευάσαν
50 φυλακτικωτέρους τε πρὸς τὰς Ἰουδαίων ἀπάτας ὠφέλησεν,
ἐν αἷς τὰ πολλὰ δι' ἄγνοιαν τῶν τόπων καὶ τὸ ἦθος τῶν
ἀνδρῶν ἐβλάπτοντο. κατεκάη δ' ἡ στοὰ μέχρι τοῦ Ἰωάννου 191
πύργου, ὃν ἐκεῖνος ἐν τῷ πρὸς Σίμωνα πολέμῳ κατεσκεύα-
σεν ὑπὲρ τὰς ἐξαγούσας ὑπὲρ τὸν ξυστὸν πύλας· τὸ δὲ λοι-

26. τοῖς: τοὺς C 33. τελευταῖος: τελευταῖον MVRC 35. ἀξίων: ἄξιον PAM | ὄντων: om. PAM 41. Ἀρτώριος: σερτώριος C 42-3. συστρατιωτῶν: στρατιωτῶν PAVRC 49. ἀπαρακλήτους: om. MVRC | κατασκευάσαν Destinon κατεσκεύασεν PAMVRC προκατεσκεύασεν L 50. τε: καὶ MLVRC

vedere Tito che gridava verso di loro e si faceva avanti e stimolava quelli che gli stavano intorno a fare il possibile per aiutarli. Tutti spirarono contenti come se con quelle grida 184 e con quella partecipazione ricevessero un'onorifica sepoltura[4]. Alcuni invero si ritrassero sulla parete del portico, che era 185 assai larga[5], e si salvarono cosí dalle fiamme, ma restarono assediati dai giudei e, dopo aver resistito a lungo, caddero tutti trafitti.

3, 2. Di questi l'ultimo a cadere fu un giovane di nome 186 Longo, il quale chiuse splendidamente tutto quel tragico episodio superando in valore i compagni caduti che si erano tutti segnalati ad uno ad uno. Ammirandone l'eroismo, e 187 d'altro canto non riuscendo ad abbatterlo, i giudei lo invitavano a scendere e a unirsi a loro; dall'altra parte invece il fratello Cornelio lo scongiurava di non infangare il suo onore e l'esercito romano. Fu a costui che Longo diede ascolto e, levata la spada sotto gli occhi dei due eserciti, si trafisse. Tra 188 quelli rimasti bloccati dalle fiamme ve ne fu uno, un tale Artorio, che si salvò con un'astuzia. Chiamò a gran voce uno dei commilitoni, un certo Lucio, suo compagno di tenda, e gli disse: « Ti lascio erede dei miei beni se ti avvicini a raccogliermi[6] ». Quello prontamente si fece sotto e Artorio, piom- 189 bandogli addosso, si salvò la vita mentre l'altro rimase schiacciato al pavimento[7] dal peso e morí all'istante. Sul momento 190 questo disastro gettò lo sconforto nei romani, ma fu di giovamento per il futuro perché li rese meno facili a cadere nei tranelli e piú cauti di fronte agli stratagemmi dei giudei, nei quali per lo piú ebbero a soffrire per l'ignoranza dei luoghi e per il carattere degli uomini. Il fuoco distrusse il portico 191 fino alla torre che Giovanni, durante la lotta con Simone, aveva elevato sopra le porte che conducevano fuori sul Xisto[8];

55 πὸν ἐπὶ διεφθαρμένοις ἤδη Ἰουδαῖοι τοῖς ἀναβᾶσιν ἀπέκοψαν. τῇ δ' ὑστεραίᾳ καὶ Ῥωμαῖοι τὴν βόρειον στοὰν ἐνέ- 192 πρησαν μέχρι τῆς ἀνατολικῆς ὅλην, ὧν ἡ συνάπτουσα γωνία τῆς Κεδρῶνος καλουμένης φάραγγος ὑπερδεδόμητο, παρ' ὃ καὶ φοβερὸν ἦν τὸ βάθος. καὶ τὰ μὲν περὶ τὸ ἱερὸν ἐν τού-
60 τοις ἦν.

3, 3. τῶν δ' ὑπὸ τοῦ λιμοῦ φθειρομένων κατὰ τὴν πόλιν 193 ἄπειρον μὲν ἔπιπτε τὸ πλῆθος, ἀδιήγητα δὲ συνέβαινε τὰ πάθη. καθ' ἑκάστην γὰρ οἰκίαν, εἴ που τροφῆς παραφανείη 194 σκιά, πόλεμος ἦν, καὶ διὰ χειρῶν ἐχώρουν οἱ φίλτατοι
65 πρὸς ἀλλήλους ἐξαρπάζοντες τὰ ταλαίπωρα τῆς ψυχῆς ἐφόδια. πίστις δ' ἀπορίας οὐδὲ τοῖς θνήσκουσιν ἦν, ἀλλὰ καὶ 195 τοὺς ἐκπνέοντας οἱ λησταὶ διηρεύνων, μή τις ὑπὸ κόλπον ἔχων τροφὴν σκήπτοιτο τὸν θάνατον αὐτῷ. οἱ δ' ὑπ' ἐν- 196 δείας κεχηνότες ὥσπερ λυσσῶντες κύνες ἐσφάλλοντο, καὶ
70 παρεφέροντο ταῖς τε θύραις ἐνσειόμενοι μεθυόντων τρόπον καὶ ὑπ' ἀμηχανίας εἰς τοὺς αὐτοὺς οἴκους εἰσπηδῶντες δὶς ἢ τρὶς ὥρᾳ μιᾷ. πάντα δ' ὑπ' ὀδόντας ἦγεν ἡ ἀνάγκη, 197 καὶ τὰ μηδὲ τοῖς ῥυπαρωτάτοις τῶν ἀλόγων ζῴων πρόσφορα συλλέγοντες ἐσθίειν ὑπέφερον· ζωστήρων γοῦν καὶ
75 ὑποδημάτων τὸ τελευταῖον οὐκ ἀπέσχοντο καὶ τὰ δέρματα τῶν θυρεῶν ἀποδέροντες ἐμασῶντο. τροφὴ δ' ἦν καὶ χόρ- 198 του τισὶ παλαιοῦ σπαράγματα· τὰς γὰρ ἶνας ἔνιοι συλλέγοντες ἐλάχιστον σταθμὸν ἐπώλουν Ἀττικῶν τεσσάρων. καὶ τί δεῖ τὴν ἐπ' ἀψύχοις ἀναίδειαν τοῦ λιμοῦ λέγειν; 199
80 εἶμι γὰρ αὐτοῦ δηλώσων ἔργον οἷον μήτε παρ' Ἕλλησιν μήτε παρὰ βαρβάροις ἱστόρηται, φρικτὸν μὲν εἰπεῖν, ἄπιστον δ' ἀκοῦσαι. καὶ ἔγωγε μὴ δόξαιμι τερατεύεσθαι τοῖς αὖθις 200 ἀνθρώποις, κἂν παρέλειπον τὴν συμφορὰν ἡδέως, εἰ μὴ

55. Ἰουδαῖοι Hudson coll. Lat Heg Ιουδαίοις codd. | ἀναβᾶσιν: ἀναβαίνουσιν PA 67. ἐκπνέοντας: ἐμπνέοντας A 68. αὐτῷ: αὑτῶ PALVC 71. εἰσπηδῶντες: εἰσεπήδων LVRC 73. τὰ μηδὲ: κατὰ μηδενὸς L 77. σπαράγματα: σπάραγμα PAMVR 82. ἔγωγε: ἐγὼ δὲ VRC 83. παρέλειπον: παρέλιπον MRC

il resto lo abbatterono i giudei dopo lo sterminio dei romani che vi erano montati sopra. Il giorno dopo[9] anche i romani 192 incendiarono l'intero portico settentrionale fino a quello orientale; l'angolo formato dal loro incontro si elevava a picco sullo strapiombo del Cedron, che perciò in quel luogo era terribilmente profondo. Questa era la situazione intorno al tempio.

3, 3. Frattanto nella città la fame mieteva un numero ster- 193 minato di vittime e indicibili erano le sofferenze. In ogni casa 194 all'apparire anche di un'ombra di cibo si scatenava la zuffa, e i parenti piú intimi venivano alle mani per strapparsi quei miserabili sostentamenti della vita. Nemmeno se uno stava 195 spirando si credeva che non avesse cibo, e i ribelli perquisivano anche i moribondi nel dubbio che qualcuno, per nascondere del cibo, facesse finta di essere agonizzante. Sbadi- 196 gliando per la fame, essi si aggiravano barcollando come cani rabbiosi e si avventavano contro le porte scuotendole a mo' di ubriachi e irrompendo due o tre volte in un'ora nelle medesime case, tanta era la loro disperazione. La necessità spin- 197 geva a mettere sotto i denti qualunque cosa e dava loro il coraggio di raccogliere e mangiare roba che perfino i piú immondi fra gli animali irragionevoli avrebbero rifiutato. Alla fine si attaccarono anche alle cinghie e ai calzari e strapparono il cuoio dagli scudi cercando di masticarlo. Alcuni si cibarono 198 anche di ciuffi di vecchio fieno e taluni, raccogliendo erba secca, ne vendettero una manciata per quattro dramme attiche[10]. Ma a che parlare della mancanza di ritegno della fame 199 nell'appetire qualsiasi cosa inanimata quando sto per raccontare un episodio che non trova riscontro nelle storie né dei greci né dei barbari[11], orribile a narrarsi e incredibile a udirsi? Per non dare ai posteri l'impressione di aver inventato favole 200 mostruose, avrei volentieri passato l'episodio sotto silenzio se non potessi addurre la testimonianza di un'infinità di miei

τῶν κατ' ἐμαυτὸν εἶχον ἀπείρους μάρτυρας. ἄλλως τε
85 καὶ ψυχρὰν ἂν καταθείμην τῇ πατρίδι χάριν καθυφέμενος
τὸν λόγον ὧν πέπονθεν τὰ ἔργα.

3, 4. γυνή τις τῶν ὑπὲρ τὸν Ἰορδάνην κατοικούντων, 201
Μαρία τοὔνομα, πατρὸς Ἐλεαζάρου, κώμης Βηθεζουβᾶ,
σημαίνει δὲ τοῦτο οἶκος ὑσσώπου, διὰ γένος καὶ πλοῦτον
90 ἐπίσημος, μετὰ τοῦ λοιποῦ πλήθους εἰς τὰ Ἱεροσόλυμα
καταφυγοῦσα συνεπολιορκεῖτο. ταύτης τὴν μὲν ἄλλην κτῆ- 202
σιν οἱ τύραννοι διήρπασαν, ὅσην ἐκ τῆς Περαίας ἀνα-
σκευασαμένη μετήνεγκεν εἰς τὴν πόλιν, τὰ δὲ λείψανα τῶν
κειμηλίων καὶ εἴ τι τροφῆς ἐπινοηθείη καθ' ἡμέραν εἰσ-
95 πηδῶντες ἥρπαζον οἱ δορυφόροι. δεινὴ δὲ τὸ γύναιον ἀγα- 203
νάκτησις εἰσῄει, καὶ πολλάκις λοιδοροῦσα καὶ καταρωμένη
τοὺς ἅρπαγας ἐφ' αὑτὴν ἠρέθιζεν. ὡς δ' οὔτε παροξυνό- 204
μενός τις οὔτ' ἐλεῶν αὐτὴν ἀνῄρει, καὶ τὸ μὲν εὑρεῖν τι
σιτίον ἄλλοις ἐκοπία, πανταχόθεν δ' ἄπορον ἦν ἤδη καὶ
100 τὸ εὑρεῖν, ὁ λιμὸς δὲ διὰ σπλάγχνων καὶ μυελῶν ἐχώρει
καὶ τοῦ λιμοῦ μᾶλλον ἐξέκαιον οἱ θυμοί, σύμβουλον λα-
βοῦσα τὴν ὀργὴν μετὰ τῆς ἀνάγκης ἐπὶ τὴν φύσιν ἐχώρει,
καὶ τὸ τέκνον, ἦν δ' αὐτῇ παῖς ὑπομάστιος, ἁρπασαμένη 205
«βρέφος,» εἶπεν, «ἄθλιον, ἐν πολέμῳ καὶ λιμῷ καὶ στάσει
105 τίνι σε τηρήσω; τὰ μὲν παρὰ Ῥωμαίοις δουλεία, κἂν ζή- 206
σωμεν ἐπ' αὐτούς, φθάνει δὲ καὶ δουλείαν ὁ λιμός, οἱ στα-
σιασταὶ δ' ἀμφοτέρων χαλεπώτεροι. ἴθι, γενοῦ μοι τροφὴ 207
καὶ τοῖς στασιασταῖς ἐρινὺς καὶ τῷ βίῳ μῦθος ὁ μόνος
ἐλλείπων ταῖς Ἰουδαίων συμφοραῖς». καὶ ταῦθ' ἅμα λέ- 208
110 γουσα κτείνει τὸν υἱόν, ἔπειτ' ὀπτήσασα τὸ μὲν ἥμισυ
κατεσθίει, τὸ δὲ λοιπὸν κατακαλύψασα ἐφύλαττεν. εὐθέως 209
δ' οἱ στασιασταὶ παρῆσαν, καὶ τῆς ἀθεμίτου κνίσης σπά-

85. ἂν: om. RC 86. ὧν: οὗ VRC 88. Βηθεζουβᾶ: βαθεχώρ PAVRC βεθεζώρ M 90. ἐπίσημος: ἐπίσημον VRC 94. καί: κἂν VRC 102. ἐπὶ τὴν φύσιν ἐχώρει: ἐχώρει ἐπὶ τὴν φύσιν PAM 103. ἁρπασαμένη: ὃν ἁρπασαμένη PA[1]VR 105. τηρήσω: τηρῶ L fortasse recte

contemporanei. E poi, dimostrerei scarso amore per la patria se omettessi di raccontare le sofferenze che essa ebbe realmente a patire.

3, 4. Fra gli abitanti della regione al di là del Giordano 201 vi era una donna di nome Maria, figlia di Eleazar, del villaggio di Bethezuba, un nome che significa « casa dell'issopo »[12], ragguardevole per nascita e ricchezza, che col resto della popolazione si era rifugiata in Gerusalemme rimanendovi assediata. La massima parte delle sostanze che aveva portato 202 seco trasferendosi dalla Perea nella città le erano state depredate dai capi, mentre gli scherani con le loro quotidiane incursioni le avevano sottratto quanto restava dei suoi valori e il poco cibo raggranellato. La donna era in preda a un tre- 203 mendo furore e con gli insulti e le maledizioni che continuamente scagliava contro i saccheggiatori cercava di aizzarli contro di sé. Nessuno però si decideva ad ucciderla, né per 204 odio né per pietà, e lei era stanca di procurare ad altri il cibo che da nessuna parte era ormai possibile trovare mentre la fame le serpeggiava nelle viscere e nelle midolla, e ancor piú della fame la consumava il furore. Allora cedette insieme alla 205 spinta dell'ira e della necessità e si abbandonò ad un atto contro la natura. Afferrò il bambino lattante che aveva seco e gli rivolse queste parole: « Povero figlioletto, a quale sorte dovrei cercare di preservarti in mezzo alla guerra, alla fame, alla rivoluzione? Dai romani non possiamo attenderci che la 206 schiavitú, se pure riusciremo a vivere fino al loro arrivo, ma la fame ci consumerà prima di finire schiavi, mentre infine i ribelli sono un flagello piú tremendo degli altri due. E al- 207 lora, sii tu cibo per me, per i ribelli furia vendicatrice, e per l'umanità la tua storia sia quell'unica che ancora mancava fra le tante sventure dei giudei ». Cosí disse e, ucciso il figlio, lo 208 mise a cuocere; una metà ne mangiò, mentre l'altra la conservò in un luogo nascosto. Ben presto arrivarono i banditi e, fiu- 209 tando quell'odore esecrando, la minacciarono di ucciderla al-

σαντες ἠπείλουν, εἰ μὴ δείξειεν τὸ παρασκευασθέν, ἀποσφάξειν αὐτὴν εὐθέως. ἡ δὲ καὶ μοῖραν αὐτοῖς εἰποῦσα
115 καλὴν τετηρηκέναι τὰ λείψανα τοῦ τέκνου διεκάλυψεν. τοὺς 210
δ' εὐθέως φρίκη καὶ παρέκστασις ᾕρει καὶ παρὰ τὴν ὄψιν ἐπεπήγεσαν. ἡ δ' «ἐμόν,» ἔφη, «τοῦτο τὸ τέκνον γνήσιον καὶ τὸ ἔργον ἐμόν. φάγετε, καὶ γὰρ ἐγὼ βέβρωκα. μὴ 211
γένησθε μήτε μαλακώτεροι γυναικὸς μήτε συμπαθέστεροι
120 μητρός. εἰ δ' ὑμεῖς εὐσεβεῖς καὶ τὴν ἐμὴν ἀποστρέφεσθε θυσίαν, ἐγὼ μὲν ὑμῖν βέβρωκα, καὶ τὸ λοιπὸν δ' ἐμοὶ μεινάτω». μετὰ ταῦθ' οἱ μὲν τρέμοντες ἐξῄεσαν, πρὸς ἓν 212
τοῦτο δειλοὶ καὶ μόλις ταύτης τῆς τροφῆς τῇ μητρὶ παραχωρήσαντες, ἀνεπλήσθη δ' εὐθέως ὅλη τοῦ μύσους ἡ πόλις,
125 καὶ πρὸ ὀμμάτων ἕκαστος τὸ πάθος λαμβάνων ὥσπερ αὐτῷ τολμηθὲν ἔφριττε. σπουδὴ δὲ τῶν λιμωττόντων ἐπὶ 213
τὸν θάνατον ἦν, καὶ μακαρισμὸς τῶν φθασάντων πρὶν ἀκοῦσαι καὶ θεάσασθαι κακὰ τηλικαῦτα.

3, 5. ταχέως δὲ καὶ Ῥωμαίοις διηγγέλθη τὸ πάθος. 214
130 τῶν δ' οἱ μὲν ἠπίστουν, οἱ δὲ ᾤκτειρον, τοὺς δὲ πολλοὺς εἰς μῖσος τοῦ ἔθνους σφοδρότερον συνέβη προελθεῖν. Καῖσαρ 215
δ' ἀπελογεῖτο καὶ περὶ τούτου τῷ θεῷ, φάσκων παρὰ μὲν αὐτοῦ Ἰουδαίοις εἰρήνην καὶ αὐτονομίαν προτείνεσθαι καὶ πάντων ἀμνηστίαν τῶν τετολμημένων, τοὺς δ' ἀντὶ μὲν
135 ὁμονοίας στάσιν, ἀντὶ δ' εἰρήνης πόλεμον, πρὸ κόρου δὲ 216
καὶ εὐθηνίας λιμὸν αἱρουμένους, ἰδίαις δὲ χερσὶν ἀρξαμένους καίειν τὸ συντηρούμενον ὑφ' ἡμῶν ἱερὸν αὐτοῖς, εἶναι καὶ τοιαύτης τροφῆς ἀξίους. καλύψειν μέντοι τὸ τῆς τεκνο- 217
φαγίας μύσος αὐτῷ τῷ τῆς πατρίδος πτώματι καὶ οὐ κα-
140 ταλείψειν ἐπὶ τῆς οἰκουμένης ἡλίῳ καθορᾶν πόλιν, ἐν ᾗ

115. διεκάλυψεν: ἀπεκάλυψεν PM 116. παρέκστασις: παρέκτασις P φρενῶν ἔκστασις MLVRC 117. τοῦτο τὸ τέκνον: τοῦτο τέκνον P 125. ὥσπερ: ὡς παρ' PAMVRC 130. ᾤκτειρον: ᾤκτειραν LVRC | πολλοὺς: λοιποὺς L 135. δὲ: δέ τοι L 137. ἡμῶν: ὑμῶν L | αὐτοῖς: αὐτοὺς MVRC

l'istante se non avesse mostrato ciò che aveva preparato. Ella rispose di averne conservata una bella porzione anche per loro e presentò i resti del bambino: un improvviso brivido 210
percorse quegli uomini paralizzandoli, ed essi restarono impietriti a una tal vista. « Questo è il mio bambino » disse la donna « e opera mia è questa. Mangiatene, perché anch'io ne ho mangiato. Non siate né piú pavidi di una donna né piú 211
compassionevoli di una madre. Ma se provate scrupoli e rifuggite dalla mia vittima sacrificale, allora sarà come se io avessi mangiato per conto vostro e l'avanzo rimanga per me[13]. » A tali parole quelli uscirono tutti tremanti – fu l'unica 212
scelleratezza di cui non ebbero il coraggio di macchiarsi, lasciando sia pure a malincuore che la madre si cibasse di un simile cibo – ma istantaneamente la città fu piena della notizia di quella nefandezza e, raffigurandosi la scena raccapricciante, tutti inorridirono come fossero stati loro a compierla. Morsi dalla fame essi non vedevano l'ora di morire, stimando 213
fortunato chi se n'era andato prima di sentire e di vedere simili atrocità.

3, 5. Ben presto la raccapricciante notizia raggiunse an- 214
che i romani. Fra questi alcuni si mostrarono increduli, altri diedero segni di commiserazione, mentre i piú furono presi da un odio ancora piú grande per i giudei. Anche di questa 215
infamia Cesare si protestò innocente dinanzi al dio, dichiarando che da parte sua erano state offerte ai giudei pace e autonomia oltre che il perdono per tutte le colpe commesse; ma poiché essi avevano preferito la ribellione all'accordo, la 216
guerra alla pace, la fame all'abbondanza e al benessere, e con le proprie mani avevano cominciato a incendiare il tempio che i romani s'erano sforzati di conservare per loro, ormai erano ben degni anche di un simile cibo. Egli avrebbe avuto 217
cura di seppellire l'empio misfatto della madre divoratrice del figlio sotto le macerie della sua patria, senza permettere che sulla faccia della terra il sole vedesse una città in cui le

μητέρες οὕτω τρέφονται. προσήκειν μέντοι πρὸ μητέρων 218
πατράσιν τὴν τοιαύτην τροφήν, οἳ καὶ μετὰ τηλικαῦτα
πάθη μένουσιν ἐν τοῖς ὅπλοις. ταῦθ' ἅμα διεξιὼν ἐνενόει 219
καὶ τὴν ἀπόγνωσιν τῶν ἀνδρῶν· οὐ γὰρ ἂν ἔτι σωφρονῆσαι
145 τοὺς πάντα προπεπονθότας ἐφ' οἷς εἰκὸς ἦν μεταβαλέσθαι
μὴ παθοῦσιν.

4, 1. ἤδη δὲ τῶν δύο ταγμάτων συντετελεκότων τὰ 220
χώματα Λώου μηνὸς ὀγδόῃ προσάγειν ἐκέλευσε τοὺς κριοὺς
κατὰ τὴν ἑσπέριον ἐξέδραν τοῦ ἔξωθεν ἱεροῦ. πρὸ δὲ τούτων 221
ἓξ ἡμέρας ἀδιαλείπτως ἡ στερροτάτη πασῶν ἑλέπολις τύ-
5 πτουσα τὸν τοῖχον οὐδὲν ἤνυσεν, ἀλλὰ καὶ ταύτης καὶ τῶν
ἄλλων τὸ μέγεθος καὶ ἡ ἁρμονία τῶν λίθων ἦν ἀμείνων.
τῆς δὲ βορείου πύλης ὑπώρυττον ἕτεροι τοὺς θεμελίους 222
καὶ πολλὰ ταλαιπωρήσαντες τοὺς ἔμπροσθεν λίθους ἐξεκύ-
λισαν. ἀνείχετο δ' ὑπὸ τῶν ἐνδοτέρω καὶ διέμεινεν ἡ πύλη,
10 μέχρι τὰς δι' ὀργάνων καὶ τῶν μοχλῶν ἐπιχειρήσεις ἀπο-
γνόντες κλίμακας ταῖς στοαῖς προσέφερον. οἱ δὲ Ἰουδαῖοι 223
κωλῦσαι μὲν οὐκ ἔφθασαν, ἀναβᾶσι δὲ συμπεσόντες ἐμά-
χοντο, καὶ τοὺς μὲν ἀνωθοῦντες εἰς τοὐπίσω κατεκρήμνιζον,
τοὺς δ' ὑπαντιάζοντας ἀνῄρουν· πολλοὺς δὲ τῶν κλιμάκων 224
15 ἀποβαίνοντας, πρὶν φράξασθαι τοῖς θυρεοῖς, παίοντες ταῖς
ῥομφαίαις ἔφθανον, ἐνίας δὲ γεμούσας ὁπλιτῶν κλίμακας
παρακλίνοντες ἄνωθεν κατέσειον· ἦν δ' οὐκ ὀλίγος καὶ 225
αὐτῶν φόνος. οἱ δὲ ἀνενεγκόντες τὰς σημαίας περὶ αὐτῶν
ἐπολέμουν, δεινὴν ἡγούμενοι καὶ πρὸς αἰσχύνης τούτων τὴν
20 ἁρπαγήν. τέλος δὲ καὶ τῶν σημαιῶν οἱ Ἰουδαῖοι κρατοῦσιν 226
καὶ τοὺς ἀναβάντας διαφθείρουσιν· οἱ δὲ λοιποὶ πρὸς τὸ
τῶν ἀπολωλότων πάθος ὀρρωδοῦντες ἀνεχώρουν. τῶν μὲν 227

145. μεταβαλέσθαι: μετὰβαλλέσθαι A μεταβάλλεσθαι L
4, 2. προσάγειν: προσαγαγεῖν L 3. ἔξωθεν: ἔωθεν PA[1] ἔσωθεν MLVRCA[2]
4. ἡμέρας: ἡμέραις AMVRC 8. ἔμπροσθεν: ἔξωθεν L Lat 9. ἀνείχετο:
ἀνείχοντο PA | ἐνδοτέρω: ἐνδοτέρων L 10. δι' ὀργάνων: διὰ τῶν ὀργάνων
ALVRC 14. ὑπαντιάζοντας: ὑπαντιάζοντες L 18. ἀνενεγκόντες: ἀνενέγ-
καντες LVRC

madri prendevano tale cibo[14]. Ma, piú che alle madri, quei 218
pasti si addicevano ai padri, che dopo tanti orrori restavano
ancora in armi. Pur esprimendo questi pensieri egli si rendeva 219
conto della disperazione di quegli uomini: ormai non poteva
piú rinsavire chi aveva già sofferto tutte quelle sventure per
sfuggire alle quali avrebbe appunto dovuto rinsavire.

4, 1. Intanto due legioni avevano completato la costru- 220
zione dei terrapieni, e l'ottavo giorno del mese di Loos[1]
Tito diede ordine di far avanzare gli arieti contro l'esedra
occidentale del tempio esterno[2]. In precedenza l'elepoli piú 221
potente di tutte aveva ininterrottamente battuto per sei giorni
la muraglia, ma senza alcun risultato perché la grandezza e la
connessione dei blocchi avevano resistito ad essa come alle
restanti macchine. Altri si diedero a scalzare le fondamenta 222
della porta settentrionale, e con enormi sforzi riuscirono a
rimuovere i blocchi sul davanti. La porta però poggiava sui
blocchi retrostanti e rimase in piedi. Alla fine, si persuasero
che con le macchine e con le leve non avrebbero concluso
nulla, e allora appoggiarono le scale ai portici. I giudei non 223
fecero in tempo a ostacolarli, ma li attaccarono quando essi
erano già montati, e alcuni li respinsero facendoli precipitare
all'indietro, altri che resistevano li uccisero. Molti che cerca- 224
vano di scendere per le scale li colpirono con le spade prima che
potessero ripararsi con gli scudi, mentre alcune scale cariche di
legionari le rovesciarono spingendole dalla sommità. Ma anche 225
le loro perdite non furono lievi. I romani che avevano portato
in alto le insegne si battevano furiosamente intorno ad esse,
stimando un grave smacco, oltre che un disonore, la loro per-
dita. Ma alla fine i giudei s'impadronirono anche delle inse- 226
gne e sterminarono quelli che erano saliti; gli altri, atterriti
dalla sorte dei caduti, si ritirarono. Dei romani nessuno perí 227

οὖν Ῥωμαίων ἄπρακτος οὐδεὶς ἀπέθανεν, τῶν δὲ στασιαστῶν οἳ κατὰ τὰς προτέρας μάχας ἠγωνίσαντο γενναίως καὶ τότε, καὶ Ἐλεάζαρος ἀδελφιδοῦς τοῦ τυράννου Σίμωνος. 228 ὁ δὲ Τίτος ὡς ἑώρα τὴν ἐπὶ τοῖς ἀλλοτρίοις ἱεροῖς φειδὼ πρὸς βλάβης τοῖς στρατιώταις γινομένην καὶ φόνου, τὰς πύλας προσέταξεν ὑφάπτειν.

4, 2. 229 ἐν δὲ τούτῳ πρὸς αὐτὸν αὐτομολοῦσιν Ἄνανός τε ὁ ἀπ' Ἀμμαοῦς, τῶν Σίμωνος δορυφόρων ὁ φονικώτατος, καὶ Ἀρχέλαος υἱὸς Μαγαδδάτου, συγγνώμην ἐλπίσαντες ἐπειδὴ κρατούντων Ἰουδαίων ὑπεχώρουν. 230 Τίτος δὲ καὶ τοῦτο πανούργημα προυβάλλετο τῶν ἀνδρῶν, καὶ τὴν ἄλλην περὶ τοὺς ἰδίους ὠμότητα πεπυσμένος ὥρμητο κτείνειν ἑκατέρους, ὑπ' ἀνάγκης ἧχθαι λέγων αὐτούς, οὐκ ἐκ προαιρέσεως παρεῖναι, καὶ σωτηρίας οὐκ ἀξίους εἶναι τοὺς φλεγομένης ἤδη δι' αὐτοὺς τῆς πατρίδος ἐξαλλομένους. 231 ἐκράτει δ' ὅμως τοῦ θυμοῦ ἡ πίστις, καὶ ἀφίησι τοὺς ἄνδρας, οὐ μὴν ἐν ἴσῃ μοίρᾳ κατέτασσε τοῖς ἄλλοις. 232 ἤδη δὲ ταῖς πύλαις οἱ στρατιῶται προσῆγον τὸ πῦρ, καὶ περιτηκόμενος ὁ ἄργυρος διεδίδου ταχέως εἰς τὴν ξυλείαν τὴν φλόγα, ἔνθεν ἀθρόως ἐκφερομένη τῶν στοῶν ἐπελαμβάνετο. 233 τοῖς δ' Ἰουδαίοις ὁρῶσι τὸ πῦρ ἐν κύκλῳ μετὰ τῶν σωμάτων παρείθησαν αἱ ψυχαί, καὶ διὰ τὴν κατάπληξιν ἀμύνειν μὲν ἢ σβεννύειν ὥρμησεν οὐδείς, αὖοι δ' ἑστῶτες ἀφεώρων. 234 οὐ μὴν πρὸς τὸ δαπανώμενον ἀθυμοῦντες εἰς γοῦν τὸ λοιπὸν ἐσωφρόνουν, ἀλλ' ὡς ἤδη καὶ τοῦ ναοῦ καιομένου τοὺς θυμοὺς ἐπὶ Ῥωμαίους ἔθηγον. 235 ἐκείνην μὲν οὖν τὴν ἡμέραν καὶ τὴν ἐπιοῦσαν νύκτα τὸ πῦρ ἐπεκράτει· κατὰ μέρος γάρ, οὐχ ὁμοῦ πάντοθεν ἴσχυσαν ὑφάψαι τὰς στοάς.

4, 3. 236 τῇ δ' ἐπιούσῃ Τίτος μέρει τῆς δυνάμεως σβεν-

30. ὁ ἀπ' Ἀμμαοῦς: ὁ ἀφαμμαούς PA ὁ ἀφ' ἀμμαοῦς MR ὁ ἀφ' αμμαοῦς V καὶ σαπαμμαοῦς L 32. ὑπεχώρουν: ἀπεχώρουν VRC ἀνεχώρουν L 33. τοῦτο: τοῦτο τὸ L | προυβάλλετο: προβάλλεται PA προυβάλετο L 41. τὴν φλόγα: τὰς φλόγας LVR 42. ἐκφερομένη: ἐκφερόμεναι LVRC | ἐπελαμβάνετο: ἐπελαμβάνοντο LVRC 44. κατάπληξιν: κατὰ ψυχὴν ἔκπληξιν L

senza essersi battuto da valoroso; tra i giudei anche allora si segnalarono quelli che si erano distinti negli scontri precedenti, e ad essi si aggiunse Eleazar, nipote del tiranno Simone. 228 Ma ormai Tito, visto che per risparmiare un tempio straniero si causava il danno e la strage dei suoi uomini, ordinò di appiccare il fuoco alle porte.

4, 2. 229 A questo punto arrivarono nel suo campo due disertori, Anano di Emmaus[3], il piú sanguinario degli scherani di Simone, e Archelao figlio di Magaddato, i quali speravano di ottenere il perdono perché avevano disertato in un momento in cui i giudei avevano la meglio. 230 Ma Tito fece carico a loro anche di questo astuto calcolo e, informato della loro ferocia verso i propri concittadini, stava per metterli entrambi a morte, dichiarando che essi erano stati spinti dalla necessità e non per libera scelta si erano presentati, e che non meritava grazia chi fuggiva dalla patria ormai in fiamme per colpa sua. 231 Tuttavia sullo sdegno prevalse il rispetto per i supplici, ed egli mandò liberi i due pur non riservando loro lo stesso trattamento che agli altri. 232 I soldati intanto avevano già appiccato l'incendio alle porte e l'argento[4], liquefacendosi, propagò rapidamente al legname il fuoco che divampò avvolgendo i portici in un mare di fiamme. 233 I giudei, vedendosi circondati dal fuoco, si sentirono senza piú forza né coraggio, e per lo sbigottimento nessuno mosse un dito per porre riparo o per spegnere l'incendio, restandosene invece impietrito a guardare. 234 Ma sebbene avviliti di fronte a tanta rovina, non provarono alcuna resipiscenza per il futuro, anzi, come se già il tempio bruciasse, provavano un odio ancora piú acerbo verso i romani. 235 L'incendio divampò per tutto quel giorno[5] e per la notte seguente perché i romani non poterono appiccare il fuoco al portico contemporaneamente da tutte le parti, ma in tratti successivi.

4, 3. 236 Il giorno dopo[6], Tito comandò a una parte dell'eser-

νύειν τε καὶ τὰ παρὰ τὰς πύλας ὁδοποιεῖν εἰς εὐμαρεστέραν
τῶν ταγμάτων ἄνοδον κελεύσας αὐτὸς συνῆγε τοὺς ἡγε-
μόνας. καὶ συνελθόντων ἐξ τῶν κορυφαιοτάτων, Τιβερίου 237
55 τε Ἀλεξάνδρου τοῦ πάντων τῶν στρατευμάτων ἐπάρχοντος,
καὶ Σέξτου Κερεαλίου τοῦ τὸ πέμπτον ἄγοντος τάγμα,
καὶ Λαρκίου Λεπίδου τὸ δέκατον, καὶ Τίτου Φρυγίου τὸ
πεντεκαιδέκατον, πρὸς οἷς Φρόντων ἦν Ἐτέρνιος στρατοπε- 238
δάρχης τῶν ἀπὸ Ἀλεξανδρείας δύο ταγμάτων, καὶ Μᾶρκος
60 Ἀντώνιος Ἰουλιανὸς ὁ τῆς Ἰουδαίας ἐπίτροπος, καὶ μετὰ
τούτους ἐπιτρόπων καὶ χιλιάρχων ἀθροισθέντων, βουλὴν περὶ
τοῦ ναοῦ προυτίθει. τοῖς μὲν οὖν ἐδόκει χρῆσθαι τῷ τοῦ πο- 239
λέμου νόμῳ· μὴ γὰρ ἄν ποτε Ἰουδαίους παύσασθαι νεω-
τερίζοντας τοῦ ναοῦ μένοντος, ἐφ' ὃν οἱ πανταχόθεν συλ-
65 λέγονται. τινὲς δὲ παρῄνουν, εἰ μὲν καταλίποιεν αὐτὸν 240
Ἰουδαῖοι καὶ μηδεὶς ἐπ' αὐτοῦ τὰ ὅπλα θείη, σώζειν, εἰ
δὲ πολεμοῖεν ἐπιβάντες, καταφλέγειν· φρούριον γάρ, οὐ-
κέτι ναὸν εἶναι, καὶ τὸ λοιπὸν ἔσεσθαι τῶν ἀναγκασάντων
τὴν ἀσέβειαν, οὐχ αὑτῶν. ὁ δὲ Τίτος οὐδ' ἂν ἐπιβάντες 241
70 ἐπ' αὐτοῦ πολεμῶσιν Ἰουδαῖοι φήσας ἀντὶ τῶν ἀνδρῶν
ἀμυνεῖσθαι τὰ ἄψυχα οὐδὲ καταφλέξειν ποτὲ τηλικοῦτον
ἔργον· Ῥωμαίων γὰρ ἔσεσθαι τὴν βλάβην, ὥσπερ καὶ κό-
σμον τῆς ἡγεμονίας αὐτοῦ μένοντος· θαρροῦντες δ' ἤδη 242
προσετίθεντο τῇ γνώμῃ Φρόντων τε καὶ Ἀλέξανδρος καὶ
75 Κερεάλιος. τότε μὲν οὖν διαλύει τὸ συνέδριον καὶ τὰς ἄλλας 243
δυνάμεις διαναπαῦσαι κελεύσας τοῖς ἡγεμόσιν, ὅπως ἐρ-
ρωμενεστέροις ἐν τῇ παρατάξει χρήσαιτο, τοῖς ἀπὸ τῶν
σπειρῶν ἐπιλέκτοις ὁδοποιεῖν διὰ τῶν ἐρειπίων προσέταξε
καὶ τὸ πῦρ σβεννύειν.

52. τά: om. PAMVRC 53. αὐτός: αὐτοὺς L 56. τοῦ: om. PALVRC
58. Ἐτέρνιος: ἐτέρνιος M ετέρνιος VR ἐτέριος PA λιτέρνιος C *aeternius* Lat 65.
καταλίποιεν: καταλείποιεν PALV^{1}R 67. πολεμοῖεν Dindorf πολεμῷεν codd. |
ἐπιβάντες: ἐπιβάντας PAMVRC 69. τὴν: om. PAMVRC 70. πολεμῶσιν:
πολεμῷεν PAMVRC 71. ἀμυνεῖσθαι Niese ἀμύνεσθαι PAMVRC ἀμύνασθαι L
76-7. ἐρρωμενεστέροις Destinon ex Lat ἐρρωμένοις L ἐρρωμενέστερον PAMVRC
77. χρήσαιτο: χρήσαιντο AMVRC

cito di spegnere le fiamme e di spianare una via verso le porte
per rendere piú agevole l'avanzata verso l'alto delle legioni,
e quindi convocò a consiglio gli ufficiali. Erano presenti sei 237
dei comandanti piú elevati, cioè Tiberio Alessandro prefetto
di tutti gli accampamenti[7], Sesto Ceriale comandante della
quinta legione[8], Larcio Lepido della decima[9], Tittio Frugi della
quindicesima[10], Eternio Frontone delle due legioni alessan- 238
drine[11] e Marco Antonio Giuliano procuratore della Giudea[12];
intervennero inoltre anche procuratori e tribuni militari[13]. Con
tutti costoro Tito mise in discussione il problema del tempio.
Alcuni manifestarono l'avviso che esso dovesse subire i ri- 239
gori delle leggi di guerra, poiché i giudei non avrebbero mai
cessato di ribellarsi finché restava in piedi il tempio nel quale
si radunavano da ogni parte; altri espressero il parere che se 240
i giudei lo evacuavano e nessuno vi piazzava sopra delle armi
poteva essere risparmiato, mentre se vi montavano sopra per
continuare la resistenza bisognava incendiarlo: cosí infatti non
era piú un tempio, ma diventava una fortezza, e da quel mo-
mento l'empietà sarebbe stata non dei romani, ma di chi ve
li costringeva. Tito però sentenziò che neppure se i giudei 241
avessero preso posizione sul tempio per continuare a resister-
gli egli si sarebbe sfogato contro le cose invece che contro
gli uomini, né mai avrebbe dato alle fiamme un edificio cosí
maestoso; la sua rovina sarebbe stata una perdita per i romani
cosí come la sua conservazione era di ornamento per l'im-
pero[14]. Confortati da tali argomenti si espressero allora in 242
favore di tale risoluzione anche Frontone, Alessandro e Ce-
riale. A questo punto Tito sciolse l'adunanza e ordinò ai 243
comandanti di far riposare tutti i loro uomini, per averli piú
gagliardi in battaglia, tranne i soldati scelti delle coorti, cui
diede l'incarico di aprire una strada attraverso le macerie e di
spegnere l'incendio.

4, 4. κατ' ἐκείνην μὲν δὴ τὴν ἡμέραν τῶν Ἰουδαίων κάματός τε καὶ κατάπληξις ἐκράτησε τὰς ὁρμάς· τῇ δ' ἐπιούσῃ συλλεξάμενοί τε τὴν ἰσχὺν καὶ ἀναθαρσήσαντες ἐπεκθέουσι διὰ τῆς ἀνατολικῆς πύλης τοῖς φύλαξι τοῦ ἔξωθεν ἱεροῦ περὶ δευτέραν ὥραν. οἱ δὲ καρτερῶς μὲν ἐδέξαντο αὐτῶν τὴν ἐμβολὴν καὶ φραξάμενοι τοῖς θυρεοῖς κατὰ μέτωπον ὥσπερ τεῖχος ἐπύκνωσαν τὴν φάλαγγα, δῆλοι δ' ἦσαν οὐκ ἐπὶ πολὺ συμμενοῦντες πλήθει τε τῶν ἐκτρεχόντων καὶ θυμοῖς ἡττώμενοι. φθάσας δὲ τῆς παρατάξεως τὴν ῥοπὴν Καῖσαρ, καθεώρα γὰρ ἀπὸ τῆς Ἀντωνίας, ἐπήμυνε μετὰ τῶν ἐπιλέκτων ἱππέων. Ἰουδαῖοι δὲ τὴν ἔφοδον οὐχ ὑπέμειναν, ἀλλὰ τῶν πρώτων πεσόντων ἐτράπησαν οἱ πολλοί· καὶ ὑποχωροῦσι μὲν τοῖς Ῥωμαίοις ἐπιστρεφόμενοι προσέκειντο, μεταβαλλομένων δ' ἀνέφευγον πάλιν, ἕως περὶ πέμπτην τῆς ἡμέρας ὥραν οἱ μὲν βιασθέντες εἰς τὸ ἔνδον συνεκλείσθησαν ἱερόν,

4, 5. Τίτος δ' ἀνεχώρησεν εἰς τὴν Ἀντωνίαν διεγνωκὼς τῆς ἐπιούσης ἡμέρας ὑπὸ τὴν ἕω μετὰ πάσης ἐμβαλεῖν τῆς δυνάμεως καὶ τὸν ναὸν περικατασχεῖν. τοῦ δ' ἄρα κατεψήφιστο μὲν τὸ πῦρ ὁ θεὸς πάλαι, παρῆν δ' ἡ εἱμαρμένη χρόνων περιόδοις ἡμέρα δεκάτη Λώου μηνός, καθ' ἣν καὶ πρότερον ὑπὸ τοῦ τῶν Βαβυλωνίων βασιλέως ἐνεπρήσθη. λαμβάνουσι δ' αἱ φλόγες ἐκ τῶν οἰκείων τὴν ἀρχὴν καὶ τὴν αἰτίαν· ὑποχωρήσαντος γὰρ τοῦ Τίτου πρὸς ὀλίγον λωφήσαντες οἱ στασιασταὶ πάλιν τοῖς Ῥωμαίοις ἐπιτίθενται, καὶ τῶν τοῦ ναοῦ φρουρῶν γίνεται συμβολὴ πρὸς τοὺς σβεννύντας τὸ πῦρ τοῦ ἔνδοθεν ἱεροῦ οἳ τρεψάμενοι τοὺς Ἰουδαίους μέχρι τοῦ ναοῦ παρηκολούθουν. ἔνθα δή τῶν στρατιωτῶν τις, οὔτε παράγγελμα περιμείνας οὔτ' ἐπὶ τηλικούτῳ δείσας ἐγχειρήματι, δαιμονίῳ ὁρμῇ τινι χρώ-

80. τῶν: om. AL | τῶν Ἰουδαίων: om. VRC 83. φύλαξι: φυλάξασι M 86. ἐπύκνωσαν: ἐκύκλωσαν L 87. συμμενοῦντες Bekker ex Lat συμμένοντες codd. 97. τῆς ἐπιούσης ἡμέρας: τῇ ἐπιούσῃ ἡμέρα MVRC 101. καὶ πρότερον: καὶ τὸ πρότερον VRC 107. τοῦ ναοῦ: τοῦ ἔνδοθεν ναοῦ A | παρηκολούθουν: παρη... P παρῆλθον MLVRC

4, 4. Per quel giorno la stanchezza e la costernazione paralizzarono la foga dei giudei, ma il giorno dopo[15], raccolte le forze e ripreso coraggio, verso l'ora seconda[16] attraverso la porta orientale fecero una sortita contro gli uomini schierati a guardia del piazzale esterno. I romani sostennero vigorosamente il loro assalto e serrarono le file formando con gli scudi come un muro sulla loro fronte, anche se era chiaro che non avrebbero resistito a lungo cedendo al gran numero e alla furia degli assalitori. Allora Cesare, che osservava lo scontro dall'Antonia, prima che lo schieramento romano venisse travolto, inviò in appoggio la cavalleria scelta. I giudei non resistettero alla carica e, caduti i primi, per la gran parte si diedero alla fuga. Quando però i romani si ritrassero essi si volsero a riprendere l'assalto, e poi, avendo quelli di nuovo caricato, essi ancora una volta retrocedettero finché verso l'ora quinta furono travolti e, mentre venivano bloccati nel piazzale interno,

4, 5. Tito si ritirava nell'Antonia deciso a scatenare all'alba del giorno dopo[17] un assalto con tutte le forze per investire da ogni parte il tempio. Questo già da parecchio tempo era stato dal dio condannato alle fiamme, e col volger degli evi ritornò il giorno fatale, il dieci del mese di Loos, quello in cui una volta esso era già stato incendiato dal re dei babilonesi[18]. Le fiamme ebbero inizio e furono causate ad opera dei giudei[19]; infatti, ritiratosi Tito, i ribelli dopo un breve riposo si scagliarono di nuovo contro i romani e infuriò uno scontro fra i difensori del santuario e i soldati intenti a spegnere il fuoco nel piazzale interno. Costoro, volti in fuga i giudei, li inseguirono fino al tempio, e fu allora che un soldato senza aspettare l'ordine e senza provare alcun timore nel compiere un atto cosí terribile, spinto da una forza

110 μενος ἁρπάζει μὲν ἐκ τῆς φλεγομένης ὕλης, ἀνακουφισθεὶς
δ' ὑπὸ συστρατιώτου τὸ πῦρ ἐνίησι θυρίδι χρυσῇ, καθ'
ἣν εἰς τοὺς περὶ τὸν ναὸν οἴκους εἰσιτὸν ἦν ἐκ τοῦ βο-
ρείου κλίματος. αἰρομένης δὲ τῆς φλογὸς Ἰουδαίων μὲν 253
ἐγείρεται κραυγὴ τοῦ πάθους ἀξία, καὶ πρὸς τὴν ἄμυναν
115 συνέθεον, οὔτε τοῦ ζῆν ἔτι φειδὼ λαμβάνοντες οὔτε ταμιευ-
όμενοι τὴν ἰσχύν, δι' ὃν φυλακτικοὶ πρότερον ἦσαν οἰ-
χομένου.

4, 6. δραμὼν δέ τις ἀγγέλλει Τίτῳ· κἀκεῖνος, ἔτυχεν 254
δὲ κατὰ σκηνὴν ἀναπαυόμενος ἐκ τῆς μάχης, ὡς εἶχεν
120 ἀναπηδήσας ἔθει πρὸς τὸν ναὸν εἴρξων τὸ πῦρ. κατόπιν 255
δ' οἵ τε ἡγεμόνες εἵποντο πάντες, καὶ πτοηθέντα τούτοις
ἠκολούθει τὰ τάγματα· βοὴ δ' ἦν καὶ θόρυβος ἅτε τηλι-
καύτης δυνάμεως ἀτάκτως κεκινημένης. ὁ μὲν οὖν Καῖσαρ 256
τῇ τε φωνῇ καὶ τῇ δεξιᾷ διεσήμαινε τοῖς μαχομένοις τὸ
125 πῦρ σβεννύειν, οὔτε δὲ βοῶντος ἤκουον μείζονι κραυγῇ τὰς
ἀκοὰς προκατειλημμένοι καὶ τοῖς νεύμασι τῆς χειρὸς οὐ
προσεῖχον, οἱ μὲν τῷ πολεμεῖν, οἱ δ' ὀργῇ περισπώμενοι.
τῶν δὲ ταγμάτων εἰσθεόντων οὔτε παραίνεσις οὔτ' ἀπειλὴ 257
κατεῖχεν τὰς ὁρμάς, ἀλλ' ὁ θυμὸς ἁπάντων ἐστρατήγει· καὶ
130 περὶ τὰς εἰσόδους συνωθούμενοι πολλοὶ μὲν ὑπ' ἀλλήλων
κατεπατοῦντο, πολλοὶ δὲ θερμοῖς ἔτι καὶ τυφομένοις τοῖς
ἐρειπίοις τῶν στοῶν ἐμπίπτοντες ἡττωμένων συμφοραῖς ἐ-
χρῶντο. πλησίον δὲ τοῦ ναοῦ γινόμενοι τῶν μὲν τοῦ Καίσα- 258
ρος παραγγελμάτων προσεποιοῦντο μηδὲ κατακούειν, τοῖς
135 πρὸ αὐτῶν δὲ τὸ πῦρ ἐνιέναι παρεκελεύοντο. τῶν δὲ στα- 259
σιαστῶν ἀμηχανία μὲν ἦν ἤδη τοῦ βοηθεῖν, φόνος δὲ πανταχοῦ
καὶ τροπή. τὸ δὲ πλέον ἀπὸ τοῦ δήμου λαὸς ἀσθενὴς
καὶ ἄνοπλος ὅπου καταληφθείη τις ἀπεσφάττετο, καὶ περὶ

110. ὕλης: φλογός PA 111. συστρατιώτου Bekker ex Lat στρατιώτου codd. 116. δι' ὃν Destinon δι' οὗ PAL δι' ὃ καὶ MVRC 122. ἠκολούθει: ἠκολούθη ARC 124. φωνῇ: βοῇ PAMVRC 126. τοῖς νεύμασι: τῷ νεύματι VRC 129. ἀλλ' ὁ: ἀλλὰ VRC 135. πρὸ: παρ' VRC 138. καταληφθείη: καταλειφθείη PAL

sovrannaturale[20] afferrò un tizzone ardente e, fattosi sollevare da un commilitone, lo scagliò dentro attraverso una finestra dorata che dava sulle stanze adiacenti al tempio sul lato settentrionale[21]. Al levarsi delle fiamme i giudei proruppero in 253 un grido terrificante come quel tragico momento e, incuranti della vita e senza risparmio di forze, si precipitarono al soccorso perché stava per andar distrutto quello che fino allora avevano cercato di salvare[22].

4, 6. Qualcuno corse ad avvisare Tito, che s'era anch'egli 254 ritirato sotto la tenda per concedersi un po' di riposo dopo la battaglia; balzato in piedi, egli corse come si trovava verso il tempio per cercare di domare l'incendio. Lo seguivano tutti 255 i generali e dietro a questi le legioni in preda all'eccitazione, fra grande schiamazzo e confusione, com'era inevitabile nel muoversi disordinato di forze cosí numerose. Sia con la voce, 256 sia con la mano, Cesare diede ordine ai combattenti di spegnere il fuoco, ma essi né udirono le sue parole, assordati dai clamori piú forti, né badarono ai segni della mano, essendo tutti presi alcuni dal combattimento, altri da una smania furiosa. A frenare l'impeto delle legioni non valsero né esorta- 257 zioni né minacce, ma tutti si lasciavano trasportare dalla furia. Accalcandosi intorno alle entrate, molti si calpestarono fra loro, e molti furono anche quelli che, sospinti verso le rovine ancora calde e fumanti dei portici, subirono la stessa sorte dei vinti. Quando poi furono vicini al tempio fecero mostra di 258 nemmeno udire gli ordini di Cesare[23], e a quelli che stavano davanti a loro gridavano di scagliarvi dentro il fuoco. I ri- 259 belli ormai non potevano piú mettere riparo, e dovunque era strage e fuga. La maggior parte degli uccisi furono popolani deboli e inermi, tutti trucidati sul posto dove venivano presi[24];

μὲν τὸν βωμὸν πλῆθος ἐσωρεύετο νεκρῶν, κατὰ δὲ τῶν
140 τοῦ ναοῦ βάθρων αἷμά τ' ἔρρει πολὺ καὶ τὰ τῶν ἄνω φο-
νευομένων σώματα κατωλίσθανε.

4, 7. Καῖσαρ δ' ὡς οὔτε τὰς ὁρμὰς ἐνθουσιώντων τῶν 260
στρατιωτῶν κατασχεῖν οἷός τε ἦν καὶ τὸ πῦρ ἐπεκράτει,
παρελθὼν μετὰ τῶν ἡγεμόνων ἔνδον ἐθεάσατο τοῦ ναοῦ
145 τὸ ἅγιον καὶ τὰ ἐν αὐτῷ, πολὺ μὲν τῆς παρὰ τοῖς ἀλλοφύ-
λοις φήμης ἀμείνω, τοῦ δὲ κόμπου καὶ τῆς παρὰ τοῖς οἰ-
κείοις δόξης οὐκ ἐλάττω. τῆς φλογὸς δ' οὐδέπω διικνου- 261
μένης οὐδαμόθεν εἴσω, τοὺς δὲ περὶ τὸν ναὸν οἴκους νεμο-
μένης, νομίσας, ὅπερ ἦν, ἔτι σώζεσθαι τὸ ἔργον δύνα-
150 σθαι προπηδᾷ, καὶ αὐτός τε παρακαλεῖν τοὺς στρατιώτας 262
ἐπειρᾶτο τὸ πῦρ σβεννύειν καὶ Λιβεράλιον ἑκατοντάρχην
τῶν περὶ αὐτὸν λογχοφόρων ξύλοις παίοντα τοὺς ἀπει-
θοῦντας ἐκέλευσεν εἴργειν. τῶν δὲ καὶ τὴν πρὸς τὸν Καίσαρα 263
αἰδῶ καὶ τὸν ἀπὸ τοῦ κωλύοντος φόβον ἐνίκων οἱ θυμοὶ
155 καὶ τὸ πρὸς Ἰουδαίους μῖσος καὶ πολεμική τις ὁρμὴ λα-
βροτέρα· τοὺς δὲ πολλοὺς ἐνῆγεν ἁρπαγῆς ἐλπίς, δόξαν 264
τε ἔχοντας ὡς τὰ ἔνδον ἅπαντα χρημάτων μεστὰ εἴη καὶ
τὰ πέριξ ὁρῶντας χρυσοῦ πεποιημένα. φθάνει δέ τις καὶ 265
τῶν εἴσω παρεληλυθότων, ἐκπηδήσαντος τοῦ Καίσαρος πρὸς
160 ἐποχὴν τῶν στρατιωτῶν, πῦρ εἰς τοὺς στροφέας ἐμβαλὼν
τῆς πύλης ἐν σκότῳ· τότε γὰρ ἐξαπίνης ἔνδοθεν ἐκφανείσης 266
φλογὸς οἵ τε ἡγεμόνες μετὰ τοῦ Καίσαρος ἀνεχώρουν, καὶ
τοὺς ἔξωθεν οὐδεὶς ὑφάπτειν ἐκώλυεν. ὁ μὲν οὖν ναὸς οὕτως
ἄκοντος Καίσαρος ἐμπίπραται.

165 **4,** 8. πολλὰ δ' ἄν τις ἐπολοφυράμενος ἔργῳ πάντων ὧν 267
ὄψει καὶ ἀκοῇ παρειλήφαμεν θαυμασιωτάτῳ κατασκευῆς τε
ἕνεκα καὶ μεγέθους, ἔτι τε τῆς καθ' ἕκαστον πολυτελείας
καὶ τῆς περὶ τὰ ἅγια δόξης, μεγίστην λάβοι παραμυθίαν

139. μὲν: om. PAMVR 140. ναοῦ: βωμοῦ VRC 145-6. ἀλλοφύλοις: ἀλλοφίλοις A 153. πρὸς τὸν: πρὸς τὸ P πρὸς LVRC 157. τε: om. P Lat fortasse recte | μεστὰ: μετὰ A[1] μέγιστα V 160. ἐμβαλὼν: ἐμβάλλων A 163. ὑφάπτειν: ὑφάπτων L ἐφάπτειν PAC 165. ἔργῳ: ἔργων LVR

intorno all'altare si accumulò un mucchio di cadaveri mentre lungo la scalinata del tempio correva un fiume di sangue e rotolavano i corpi di quelli che venivano massacrati su in alto.

4, 7. Cesare, nell'impossibilità di arginare la furia dei sol- 260 dati mentre d'altro canto l'incendio si sviluppava inesorabilmente, accompagnato dai suoi generali entrò nel tempio per vedere il luogo sacro e gli oggetti in esso contenuti, che superavano di gran lunga la fama che ne correva fra gli stranieri e non erano inferiori al vanto e alla gloria che se ne facevano i giudei[25]. Poiché le fiamme non erano ancora penetrate da 261 nessuna parte all'interno del tempio, ma stavano devastando solo le stanze adiacenti tutt'intorno, Tito giudicò che l'edificio poteva ancora essere salvato, come in realtà era, e, affrettatosi a uscire, si mise a esortare personalmente i soldati a spegnere 262 l'incendio dando ordine contemporaneamente a Liberale[26], centurione dei suoi lancieri di guardia, di mettere a posto a colpi di bastone chi non ubbidiva. Ma, nei soldati, sull'osse- 263 quio a Cesare e sul timore per le minacce del centurione avevano il sopravvento il furore, l'odio contro i giudei e un incontenibile ardore guerresco; inoltre i piú erano spinti dalla speranza di far bottino, convinti che dentro fosse un ammasso 264 di tesori, anche perché fuori vedevano tutto incorniciato d'oro. Improvvisamente uno di quelli che erano entrati nel tempio, 265 quando già Cesare era uscito per cercare di fermare i soldati, gettò nell'oscurità un tizzo sopra i cardini della porta; all'im- 266 provviso balenare del fuoco all'interno, i duci insieme con Cesare si ritirarono e piú nessuno impedí ai soldati che stavano fuori di propagare l'incendio. E cosí, contro il volere di Cesare, il tempio fu distrutto dalle fiamme.

4, 8. Chi fosse afflitto dal piú vivo rimpianto per un capo- 267 lavoro che per la sua struttura e per la sua grandiosità, nonché per la magnificenza di tutte le sue parti e per la fama del suo luogo santo, era mirabile al di sopra di tutti quelli che noi

τὴν εἱμαρμένην, ἄφυκτον οὖσαν ὥσπερ ἐμψύχοις οὕτω καὶ
170 ἔργοις καὶ τόποις. θαυμάσαι δ' ἄν τις ἐν αὐτῇ τῆς περιόδου 268
τὴν ἀκρίβειαν· καὶ μῆνα γοῦν, ὡς ἔφην, καὶ ἡμέραν ἐτήρησεν
τὴν αὐτήν, ἐν ᾗ πρότερον ὑπὸ Βαβυλωνίων ὁ ναὸς ἐνεπρήσθη.
καὶ ἀπὸ μὲν τῆς πρώτης αὐτοῦ κτίσεως, ἣν κατεβάλετο 269
Σολομὼν ὁ βασιλεύς, μέχρι τῆς νῦν ἀναιρέσεως, ἣ γέγονεν
175 ἔτει δευτέρῳ τῆς Οὐεσπασιανοῦ ἡγεμονίας, ἔτη συνάγεται
χίλια ἑκατὸν τριάκοντα, πρὸς δὲ μῆνες ἑπτὰ καὶ πεντε-
καίδεκα ἡμέραι· ἀπὸ δὲ τῆς ὕστερον, ἣν ἔτει δευτέρῳ 270
Κύρου βασιλεύοντος ἐποιήσατο Ἀγγαῖος, ἔτη μέχρι τῆς ὑπὸ
Οὐεσπασιανοῦ ἁλώσεως τριακονταεννέα πρὸς ἑξακοσίοις καὶ
180 ἡμέραι τεσσαρακονταπέντε.

5, 1. καιομένου δὲ τοῦ ναοῦ τῶν μὲν προσπιπτόντων ἦν 271
ἁρπαγή, φόνος δὲ τῶν καταλαμβανομένων μυρίος καὶ οὔτε
ἡλικίας ἦν ἔλεος οὔτ' ἐντροπὴ σεμνότητος, ἀλλὰ καὶ παιδία
καὶ γέροντες καὶ βέβηλοι καὶ ἱερεῖς ὁμοίως ἀνῃροῦντο, καὶ
5 πᾶν γένος ἐπεξῄει περισχὼν ὁ πόλεμος, ὁμοῦ τούς τε ἱκε-
τεύοντας καὶ τοὺς ἀμυνομένους. συνήχει δ' ἡ φλὸξ ἐπὶ 272
πλεῖστον ἐκφερομένη τοῖς τῶν πιπτόντων στεναγμοῖς, καὶ
διὰ μὲν τὸ ὕψος τοῦ λόφου καὶ τὸ τοῦ φλεγομένου μέγεθος
ἔργου πᾶσαν ἄν τις ἔδοξε καίεσθαι τὴν πόλιν, τῆς δὲ βοῆς
10 ἐκείνης οὐδὲν ἐπινοηθῆναι δύναιτ' ἂν ἢ μεῖζον ἢ φοβερώ-
τερον. τῶν τε γὰρ Ῥωμαϊκῶν ταγμάτων ἀλαλαγμὸς ἦν 273
συμφερομένων, καὶ τῶν στασιαστῶν πυρὶ καὶ σιδήρῳ κε-
κυκλωμένων κραυγή, τοῦ τε ἀποληφθέντος ἄνω λαοῦ τροπή
τε μετ' ἐκπλήξεως εἰς τοὺς πολεμίους καὶ πρὸς τὸ πάθος
15 οἰμωγαί. συνεβόα δὲ τοῖς ἐπὶ τοῦ λόφου τὸ κατὰ τὴν πόλιν 274
πλῆθος· ἤδη δὲ πολλοὶ τῷ λιμῷ μαραινόμενοι καὶ μεμυκότες
ὡς εἶδον τὸ τοῦ ναοῦ πῦρ, εἰς ὀδυρμοὺς πάλιν καὶ κραυγὴν

170. θαυμάσαι: θαυμάσειε L 172. ἐνεπρήσθη: ἐνεπρίσθη A κατεφλέγη L
173. ἣν: ἦν A 175. ἔτει: ἐν ἔτει AL 180. ἡμέραι: ἡμέραις PAL
5, 2. καὶ οὔτε: οὔτε A οὔτε γὰρ M οὔτε δὲ LVRC 6. τούς: om. VRC 9. ἄν: om. L 13. ἀποληφθέντος: ἀπολειφθέντος ML 15. συνεβόα: συνεβόων L

abbiamo visto o di cui abbiamo sentito parlare, potrebbe tro-
vare un grandissimo conforto pensando al fato[27], a cui come
gli esseri viventi, così anche le costruzioni e i luoghi non pos-
sono sottrarsi. Una cosa che colpisce è poi il corso preciso 268
della ruota del destino; infatti, come ho già notato, esso at-
tese il ritorno dello stesso mese e dello stesso giorno in cui il
tempio era stato precedentemente incendiato dai babilonesi[28].
Dalla sua prima fondazione, ad opera del re Salomone, fino 269
alla presente distruzione, avvenuta nel secondo anno di regno
di Vespasiano, si ha un totale di millecentotrent'anni, sette
mesi e quindici giorni; dalla seconda fondazione, fatta da 270
Aggeo nel secondo anno di regno di Ciro, fino alla distruzione
sotto Vespasiano passarono seicentotrentanove anni e quaran-
tacinque giorni[29].

5, 1. Mentre il tempio bruciava, gli assalitori saccheggia- 271
rono qualunque cosa capitava e fecero un'immensa strage di
tutti quelli che presero, senza alcun rispetto per l'età né ri-
guardo per l'importanza delle persone: bambini e vecchi, laici
e sacerdoti, tutti indistintamente vennero massacrati, e la guer-
ra ghermí e stritolò ogni sorta di persone, sia che chiedessero
mercé sia che tentassero di resistere. Il fragore dell'incendio, 272
che si estendeva in lungo e in largo, faceva eco ai lamenti
dei caduti; l'altezza del colle e la grandezza dell'edificio in
fiamme davano l'impressione che bruciasse l'intera città, e il
frastuono era tale da non potersi immaginare nulla di piú
grande e di piú terrificante. Da una parte il grido di guerra 273
delle legioni romane che attaccavano in massa, dall'altro l'urlo
dei ribelli presi in mezzo tra ferro e fuoco, mentre i popolani
rimasti bloccati lassú in alto[1] fuggendo sbigottiti incappavano
nei nemici e perivano fra alte grida. Ai clamori provenienti 274
dall'alto si mescolavano quelli della massa degli abitanti della
città, perché ora, alla vista del tempio in fiamme, molti che
per lo sfinimento della fame avevano perduto la forza di par-

εὐτόνησαν· συνήχει δ' ἥ τε Περαία καὶ τὰ πέριξ ὄρη βαρυτέραν ποιοῦντα τὴν βοήν. ἦν δὲ τοῦ θορύβου τὰ πάθη φοβερώτερα· τὸν μέν γε τοῦ ἱεροῦ λόφον ἐκ ῥιζῶν ἄν τις ἔδοξε βράττεσθαι πάντοθεν τοῦ πυρὸς καταγέμοντα, δαψιλέστερον δὲ τὸ αἷμα τοῦ πυρὸς εἶναι καὶ τῶν φονευόντων πλείους τοὺς φονευομένους· οὐδαμοῦ γὰρ ἡ γῆ διεφαίνετο τῶν νεκρῶν, ἀλλὰ καὶ σωροῖς ἐπεμβαίνοντες οἱ στρατιῶται σωμάτων ἐπὶ τοὺς διαφεύγοντας ἔθεον. τὸ μὲν οὖν λῃστρικὸν πλῆθος ὠσάμενοι τοὺς Ῥωμαίους μόλις εἰς τὸ ἔξω διεκπίπτουσιν ἱερὸν κἀκεῖθεν εἰς τὴν πόλιν, τοῦ δημοτικοῦ δὲ τὸ λειφθὲν ἐπὶ τὴν ἔξω στοὰν κατέφυγε. τῶν δ' ἱερέων τινὲς τὸ μὲν πρῶτον ἀπὸ τοῦ ναοῦ τούς τε ὀβελοὺς καὶ τὰς ἕδρας αὐτῶν μολίβου πεποιημένας ἀνασπῶντες εἰς τοὺς Ῥωμαίους ἠφίεσαν, αὖθις δ' ὡς οὔτ' ἤνυόν τι καὶ τὸ πῦρ ἐπ' αὐτοὺς ἀνερρήγνυτο, ἐπὶ τὸν τοῖχον ἀναχωρήσαντες, ὄντα ὀκτάπηχυν τὸ εὖρος, ἔμενον. δύο γε μὴν τῶν ἐπισήμων, παρὸν σωθῆναι πρὸς Ῥωμαίους μεταστᾶσιν ἢ διακαρτερεῖν πρὸς τὴν μετὰ τῶν ἄλλων τύχην, ἑαυτοὺς ἔρριψαν εἰς τὸ πῦρ καὶ τῷ ναῷ συγκατεφλέγησαν, Μηϊρός τε υἱὸς Βελγᾶ καὶ Ἰώσηπος Δαλαίου.

5, 2. Ῥωμαῖοι δὲ μάταιον τὴν ἐπὶ τοῖς πέριξ φειδὼ κρίναντες τοῦ ναοῦ φλεγομένου πάντα συνεπίμπρασαν, τά τε λείψανα τῶν στοῶν καὶ τὰς πύλας πλὴν δύο, τῆς μὲν ἐκ τῶν ἀνατολικῶν, τῆς δὲ μεσημβρινῆς· καὶ ταύτας ὕστερον κατέσκαψαν. ἔκαιον δὲ καὶ τὰ γαζοφυλάκια, ἐν οἷς ἄπειρον μὲν χρημάτων πλῆθος ἄπειροι δ' ἐσθῆτες καὶ ἄλλα κειμήλια, συνελόντι δ' εἰπεῖν, πᾶς ὁ Ἰουδαίων σεσώρευτο πλοῦτος, ἀνεσκευασμένων ἐκεῖ τοὺς οἴκους τῶν εὐπόρων. ἧκον δὲ καὶ ἐπὶ τὴν λοιπὴν στοὰν τοῦ ἔξωθεν ἱεροῦ· καταπεφεύγει

19. βοήν: ὁρμὴν LVRC 21. βράττεσθαι: διάττεσθαι VRC[1] διάγεσθαι C[2] 24. τῶν: ἐκ τῶν L | ἀλλὰ καί: ἀλλὰ LC | ἐπεμβαίνοντες: ἐπιβαίνοντες PA 28. λειφθὲν: ληφθὲν PA 39. συνεπίμπρασαν: συνεμπίμπρασαν V συνεπίπρασαν C 40. πύλας: πύλας αὐτῶν L 45. ἀνεσκευασμένων: ἀνασκευασαμένων L | τοὺς οἴκους: τῶν οἴκων MVRC 46. καταπεφεύγει Bekker καταφεύγει codd.

lare ripresero a gemere e a urlare. Facevano eco la Perea[2] e le montagne all'intorno ingrossando i clamori. Ma piú terribile del panico erano le sofferenze; pareva che la collina del tempio ribollisse dalle radici gonfia di fuoco in ogni parte, e che tuttavia il sangue fosse piú copioso del fuoco e gli uccisi piú numerosi dei loro uccisori. La terra era tutta ricoperta di cadaveri, e i soldati per inseguire i fuggiaschi dovevano calpestare mucchi di corpi. La massa dei ribelli riuscí a stento ad aprirsi un varco tra i romani sboccando nel piazzale esterno e di lí nella città, mentre i superstiti del popolo si rifugiarono sul portico esterno. Alcuni sacerdoti dapprincipio si diedero a divellere dalla sommità del tempio gli spiedi con tutti i loro sostegni fatti di piombo e li scagliarono contro i romani[3]; poi, visto che non concludevano niente e che le fiamme stavano per raggiungerli, si ritirarono sul muro[4], che aveva la larghezza di otto cubiti, e vi rimasero. Due dei piú insigni, Meir figlio di Belgas e Giuseppe figlio di Daleo, pur potendo salvarsi passando dalla parte dei romani, oppure continuare a resistere dividendo la sorte degli altri, si gettarono nelle fiamme e finirono bruciati insieme col tempio.

5, 2. I romani, considerando inutile risparmiare gli edifici circostanti ora che il tempio bruciava, appiccarono il fuoco a tutti, e cosí anche ai resti dei portici e alle porte tranne due, una a oriente e un'altra a mezzogiorno; ma piú tardi distrussero anche queste. Incendiarono inoltre le stanze del tesoro, in cui erano riposti un'infinità di denaro, di vesti preziose e altri oggetti di valore: in una parola tutta la ricchezza dei giudei, avendovi i signori trasferito tutto ciò che tenevano nelle loro case[5]. Arrivarono poi al portico superstite del piaz-

δ' ἐπ' αὐτὴν ἀπὸ τοῦ δήμου γύναια καὶ παιδία καὶ σύμ-
μικτος ὄχλος εἰς ἑξακισχιλίους. πρὶν δὲ Καίσαρα κρῖναί τι 284
περὶ αὐτῶν ἢ κελεῦσαι τοὺς ἡγεμόνας, φερόμενοι τοῖς θυμοῖς
50 οἱ στρατιῶται τὴν στοὰν ὑφάπτουσι, καὶ συνέβη τοὺς μὲν
ῥιπτοῦντας αὑτοὺς ἐκ τῆς φλογὸς διαφθαρῆναι, τοὺς δ' ἐν
αὐτῇ· περιεσώθη δ' ἐκ τοσούτων οὐδείς. τούτοις αἴτιος τῆς 285
ἀπωλείας ψευδοπροφήτης τις κατέστη κατ' ἐκείνην κηρύξας
τὴν ἡμέραν τοῖς ἐπὶ τῆς πόλεως, ὡς ὁ θεὸς ἐπὶ τὸ ἱερὸν
55 ἀναβῆναι κελεύει δεξομένους τὰ σημεῖα τῆς σωτηρίας. πολλοὶ 286
δ' ἦσαν ἐγκάθετοι παρὰ τῶν τυράννων τότε πρὸς τὸν δῆμον
προφῆται, προσμένειν τὴν ἀπὸ θεοῦ βοήθειαν καταγγέλ-
λοντες, ὡς ἧττον αὐτομολοῖεν καὶ τοὺς ἐπάνω δέους καὶ
φυλακῆς γενομένους ἐλπὶς παρακροτοίη. πείθεται δὲ ταχέως 287
60 ἄνθρωπος ἐν συμφοραῖς, ὅταν δ' ἤδη καὶ τῶν κατεχόντων
δεινῶν ἀπαλλαγὴν ὁ ἐξαπατῶν ὑπογράφῃ, τόθ' ὁ πάσχων
ὅλος γίνεται τῆς ἐλπίδος.

5, 3. τὸν γοῦν ἄθλιον δῆμον οἱ μὲν ἀπατεῶνες καὶ κατα- 288
ψευδόμενοι τοῦ θεοῦ τηνικαῦτα παρέπειθον, τοῖς δ' ἐναργέσι
65 καὶ προσημαίνουσι τὴν μέλλουσαν ἐρημίαν τέρασιν οὔτε
προσεῖχον οὔτ' ἐπίστευον, ἀλλ' ὡς ἐμβεβροντημένοι καὶ
μήτ' ὄμματα μήτε ψυχὴν ἔχοντες τῶν τοῦ θεοῦ κηρυγμάτων
παρήκουσαν, τοῦτο μὲν ὅτε ὑπὲρ τὴν πόλιν ἄστρον ἔστη 289
ῥομφαίᾳ παραπλήσιον καὶ παρατείνας ἐπ' ἐνιαυτὸν κομήτης,
70 τοῦτο δ' ἡνίκα πρὸ τῆς ἀποστάσεως καὶ τοῦ πρὸς τὸν 290
πόλεμον κινήματος ἀθροιζομένου τοῦ λαοῦ πρὸς τὴν τῶν
ἀζύμων ἑορτήν, ὀγδόῃ δ' ἦν Ξανθικοῦ μηνός, κατὰ νυκτὸς
ἐνάτην ὥραν τοσοῦτο φῶς περιέλαμψε τὸν βωμὸν καὶ τὸν
ναόν, ὡς δοκεῖν ἡμέραν εἶναι λαμπράν, καὶ τοῦτο παρέ-
75 τεινεν ἐφ' ἡμίσειαν ὥραν· ὃ τοῖς μὲν ἀπείροις ἀγαθὸν ἐδόκει, 291
τοῖς δ' ἱερογραμματεῦσι πρὸς τῶν ἀποβεβηκότων εὐθέως

48. δὲ: οὖν M 51. αὑτοὺς: αὐτοὺς PAMVC ἑαυτοὺς L 58-9. καὶ φυλακῆς: κατὰ φυλακῆς C 59. γενομένους: γινομένους AMLVRC 60. δ' ἤδη: δὲ δὴ PAMVC δὲ ἤδη L δὲ R 68. ὅτε: οὖν L 70. ἀποστάσεως καὶ: ἀποστάσεως ὡς καὶ M 73. τοσοῦτο: τοσοῦτον LVRC 76. πρὸς: πρὸ PAML

zale esterno[6], su cui avevano cercato scampo donne e bambini del popolo e una massa confusa di seimila persone. Prima 284 che Cesare prendesse una deliberazione a loro riguardo o desse ordini ai comandanti, i soldati travolti dal furore incendiarono il portico, e quelli perirono, alcuni precipitandosi a terra per sfuggire alle fiamme, altri ghermiti dal fuoco: di tanti nemmeno uno si salvò. A causare la loro morte fu un falso profeta 285 che in quel giorno aveva proclamato agli abitanti della città che il dio comandava loro di salire al tempio per ricevere i segni della salvezza. E in verità allora, istigati dai capi ribelli, 286 si aggiravano tra il popolo numerosi profeti che andavano predicando di aspettare l'aiuto del dio, e ciò per distogliere la gente dalla diserzione e per far coraggio a chi non aveva nulla da temere da loro e sfuggiva al loro controllo. Nella 287 disgrazia l'uomo è pronto a credere, e quando l'ingannatore fa intravvedere la fine dei mali incombenti, allora il misero s'abbandona tutto alla speranza[7].

5, 3. Cosí il popolo fu allora abbindolato da ciarlatani e da 288 falsi profeti, senza piú badare né prestar fede ai segni manifesti che preannunziavano l'imminente rovina. Quasi fossero stati frastornati dal tuono e accecati negli occhi e nella mente, non compresero gli ammonimenti del dio[8], come quando sulla città 289 apparvero un astro a forma di spada e una cometa che durò un anno, o come quando, prima che scoppiassero la ribellione 290 e la guerra, essendosi il popolo radunato per la festa degli Azimi nell'ottavo giorno del mese di Xanthico[9], all'ora nona della notte l'altare e il tempio furono circonfusi da un tale splendore, che sembrava di essere in pieno giorno, e il fenomeno durò per mezz'ora: agli inesperti sembrò di buon au- 291 gurio, ma dai sacri scribi fu subito interpretato in conformità

ἐκρίθη. καὶ κατὰ τὴν αὐτὴν ἑορτὴν βοῦς μὲν ἀχθεῖσα ὑπό 292
του πρὸς τὴν θυσίαν ἔτεκεν ἄρνα ἐν τῷ ἱερῷ μέσῳ, ἡ δ' 293
ἀνατολικὴ πύλη τοῦ ἐνδοτέρω ναοῦ χαλκῆ μὲν οὖσα καὶ
80 στιβαρωτάτη, κλειομένη δὲ περὶ δείλην μόλις ὑπ' ἀνθρώπων
εἴκοσι, καὶ μοχλοῖς μὲν ἐπερειδομένη σιδηροδέτοις, κατά-
πηγας δ' ἔχουσα βαθυτάτους εἰς τὸν οὐδὸν ὄντα διηνεκοῦς
λίθου καθιεμένους, ὤφθη κατὰ νυκτὸς ὥραν ἕκτην αὐτομάτως
ἠνοιγμένη· δραμόντες δ' οἱ τοῦ ἱεροῦ φύλακες ἤγγειλαν τῷ 294
85 στρατηγῷ, κἀκεῖνος ἀναβὰς μόλις αὐτὴν ἴσχυσεν κλεῖσαι.
πάλιν τοῦτο τοῖς μὲν ἰδιώταις κάλλιστον ἐδόκει τέρας· ἀνοῖξαι 295
γὰρ τὸν θεὸν αὐτοῖς τὴν τῶν ἀγαθῶν πύλην· οἱ λόγιοι δὲ
λυομένην αὐτομάτως τοῦ ναοῦ τὴν ἀσφάλειαν ἐνενόουν, καὶ
πολεμίοις δῶρον ἀνοίγεσθαι τὴν πύλην, δηλωτικόν τ' ἐρη-
90 μίας ἀπέφαινον ἐν αὑτοῖς τὸ σημεῖον. μετὰ δὲ τὴν ἑορτὴν 296
οὐ πολλαῖς ἡμέραις ὕστερον, μιᾷ καὶ εἰκάδι Ἀρτεμισίου
μηνός, φάσμα τι δαιμόνιον ὤφθη μεῖζον πίστεως· τερατεία 297
δὲ ἂν ἔδοξεν οἶμαι τὸ ῥηθησόμενον, εἰ μὴ καὶ παρὰ τοῖς
θεασαμένοις ἱστόρητο καὶ τὰ ἐπακολουθήσαντα πάθη τῶν
95 σημείων ἦν ἄξια· πρὸ γὰρ ἡλίου δύσεως ὤφθη μετέωρα 298
περὶ πᾶσαν τὴν χώραν ἅρματα καὶ φάλαγγες ἔνοπλοι διάτ-
τουσαι τῶν νεφῶν καὶ κυκλούμεναι τὰς πόλεις. κατὰ δὲ 299
τὴν ἑορτήν, ἣ πεντηκοστὴ καλεῖται, νύκτωρ οἱ ἱερεῖς παρελ-
θόντες εἰς τὸ ἔνδον ἱερόν, ὥσπερ αὐτοῖς ἔθος πρὸς τὰς
100 λειτουργίας, πρῶτον μὲν κινήσεως ἔφασαν ἀντιλαβέσθαι καὶ
κτύπου, μετὰ δὲ ταῦτα φωνῆς ἀθρόας «μεταβαίνομεν ἐντεῦ- 300
θεν», τὸ δὲ τούτων φοβερώτερον, Ἰησοῦς γάρ τις υἱὸς
Ἀνανίου τῶν ἰδιωτῶν ἄγροικος, πρὸ τεσσάρων ἐτῶν τοῦ
πολέμου τὰ μάλιστα τῆς πόλεως εἰρηνευομένης καὶ εὐθη-

77. ἀχθεῖσα: ἀναχθεῖσα L 77-8. ὑπό του: ὑπὸ τοῦ A[1]LR 79. ἐνδοτέρω: ἐνδοτέρου PAMVRC | ναοῦ: om. VRC 80. ὑπ'ἀνθρώπων: ὑπὸ (ὑπ' C) ἀνδρῶν LC 83. λίθου: λίθους PA[1] 84. ἠνοιγμένη: ἠνεωγμένη MLVRC 87. τὸν θεὸν: ὁ θεὸς C 90. ἐν αὑτοῖς: ἐν αυτοῖς PA ἑαυτοῖς L ἐν ἑαυτοῖς MVRC 91. οὐ πολλαῖς ἡμέραις ὕστερον: ἡμέραις οὐ πολλαῖς ὕστερον LVRC 96. περὶ: κατὰ L 99. ἔθος: ἔθος ἦν AMLVRC 103. Ἀνανίου: ἀνάνου MLVRC 104. εἰρηνευομένης: εἰρηνευούσης PL

di ciò che accadde dopo. Durante la stessa festa, una vacca 292 che un tale menava al sacrificio partorí un agnello in mezzo al sacro recinto; inoltre, la porta orientale del tempio, quella che 293 era di bronzo e assai massiccia[10], sí che la sera a fatica venti uomini riuscivano a chiuderla, e veniva sprangata con sbarre legate in ferro e aveva dei paletti che si conficcavano assai profondamente nella soglia costituita da un blocco tutto d'un pezzo, all'ora sesta della notte[11] fu vista aprirsi da sola. Le 294 guardie del santuario corsero a informare il comandante[12], che salí al tempio e a stento riuscí a farla richiudere. Ancora 295 una volta questo parve agli ignari un sicurissimo segno di buon augurio, come se il dio avesse spalancato a loro la porta delle sue grazie; ma gli intenditori compresero che la sicurezza del santuario era finita di per sé e che l'aprirsi della porta rappresentava un dono per i nemici, e pertanto interpretarono in cuor loro il prodigio come preannunzio di rovina. Non molti giorni dopo la festa, il ventuno del mese di 296 Artemisio[13], apparve una visione miracolosa cui si stenterebbe a prestar fede; e in realtà, io credo che ciò che sto per raccon- 297 tare potrebbe apparire una favola, se non avesse da una parte il sostegno dei testimoni oculari, dall'altra la conferma delle sventure che seguirono. Prima che il sole tramontasse, si vi- 298 dero in cielo su tutta la regione carri da guerra e schiere di armati che sbucavano dalle nuvole e circondavano le città. Inoltre, alla festa che si chiama la Pentecoste, i sacerdoti che 299 erano entrati di notte nel tempio interno per celebrarvi i soliti riti riferirono di aver prima sentito una scossa e un colpo, e poi un insieme di voci che dicevano: « Da questo luogo noi ce ne andiamo ». Ma ancora piú tremendo fu quest'altro prodigio. 300 Quattro anni prima che scoppiasse la guerra[14], quando la città era al culmine della pace e della prosperità, un tale Gesú figlio di Anania, un rozzo contadino, si recò alla festa in cui

105 νούσης, ἐλθὼν εἰς τὴν ἑορτήν, ἐν ᾗ σκηνοποιεῖσθαι πάντας
ἔθος τῷ θεῷ, κατὰ τὸ ἱερὸν ἐξαπίνης ἀναβοᾶν ἤρξατο
«φωνὴ ἀπ' ἀνατολῆς, φωνὴ ἀπὸ δύσεως, φωνὴ ἀπὸ τῶν 301
τεσσάρων ἀνέμων, φωνὴ ἐπὶ Ἱεροσόλυμα καὶ τὸν ναόν,
φωνὴ ἐπὶ νυμφίους καὶ νύμφας, φωνὴ ἐπὶ τὸν λαὸν πάντας».
110 τοῦτο μεθ' ἡμέραν καὶ νύκτωρ κατὰ πάντας τοὺς στενω-
ποὺς περιῄει κεκραγώς. τῶν δὲ ἐπισήμων τινὲς δημοτῶν 302
ἀγανακτήσαντες πρὸς τὸ κακόφημον συλλαμβάνουσι τὸν ἄν-
θρωπον καὶ πολλαῖς αἰκίζονται πληγαῖς. ὁ δ' οὔθ' ὑπὲρ
αὑτοῦ φθεγξάμενος οὔτ' ἰδίᾳ πρὸς τοὺς παίοντας, ἃς καὶ
115 πρότερον φωνὰς βοῶν διετέλει. νομίσαντες δ' οἱ ἄρχοντες, 303
ὅπερ ἦν, δαιμονιώτερον τὸ κίνημα τἀνδρὸς ἀνάγουσιν αὐτὸν
ἐπὶ τὸν παρὰ Ῥωμαίοις ἔπαρχον. ἔνθα μάστιξι μέχρι 304
ὀστέων ξαινόμενος οὔθ' ἱκέτευσεν οὔτ' ἐδάκρυσεν, ἀλλ' ὡς
ἐνῆν μάλιστα τὴν φωνὴν ὀλοφυρτικῶς παρεγκλίνων πρὸς
120 ἑκάστην ἀπεκρίνατο πληγὴν «αἰαὶ Ἱεροσολύμοις». τοῦ δ' 305
Ἀλβίνου διερωτῶντος, οὗτος γὰρ ἔπαρχος ἦν, τίς τ' εἴη
καὶ πόθεν, καὶ διὰ τί ταῦτα φθέγγοιτο, πρὸς ταῦτα μὲν
οὐδ' ὁτιοῦν ἀπεκρίνατο, τὸν δ' ἐπὶ τῇ πόλει θρῆνον εἴρων
οὐ διέλειπεν, μέχρι καταγνοὺς μανίαν ὁ Ἀλβῖνος ἀπέλυ-
125 σεν αὐτόν. ὁ δὲ τὸν μέχρι τοῦ πολέμου χρόνον οὔτε προσῄει 306
τινὶ τῶν πολιτῶν οὔτε ὤφθη λαλῶν, ἀλλὰ καθ' ἡμέραν
ὥσπερ εὐχὴν μεμελετηκὼς «αἰαὶ Ἱεροσολύμοις» ἐθρήνει.
οὔτε δέ τινι τῶν τυπτόντων αὐτὸν ὁσημέραι κατηρᾶτο οὔτε 307
τοὺς τροφῆς μεταδιδόντας εὐλόγει, μία δὲ πρὸς πάντας
130 ἦν ἡ σκυθρωπὴ κληδὼν ἀπόκρισις. μάλιστα δ' ἐν ταῖς ἑορ- 308
ταῖς ἐκεκράγει· καὶ τοῦτ' ἐφ' ἑπτὰ ἔτη καὶ μῆνας πέντε
εἴρων οὔτ' ἤμβλυνεν τὴν φωνὴν οὔτ' ἔκαμεν, μέχρις οὗ
κατὰ τὴν πολιορκίαν ἔργα τῆς κληδόνος ἰδὼν ἀνεπαύσατο.

114. αὐτοῦ: αὑτοῦ PAML ἑαυτοῦ VRC 116. δαιμονιώτερον: δαιμονιώτερον εἶναι LVRC 117. μέχρι: μέχρις MLVRC 118. ξαινόμενος: ξενόμενος P ξεόμενος L 119. παρεγκλίνων: παρεκκλίνων L παρακλ[illegible]ων PA 121. τίς τ' Thackeray τίς τε L τίς PAMVRC 124. διέλειπεν: διέλιπε C 132. ἤμβλυνεν: ἠμβλύνθη LVC ἠμβλύθη R 133. ἔργα: ἔργον L ἔργω RC | τῆς κληδόνος: τὰς κληδόνας LVRC τὰς κληδῶνας C

è uso che tutti costruiscano tabernacoli per il dio e all'improvviso cominciò a gridare nel tempio: « Una voce da oriente, 301 una voce da occidente, una voce dai quattro venti, una voce contro Gerusalemme e il tempio, una voce contro sposi e spose, una voce contro il popolo intero[15] ». Giorno e notte si aggirava per tutti i vicoli gridando queste parole, e alla fine 302 alcuni dei capi della cittadinanza, tediati di quel malaugurio, lo fecero prendere e gli inflissero molte battiture. Ma quello, senza né aprir bocca in sua difesa né muovere una specifica accusa contro chi lo aveva flagellato, continuò a ripetere il suo ritornello. Allora i capi, ritenendo – com'era in realtà – 303 che quell'uomo agisse per effetto di una forza sovrumana, lo trascinarono dinanzi al governatore romano. Quivi, sebbene 304 fosse flagellato fino a mettere allo scoperto le ossa, non ebbe un'implorazione né un gemito, ma dando alla sua voce il tono piú lugubre che poteva, a ogni battitura rispondeva: « Povera Gerusalemme! ». Quando Albino[16], che era il go- 305 vernatore, gli fece domandare chi fosse, donde provenisse e perché lanciasse quella lamentazione, egli non rispose, ma continuò a compiangere il destino della città finché Albino sentenziò che si trattava di pazzia e lo lasciò andare. Fino allo 306 scoppio della guerra egli non si avvicinò ad alcun cittadino né fu visto parlare con alcuno, ma ogni giorno, come uno che si esercitasse a pregare, ripeteva il suo lugubre ritornello: « Povera Gerusalemme! ». Né imprecava contro quelli che, 307 un giorno l'uno un giorno l'altro, lo percuotevano, né benediceva chi gli dava qualcosa da mangiare; l'unica risposta per tutti era quel grido di malaugurio, che egli lanciava soprattutto nelle feste. Per sette anni e cinque mesi[17] lo andò ripe- 308 tendo senza che la sua voce si affievolisse e senza provar stanchezza, e smise solo all'inizio dell'assedio, quando ormai

περιιὼν γὰρ ἀπὸ τοῦ τείχους «αἰαὶ πάλιν τῇ πόλει καὶ τῷ λαῷ καὶ τῷ ναῷ» διαπρύσιον ἐβόα, ὡς δὲ τελευταῖον προσέθηκεν «αἰαὶ δὲ κἀμοί,» λίθος ἐκ τοῦ πετροβόλου σχασθεὶς καὶ πλήξας αὐτὸν παραχρῆμα κτείνει, φθεγγομένην δ᾽ ἔτι τὰς κληδόνας ἐκείνας τὴν ψυχὴν ἀφῆκε.

5, 4. ταῦτά τις ἐννοῶν εὑρήσει τὸν μὲν θεὸν ἀνθρώπων κηδόμενον καὶ παντοίως προσημαίνοντα τῷ σφετέρῳ γένει τὰ σωτήρια, τοὺς δ᾽ ὑπ᾽ ἀνοίας καὶ κακῶν αὐθαιρέτων ἀπολλυμένους, ὅπου γε Ἰουδαῖοι καὶ τὸ ἱερὸν μετὰ τὴν καθαίρεσιν τῆς Ἀντωνίας τετράγωνον ἐποίησαν, ἀναγεγραμμένον ἐν τοῖς λογίοις ἔχοντες ἁλώσεσθαι τὴν πόλιν καὶ τὸν ναόν, ἐπειδὰν τὸ ἱερὸν γένηται τετράγωνον. τὸ δ᾽ ἐπᾶραν αὐτοὺς μάλιστα πρὸς τὸν πόλεμον ἦν χρησμὸς ἀμφίβολος ὁμοίως ἐν τοῖς ἱεροῖς εὑρημένος γράμμασιν, ὡς κατὰ τὸν καιρὸν ἐκεῖνον ἀπὸ τῆς χώρας αὐτῶν τις ἄρξει τῆς οἰκουμένης. τοῦθ᾽ οἱ μὲν ὡς οἰκεῖον ἐξέλαβον καὶ πολλοὶ τῶν σοφῶν ἐπλανήθησαν περὶ τὴν κρίσιν, ἐδήλου δ᾽ ἄρα τὴν Οὐεσπασιανοῦ τὸ λόγιον ἡγεμονίαν ἀποδειχθέντος ἐπὶ Ἰουδαίας αὐτοκράτορος. ἀλλὰ γὰρ οὐ δυνατὸν ἀνθρώποις τὸ χρεὼν διαφυγεῖν οὐδὲ προορωμένοις. οἱ δὲ καὶ τῶν σημείων ἃ μὲν ἔκριναν πρὸς ἡδονὴν ἃ δ᾽ ἐξουθένησαν, μέχρις οὗ τῇ τε ἁλώσει τῆς πατρίδος καὶ τῷ σφῶν αὐτῶν ὀλέθρῳ διηλέγχθησαν τὴν ἄνοιαν.

6, 1. Ῥωμαῖοι δὲ τῶν μὲν στασιαστῶν καταπεφευγότων εἰς τὴν πόλιν, καιομένου δὲ αὐτοῦ τε τοῦ ναοῦ καὶ τῶν πέριξ ἁπάντων, κομίσαντες τὰς σημαίας εἰς τὸ ἱερὸν καὶ θέμενοι τῆς ἀνατολικῆς πύλης ἄντικρυς ἔθυσάν τε αὐταῖς αὐτόθι καὶ τὸν Τίτον μετὰ μεγίστων εὐφημεῶν ἀπέφηναν

134. ἀπὸ: ἐπὶ MLVRC 138. ἐκείνας: om. P 144. λογίοις: λογίοις οἷς PA[1] 148. αὐτῶν τις: αὐτῶν A τις αὐτῶν MLVRC 149. τοῦθ᾽ οἱ: τοῦτο L τοῦτο οἱ VRC 151. τὴν: τὴν περὶ PAMVRC 155. οὗ τῇ τε: ὅτε VRC | τῷ: om. L τῶν VC
6, 4. ἄντικρυς: ἀντικρὺ PAM | ἔθυσάν τε: θύσαντες L | αὐταῖς: ἐν ταῖς V

vedeva avverarsi il suo triste presagio. Infatti un giorno che andava in giro sulle mura gridando a piena gola: « Ancora una volta, povera la città, e povero il popolo, e povero il tempio! », come alla fine aggiunse: « E poveretto anche me! », una pietra scagliata da un lanciamissili lo colpí uccidendolo all'istante, ed egli spirò ripetendo ancora quelle parole.

5, 4. A riflettere su tali cose, si troverà che il dio ha cura degli uomini e che in ogni modo preannuncia al suo popolo[18] i mezzi per conseguire la salvezza, mentre quelli si rovinano per la loro stoltezza e procurandosi i guai da sé. Cosí pure avvenne che i giudei, dopo la distruzione dell'Antonia, ridussero l'area del tempio in forma quadrangolare, pur conservando essi scritto nelle loro profezie che la città e il tempio sarebbero stati presi quando l'area del tempio fosse diventata quadrangolare[19]. Ma quello che maggiormente li incitò alla guerra fu un'ambigua profezia, ritrovata ugualmente nelle sacre scritture, secondo cui in quel tempo uno proveniente dal loro paese sarebbe diventato il dominatore del mondo. Questa essi la intesero come se alludesse a un loro connazionale, e molti sapienti si sbagliarono nella sua interpretazione, mentre la profezia in realtà si riferiva al dominio di Vespasiano, acclamato imperatore in Giudea[20]. Tutto ciò sta a dimostrare che gli uomini non possono sfuggire al loro destino nemmeno se lo prevedono. Cosí i giudei alcuni presagi li interpretarono come a loro faceva piacere, altri non li considerarono, finché la rovina della patria e il loro sterminio non misero in chiaro la loro stoltezza.

6, 1. I romani, ora che i ribelli erano scesi a rifugiarsi nella città e il santuario bruciava con tutti gli edifici circostanti, portarono le loro bandiere nell'area antistante al tempio e, collocatele di fronte alla porta orientale[1], celebrarono un sacrificio in loro onore[2] e salutarono Tito imperatore fra gran-

αὐτοκράτορα. ταῖς δὲ ἁρπαγαῖς οὕτως ἐνεπλήσθησαν οἱ 317
στρατιῶται πάντες, ὥστε κατὰ τὴν Συρίαν πρὸς ἥμισυ τῆς
πάλαι τιμῆς τὸν σταθμὸν τοῦ χρυσίου πιπράσκεσθαι. τῶν 318
δ' ἀνὰ τὸν τοῖχον τοῦ ναοῦ ἱερέων διακαρτερούντων παῖς
10 διψήσας ἱκέτευε τοὺς φύλακας τῶν Ῥωμαίων δοῦναι δεξιὰν
αὐτῷ καὶ τὸ δίψος ἐξωμολογεῖτο. τῶν δὲ τῆς ἡλικίας καὶ 319
τῆς ἀνάγκης οἶκτον λαβόντων καὶ δόντων δεξιὰς καταβὰς
αὐτός τε πίνει καὶ ὃ φέρων ἧκεν ἀγγεῖον πλήσας ὕδατος
ᾤχετο φεύγων ἄνω πρὸς τοὺς σφετέρους. τῶν δὲ φυλάκων 320
15 καταλαβεῖν μὲν οὐδεὶς ἴσχυσε, πρὸς δὲ τὴν ἀπιστίαν ἐβλα-
σφήμουν. κἀκεῖνος οὐδὲν ἔφη παραβεβηκέναι τῶν συνθηκῶν·
λαβεῖν γὰρ δεξιὰν οὐ τοῦ μένειν παρ' αὐτοῖς ἀλλὰ τοῦ
καταβῆναι μόνον καὶ λαβεῖν ὕδωρ, ἅπερ ἀμφότερα πεποιη-
κὼς πιστὸς ἔδοξεν εἶναι. τὸ μὲν δὴ πανούργημα διὰ τὴν 321
20 ἡλικίαν μάλιστα τοῦ παιδὸς ἀπεθαύμαζον οἱ πλανηθέντες·
πέμπτῃ δ' ἡμέρᾳ λιμώττοντες οἱ ἱερεῖς καταβαίνουσι καὶ
πρὸς Τίτον ἀναχθέντες ὑπὸ τῶν φυλάκων ἱκέτευον τυχεῖν
σωτηρίας. ὁ δὲ τὸν μὲν τῆς συγγνώμης καιρὸν αὐτοῖς 322
παρῳχηκέναι φήσας, οἴχεσθαι δὲ δι' ὃν εὐλόγως ἂν αὐ-
25 τοὺς ἔσωζε, πρέπειν δὲ τοῖς ἱερεῦσι τῷ ναῷ συναπολέσθαι,
κελεύει κολάσαι τοὺς ἄνδρας.

6, 2. οἱ δὲ περὶ τοὺς τυράννους ὡς τῷ τε πολέμῳ πάν- 323
τοθεν ἐκρατοῦντο καὶ περιτετειχισμένοις διαφυγεῖν οὐδα-
μόθεν ἦν, προκαλοῦνται τὸν Τίτον εἰς λόγους. ὁ δὲ καὶ 324
30 διὰ τὸ φιλάνθρωπον φύσει τὸ γοῦν ἄστυ περισῶσαι προ-
αιρούμενος καὶ τῶν φίλων ἐναγόντων, ἤδη γὰρ μετριάζειν
τοὺς λῃστὰς ὑπελάμβανον, ἵσταται κατὰ τὸ πρὸς δύσιν
μέρος τοῦ ἔξωθεν ἱεροῦ· ταύτῃ γὰρ ὑπὲρ τὸν ξυστὸν ἦσαν 325
πύλαι, καὶ γέφυρα συνάπτουσα τῷ ἱερῷ τὴν ἄνω πόλιν·
35 αὕτη τότε μέση τῶν τυράννων ἦν καὶ τοῦ Καίσαρος. τὸ 326

8. χρυσίου: χρυσοῦ M 12. δεξιὰς: δεξιὰν L 13. ἧκεν: ἦγεν PAM | πλήσας: πληρώσας P 23. συγγνώμης: γνώμης C 24. δι'ὃν: δι'ὧν C 27. τῷ τε: τότε P τῷ L τῷ τότε VR 29. προκαλοῦνται Naber προσκαλοῦνται codd. 32. ὑπελάμβανον Hudson ὑπελάμβανεν codd. *arbitrabantur* Lat

dissime acclamazioni di giubilo[3]. Tutti i soldati avevano fatto 317
tanto di quel bottino, che in tutta la Siria l'oro scese alla metà
del valore di prima[4]. Fra i sacerdoti rimasti ancora in cima 318
al muro del santuario[5] un ragazzo, che non ne poteva piú
dalla sete, lo confessò alle sentinelle romane supplicandole
di promettergli salva la vita. Quelle, prese da compassione 319
per l'età e per il bisogno, promisero e allora il ragazzo scese,
bevve e poi risalí in tutta fretta fra i suoi, dopo aver riempito
d'acqua il recipiente che s'era portato seco. Le sentinelle, che 320
non erano riuscite ad afferrarlo, si misero a imprecare alla sua
perfidia, ma l'altro protestò di non aver violato alcun patto;
infatti l'impegno non era stato quello che egli restasse tra
loro, ma soltanto che scendesse a prender l'acqua: queste due
cose egli le aveva fatte e perciò si considerava a posto. L'astu- 321
zia colpí quelli che ne erano rimasti vittime, soprattutto per
l'età del ragazzo; comunque al quinto giorno i sacerdoti, vinti
dalla fame, scesero giú e, condotti dalle sentinelle al cospetto
di Tito, lo supplicarono di risparmiarli. Ma l'imperatore rispose 322
che per loro era ormai passato il tempo del perdono, che se
ne stava andando in cenere l'unica cosa per cui avrebbe avuto
senso salvarli, che infine ai sacerdoti conveniva di perire in-
sieme col tempio, e diede ordine di metterli a morte[6].

6, 2. I capiribelli e i loro uomini, visto che ormai erano 323
stati definitivamente battuti e si trovavano circondati senza al-
cuna possibilità di scampo, chiesero a Tito d'intavolare trat-
tative. Tito, che era desideroso di risparmiare la città non solo 324
per la sua naturale mitezza, ma anche perché ve lo inducevano
i suoi amici, convinti che ormai i ribelli si sarebbero messi
sulla strada della moderazione, si portò nella parte occidentale
del piazzale esterno del tempio; ivi erano delle porte che si 325
aprivano sul Xisto e un ponte che collegava al tempio la città
alta[7] e che ora si frapponeva fra Cesare e i capiribelli. Da un 326

δὲ πλῆθος ἑκατέροις βύζην ἐφεστήκει, Ἰουδαῖοι μὲν περὶ Σίμωνα καὶ Ἰωάννην μετέωροι συγγνώμης ἐλπίδι, Ῥωμαῖοι δὲ Καίσαρι καραδοκοῦντες αὐτῶν τὴν ἀξίωσιν. παραγγείλας 327 δὲ τοῖς στρατιώταις Τίτος θυμοῦ τε καὶ βελῶν μένειν ἐγ-
40 κρατεῖς, καὶ τὸν ἑρμηνέα παραστησάμενος, ὅπερ ἦν τεκμήριον τοῦ κρατεῖν, πρῶτος ἤρξατο λέγειν· «ἆρά γε ἤδη 328 κεκόρεσθε τῶν τῆς πατρίδος κακῶν, ἄνδρες, οἱ μήτε τῆς ἡμετέρας δυνάμεως μήτε τῆς ἑαυτῶν ἀσθενείας ἔννοιαν λαβόντες, ὁρμῇ δὲ ἀσκέπτῳ καὶ μανίᾳ τόν τε δῆμον καὶ τὴν
45 πόλιν καὶ τὸν ναὸν ἀπολωλεκότες, ἀπολούμενοι δὲ καὶ αὐτοὶ δικαίως, οἳ πρῶτον μὲν ἀφ' οὗ Πομπήιος εἷλεν ὑμᾶς 329 κατὰ κράτος οὐκ ἐπαύσασθε νεωτεροποιίας, ἔπειτα καὶ φανερὸν ἐξηνέγκατε πρὸς Ῥωμαίους πόλεμον; ἆρά γε πλήθει 330 πεποιθότες; καὶ μὴν ἐλάχιστον ὑμῖν μέρος ἀντήρκεσεν τοῦ
50 Ῥωμαίων στρατιωτικοῦ. πίστει τοιγαροῦν συμμάχων; καὶ τί τῶν ἔξω τῆς ἡμετέρας ἡγεμονίας ἐθνῶν ἔμελλεν αἱρήσεσθαι Ἰουδαίους πρὸ Ῥωμαίων; ἀλλ' ἀλκῇ σωμάτων; 331 καὶ μὴν ἴστε Γερμανοὺς δουλεύοντας ἡμῖν. ὀχυρότητι δὲ τειχῶν; καὶ τί μεῖζον ὠκεανοῦ τεῖχος κώλυμα, ὃν περι-
55 βεβλημένοι Βρεττανοὶ τὰ Ῥωμαίων ὅπλα προσκυνοῦσιν; καρτερίᾳ ψυχῆς καὶ πανουργίᾳ στρατηγῶν; ἀλλὰ μὴν ᾔδειτε 332 καὶ Καρχηδονίους ἁλόντας. τοιγαροῦν ὑμᾶς ἐπήγειρε κατὰ 333 Ῥωμαίων ἡ Ῥωμαίων φιλανθρωπία, οἳ πρῶτον μὲν ὑμῖν τήν τε χώραν ἔδομεν νέμεσθαι καὶ βασιλεῖς ὁμοφύλους
60 ἐπεστήσαμεν, ἔπειτα τοὺς πατρίους νόμους ἐτηρήσαμεν, καὶ 334 ζῆν οὐ μόνον καθ' ἑαυτοὺς ἀλλὰ καὶ πρὸς τοὺς ἄλλους ἐπετρέψαμεν ὡς ἐβούλεσθε· τὸ δὲ μέγιστον, δασμολογεῖν 335 τε ὑμῖν ἐπὶ τῷ θεῷ καὶ ἀναθήματα συλλέγειν ἐπετρέψαμεν, καὶ τοὺς ταῦτα φέροντας οὔτ' ἐνουθετήσαμεν οὔτε ἐκωλύ-

36. βύζην: βύσδην PAVRC βύζειν M 42. κεκόρεσθε: κεκόρεσθαι L | ἄνδρες: ὦ ἄνδρες P 43. ἑαυτῶν: αὑτῶν AV αὐτῶν MR 49. ἀντήρκεσεν: ἀντήρκεσαν V 51. ἔξω: ἔξωθεν A 54. τεῖχος: τείχους ALVRC 58. μὲν: om. PC 61. πρὸς: om. PAMVRC *cum* Lat 62. ἐβούλεσθε: βούλεσθε M ἠβούλεσθε L 64-5. οὔτε ἐκωλύσαμεν: in marg. suppl. P om. L οὔτε τε ἐκωλύσαμεν C

lato e dall'altro si addensavano fitte le schiere, i giudei di Simone e Giovanni ansiosi nella speranza di perdono, i romani dietro a Cesare curiosi di udire le loro richieste. Tito 327 diede ordine ai soldati di tenere a freno gli spiriti ardenti e le armi e, chiamato un interprete[8], cominciò a parlare per primo, il che significava che era lui il vincitore[9]: « Siete dunque soddisfatti delle sventure della patria, voi che senza valutare la 328 nostra forza e la vostra debolezza con furia sconsiderata e come dissennati avete provocato la rovina del popolo, della città e del tempio, e che giustamente state per fare la stessa fine, voi che fin da quando Pompeo vi assoggettò non avete 329 mai smesso di ribellarvi e alla fine siete scesi in guerra aperta contro i romani? Confidavate nel vostro numero[10]? Ma contro 330 di voi è bastata una piccolissima parte dell'esercito dei romani! Contavate sulla fedeltà degli alleati? Ma quale dei popoli non racchiuso nel nostro impero avrebbe preferito i giudei ai romani? Facevate affidamento sulla vostra prestanza fisica? Eppure ben sapete che i Germani sono nostri schiavi! Sulla 331 robustezza delle mura? Ma quale muro rappresenta una difesa piú sicura dell'oceano, che pur cingendo tutt'intorno i Britanni non impedisce che costoro si prosternino dinanzi alle armi romane? Sul vostro morale incrollabile e sull'astuzia dei capi? Eppure sapevate che anche Cartagine noi l'abbiamo 332 fatta cadere! E allora a spingervi contro i romani è stata evi- 333 dentemente la mitezza[11] di noi stessi romani, che in primo luogo vi concedemmo di abitare questa terra e di essere governati da re nazionali, e poi vi facemmo conservare le patrie 334 leggi e vi lasciammo libertà di regolare come volevate non solo i vostri rapporti interni, ma anche quelli con gli stranieri[12]. Ma soprattutto vi permettemmo di esigere tributi per il dio[13] 335 e di raccogliere doni votivi senza dissuadere né ostacolare coloro che li offrivano, col risultato che, grazie a noi, diventaste

65 σαμεν, ἵν' ἡμῖν γένησθε πλουσιώτεροι καὶ παρασκευάση-
σθε τοῖς ἡμετέροις χρήμασιν καθ' ἡμῶν. ἔπειτα τηλι- 336
κούτων ἀγαθῶν ἀπολαύοντες ἐπὶ τοὺς παρασχόντας ἠνέγ-
κατε τὸν κόρον καὶ δίκην τῶν ἀτιθασεύτων ἑρπετῶν τοῖς
σαίνουσι τὸν ἰὸν ἐναφήκατε. ἔστω γοῦν, κατεφρονήσατε 337
70 τῆς Νέρωνος ῥᾳθυμίας, καὶ καθάπερ ῥήγματα ἢ σπάσματα
τὸν ἄλλον χρόνον κακοήθως ἠρεμοῦντες ἐν τῇ μείζονι νόσῳ
διεφάνητε καὶ πρὸς ἐλπίδας ἀναιδεῖς ἀμέτρους ἐξετείνατε
τὰς ἐπιθυμίας. ἧκεν ὁ πατὴρ οὑμὸς εἰς τὴν χώραν, οὐ τιμω- 338
ρησόμενος ὑμᾶς τῶν κατὰ Κέστιον, ἀλλὰ νουθετήσων·
75 δέον γοῦν, εἴπερ ἐπ' ἀναστάσει τοῦ ἔθνους παρῆν, ἐπὶ 339
τὴν ῥίζαν ὑμῶν δραμεῖν καὶ ταύτην ἐκπορθεῖν τὴν πόλιν
εὐθέως, ὁ δὲ Γαλιλαίαν ἐδῄου καὶ τὰ πέριξ, ἐπιδιδοὺς
ὑμῖν χρόνον εἰς μεταμέλειαν. ἀλλ' ὑμῖν ἀσθένεια τὸ φιλάν- 340
θρωπον ἐδόκει κἀκ τῆς ἡμετέρας πρᾳότητος τὴν τόλμαν
80 ἐπεθρέψατε. Νέρωνος οἰχομένου τοῦθ' ὅπερ ἐχρῆν τοὺς 341
πονηροτάτους ἐποιήσατε, ταῖς ἐμφυλίοις ἡμῶν ταραχαῖς ἐπε-
θαρρήσατε, καὶ χωρισθέντων εἰς τὴν Αἴγυπτον ἐμοῦ τε
καὶ τοῦ πατρὸς εἰς παρασκευὰς τοῦ πολέμου κατεχρήσασθε
τοῖς καιροῖς, καὶ οὐκ ᾐδέσθητε ταράσσειν αὐτοκράτορας
85 γεγενημένους οὓς καὶ στρατηγοὺς φιλανθρώπους ἐπειράσατε.
προσφυγούσης γοῦν ἡμῖν τῆς ἡγεμονίας, καὶ τῶν μὲν κατὰ 342
ταύτην ἠρεμούντων πάντων, πρεσβευομένων δὲ καὶ συνη-
δομένων τῶν ἔξωθεν ἐθνῶν, πάλιν οἱ Ἰουδαῖοι πολέμιοι,
καὶ πρεσβεῖαι μὲν ὑμῶν πρὸς τοὺς ὑπὲρ Εὐφράτην ἐπὶ 343
90 νεωτερισμῷ, περίβολοι δὲ τειχῶν ἀνοικοδομούμενοι καινοί,
στάσεις δὲ καὶ τυράννων φιλονεικίαι καὶ πόλεμος ἐμφύλιος,
μόνα τοῖς οὕτω πονηροῖς πρέποντα. ἧκον ἐπὶ τὴν πόλιν 344
ἐγὼ παρὰ τοῦ πατρὸς ἄκοντος λαβὼν σκυθρωπὰ παραγ-

65. ἡμῖν: ἡμῶν L | πλουσιώτεροι: πλουσιώτεροι πολέμιοι L *ut hostes nobis efficeremini ditiores* Lat 72. ἀναιδεῖς: ἀναιδείας P ἀναιδεῖς καὶ MLC 74. τῶν: τὸν C 75. ἀναστάσει: ἐπαναστάσει AMVRC 76. ἐκπορθεῖν: πορθεῖν L 77. ὁ: οὐ P 78. ὑμῖν: ἡμῖν C 81. ταῖς: καὶ ταῖς M | ἡμῶν: ὑμῶν AMLC 88. οἱ: om. L 89. μὲν: om. P

piú ricchi e, con i mezzi che dovevano esser nostri, faceste preparativi contro di noi! Alla fine, impinguati da tali van- 336 taggi, sfogaste la vostra sazietà contro chi ve li concedeva, e a guisa di serpenti non addomesticati iniettaste il veleno in quelli che vi accarezzavano. È chiaro che dall'indolenza di 337 Nerone[14] foste spinti a non darci importanza, e come fratture e strappi rimaneste malignamente latenti fino a che vi manifestaste quando il male si aggravò, e dirigeste le vostre smodate ambizioni verso sfrontate speranze. Nel vostro paese 338 arrivò allora mio padre, e non per punirvi di ciò che avevate fatto a Cestio[15], ma per darvi un ammonimento. Se egli fosse 339 venuto per sterminare la nazione, avrebbe dovuto attaccarvi direttamente alla radice e distruggere senza indugi questa città, mentre invece si trattenne a devastare la Galilea e il territorio circostante per darvi cosí il tempo di rinsavire. Ma a voi 340 la mansuetudine parve debolezza, e dalla nostra clemenza traeste alimento per il vostro ardire. Quando poi scomparve 341 Nerone, assumeste un atteggiamento quanto mai ostile prendendo animo dai nostri sconvolgimenti interni, e allorché io e mio padre dovemmo raggiungere l'Egitto[16] voi approfittaste dell'occasione per i preparativi di guerra, e non aveste ritegno di disturbare dopo la loro acclamazione a imperatori coloro che già avevate sperimentato come duci pieni di umanità. E cosí quando l'impero trovò rifugio nelle nostre mani, 342 mentre tutti i sudditi in esso compresi se ne stettero tranquilli, e anche i popoli esterni inviarono ambascerie di felicitazioni[17], ecco che i giudei ancora una volta ripresero le armi, e voi 343 mandaste emissari ai vostri amici d'oltre Eufrate per incitarli alla rivolta[18], innalzaste di bel nuovo baluardi di mura[19] e vi abbandonaste alla ribellione e alle contese dei caporioni e alla guerra civile, le sole cose che si addicevano a individui cosí perfidi. Poi, contro questa città arrivai io con gli ordini 344 severissimi[20] che mio padre, suo malgrado, aveva dovuto

γέλματα. τὸν δῆμον ἀκούσας εἰρηνικὰ φρονεῖν ἥσθην. ὑμᾶς 345
95 παύσασθαι πρὸ πολέμου παρεκάλουν, μέχρι πολλοῦ πολε-
μούντων ἐφειδόμην, δεξιὰς αὐτομόλοις ἔδωκα, καταφυγοῦσι
πίστεις ἐτήρησα, πολλοὺς αἰχμαλώτους ἠλέησα, τοὺς ἐπεί-
γοντας βασανίσαι ἐκώλυσα, τείχεσιν ὑμετέροις μηχανὰς ἄκων
προσήγαγον, ἀεὶ φονῶντας τοὺς στρατιώτας ἐφ' ὑμῖν κα-
100 τέσχον, καθ' ἑκάστην νίκην ὡς ἡττώμενος ὑμᾶς εἰς εἰρήνην
προυκαλεσάμην. τοῦ ἱεροῦ πλησίον γενόμενος πάλιν ἑκὼν 346
ἐξελαθόμην τῶν τοῦ πολέμου νόμων, φείσασθαι δὲ παρε-
κάλουν τῶν ἰδίων ὑμᾶς ἁγίων καὶ σῶσαι τὸν ναὸν ἑαυτοῖς,
διδοὺς ἄδειάν τε ἐξόδου καὶ πίστιν σωτηρίας, εἰ δ' ἐβού-
105 λεσθε, καὶ μάχης καιρὸν ἐν ἄλλῳ τόπῳ· πάντων ὑπερεί-
δετε καὶ τὸν ναὸν ἰδίαις χερσὶν ἐνεπρήσατε. ἔπειτα, μια- 347
ρώτατοι, προκαλεῖσθέ με πρὸς λόγους νῦν; ἵνα τί σώσητε
τοιοῦτον οἷον ἀπόλωλεν; ποίας ὑμᾶς αὐτοὺς ἀξιοῦτε μετὰ
τὸν ναὸν σωτηρίας; ἀλλὰ καὶ νῦν μετὰ τῶν ὅπλων ἑστή- 348
110 κατε καὶ οὐδ' ἐν ἐσχάτοις ὑποκρίνεσθε γοῦν ἱκέτας, ὦ
ταλαίπωροι, τίνι πεποιθότες; οὐ νεκρὸς μὲν ὑμῶν ὁ δῆμος, 349
οἴχεται δ' ὁ ναός, ὑπ' ἐμοὶ δ' ἡ πόλις, ἐν χερσὶ δὲ ταῖς
ἐμαῖς ἔχετε τὰς ψυχάς; εἶθ' ὑπολαμβάνετε δόξαν ἀνδρείας
τὸ δυσθανατᾶν; οὐ μὴν ἐγὼ φιλονεικήσω πρὸς τὴν ἀπό- 350
115 νοιαν ὑμῶν, ῥίψασι δὲ τὰ ὅπλα καὶ παραδοῦσι τὰ σώματα
χαρίζομαι τὸ ζῆν, ὥσπερ ἐν οἰκίᾳ πρᾶος δεσπότης τὰ
μὲν ἀνήκεστα κολάσας, τὰ δὲ λοιπὰ σώζων ἐμαυτῷ».

6, 3. πρὸς ταῦτα ἀποκρίνονται δεξιὰν μὲν μὴ δύνασθαι 351
παρ' αὐτοῦ λαβεῖν, ὀμωμοκέναι γὰρ μήποτε τοῦτο ποιή-
120 σειν, ἔξοδον δ' ᾐτοῦντο διὰ τοῦ περιτειχίσματος μετὰ γυ-
ναικῶν καὶ τέκνων· ἀπελεύσεσθαι γὰρ εἰς τὴν ἔρημον καὶ

95. παύσασθαι: παύσασθε PC | πρὸ: om. P 96. ἔδωκα: δέδωκα PMVRC δέδοκα A | καταφυγοῦσι: καταφεύγουσι M 98. βασανίσαι Destinon βασανίσας codd. | ἐκώλυσα: ἐκόλασα PAMVRC 99. προσήγαγον: προσῆγον P 104-5. δ' ἐβούλεσθε: δὲ βούλεσθε PAMLVR 105-6. ὑπερείδετε: ὑπερίδετε PAR 107. προκαλεῖσθέ ed. pr. προσκαλεῖσθε codd. 108. ποίας Bekker οἵας codd. 113. ὑπολαμβάνετε: ὑπελαμβάνετε AL 118. ἀποκρίνονται: ὑποκρίνονται M 121. ἀπελεύσεσθαι: ἀπελεύσεσθε P

darmi. Mi fece piacere di apprendere che il popolo nutriva intenzioni pacifiche[21]. Quanto a voi, prima che si riprendesse (345) la guerra vi invitai a deporre le armi, e nel corso delle ostilità vi usai a lungo clemenza: diedi garanzia ai disertori[22], mi comportai lealmente con i supplici, risparmiai molti prigionieri costringendo chi voleva torturarli a non farlo, a malincuore accostai le macchine alle vostre mura, tenni sempre a freno i soldati assetati del vostro sangue, dopo ogni vittoria vi esortai alla pace come se il perdente fossi io. Arrivato vicino al tem- (346) pio, di nuovo volentieri mi dimenticai delle leggi di guerra e cercai di convincervi a risparmiare i vostri luoghi santi e a preservare il tempio per voi stessi, concedendovi libertà di uscire e garanzia d'incolumità, e insieme la possibilità di riprendere la battaglia in un altro luogo se aveste voluto[23]; ma tutte queste proposte le respingeste sprezzantemente e con le vostre mani appiccaste il fuoco al tempio[24]. E dopo tutto (347) ciò, farabutti, venite ora a chiedermi di trattare? Che cosa potreste cercare di salvare che valga quanto avete distrutto? Quale salvezza credete di meritare dopo la distruzione del tempio? E poi, anche ora vi siete presentati con le armi in (348) pugno, e neppure ridotti agli estremi vi decidete ad assumere atteggiamenti da supplici: individui miserabili, su che cosa contate? Non è distrutto il vostro popolo, incenerito il tem- (349) pio, in mio possesso la città; non sono nelle mie mani le vostre vite? Credete che dia fama di eroismo il cercare la morte? Ad ogni modo io non mi metterò a competere con (350) la vostra stoltezza; prometto salva la vita a chi getterà le armi e si arrenderà, e come fa nella sua casa un buon padrone, punirò gli schiavi incorreggibili e conserverò gli altri per il mio comodo ».

6, 3. A queste parole essi risposero di non poter accettare (351) condizioni di resa, poiché avevano giurato che mai l'avrebbero fatto; chiesero invece di poter attraversare la linea di circonvallazione assieme alle mogli e ai figli: si sarebbero

καταλείψειν αὐτῷ τὴν πόλιν. πρὸς ταῦτα ἀγανακτήσας Τίτος, 352
εἰ τύχην ἑαλωκότων ἔχοντες αἱρέσεις αὐτῷ προτείνουσι
νενικηκότων, κηρῦξαι μὲν ἐκέλευσεν εἰς αὐτοὺς μήτε αὐ-
125 τομολεῖν ἔτι μήτε δεξιὰν ἐλπίζειν, φείσεσθαι γὰρ οὐδενός,
ἀλλὰ πάσῃ δυνάμει μάχεσθαι καὶ σώζειν ἑαυτοὺς ὅπως 353
ἂν δύνωνται· πάντα γὰρ αὐτὸς ἤδη πράξειν πολέμου νόμῳ·
τοῖς δὲ στρατιώταις ἐμπιπράναι καὶ διαρπάζειν ἐπέτρεψεν
τὴν πόλιν. οἱ δ᾽ ἐκείνην μὲν ἐπέσχον τὴν ἡμέραν, τῇ δ᾽ 354
130 ὑστεραίᾳ τό τε ἀρχεῖον καὶ τὴν ἄκραν καὶ τὸ βουλευτήριον
καὶ τὸν ᾽Οφλᾶν καλούμενον ὑφῆψαν· καὶ προύκοψε τὸ πῦρ 355
μέχρι τῶν ῾Ελένης βασιλείων, ἃ δὴ κατὰ μέσην τὴν ἄκραν
ἦν, ἐκαίοντο δ᾽ οἱ στενωποὶ καὶ αἱ οἰκίαι νεκρῶν ὑπὸ τοῦ
λιμοῦ διεφθαρμένων πλήρεις.

135 **6,** 4. κατὰ ταύτην τὴν ἡμέραν οἵ τε ᾽Ιζάτου βασιλέως 356
υἱοὶ καὶ ἀδελφοί, πρὸς οἷς πολλοὶ τῶν ἐπισήμων δημοτῶν
ἐκεῖ συνελθόντες, ἱκέτευσαν Καίσαρα δοῦναι δεξιὰν αὐτοῖς.
ὁ δὲ καίτοι πρὸς πάντας τοὺς ὑπολοίπους διωργισμένος
οὐκ ἤλλαξε τὸ ἦθος, δέχεται δὲ τοὺς ἄνδρας. καὶ τότε 357
140 μὲν ἐν φρουρᾷ πάντας εἶχε, τοὺς δὲ τοῦ βασιλέως παῖδας
καὶ συγγενεῖς δήσας ὕστερον εἰς ῾Ρώμην ἀνήγαγεν πίστιν
ὁμήρων παρέξοντας.

7, 1. οἱ στασιασταὶ δ᾽ ἐπὶ τὴν βασιλικὴν ὁρμήσαντες 358
αὐλήν, εἰς ἣν δι᾽ ὀχυρότητα πολλοὶ τὰς κτήσεις ἀπέθεντο,
τούς τε ῾Ρωμαίους ἀπ᾽ αὐτῆς τρέπονται καὶ τὸ συν-
ηθροισμένον αὐτόθι τοῦ δήμου πᾶν φονεύσαντες, ὄντας εἰς
5 ὀκτακισχιλίους καὶ τετρακοσίους, τὰ χρήματα διήρπασαν.
ἐζώγρησαν δὲ καὶ ῾Ρωμαίων δύο, τὸν μὲν ἱππέα τὸν δὲ 359
πεζόν, καὶ τὸν μὲν πεζὸν ἀποσφάξαντες εὐθέως ἔσυραν
περὶ τὴν πόλιν, ὥσπερ ἑνὶ σώματι πάντας ῾Ρωμαίους ἀμυ-

125. δεξιάν: δεξιάς L | φείσεσθαι: φείσασθαι PL 128. ἐμπιπράναι: ἐμπιπρᾶν M ἐμπιμπρᾶναι V | ἐπέτρεψεν: ἐπέτρεπε C ἐκέλευσε L 131. ὑφῆψαν: ἐφῆψαν PA 133. οἱ: οἵ τε VRC 136. πολλοί: om. L 137. ἱκέτευσαν: ἱκέτευον L
7, 7. ἔσυραν: ἔσυρον L 8. περί: ἐπί PAM | ἑνί: ἐν ἑνί L

ritirati nel deserto abbandonandogli la città[25]. Tito andò al- 352
lora sulle furie al vedere che essi, pur trovandosi nella condi-
zione di vinti, gli presentavano delle proposte come fossero
vincitori e fece loro proclamare dal banditore di non diser-
tare piú, ormai, né di sperare grazia, perché non avrebbe
risparmiato nessuno; combattessero invece con tutte le forze 353
e cercassero scampo come meglio potevano, perché da quel
momento egli avrebbe sempre applicato le leggi di guerra.
Diede quindi licenza ai soldati di incendiare e mettere a sacco
la città, ed essi per quel giorno non si mossero, ma il giorno 354
dopo appiccarono il fuoco agli archivi, all'Acra, alla sala del
Consiglio e al quartiere detto Ofel[26]; il fuoco si estese fino alla 355
reggia di Elena[27], che sorgeva nel mezzo dell'Acra, e le fiamme
divamparono nelle strade e nelle case ricolme dei cadaveri
delle vittime della fame.

6, 4. Quello stesso giorno i figli e i fratelli del re Izate, 356
accompagnati da un gran numero di cittadini ragguardevoli,
si presentarono a Cesare supplicandolo di accettare la loro
resa. Tito, sebbene fosse assai maldisposto contro tutti i su-
perstiti, non riuscí a far tacere la sua naturale clemenza e li
accolse. Per il momento li rinchiuse tutti in prigione; i figli 357
e i parenti del re li portò piú tardi a Roma in catene come
ostaggi[28].

7, 1. I ribelli assaltarono il palazzo reale[1], dove molti per 358
la sua solidità avevano depositato i loro beni, ne respinsero
i romani e, dopo aver sterminato tutti i cittadini che vi si
erano raccolti in numero di circa ottomila e quattrocento[2],
s'impadronirono delle cose di valore. Catturarono anche due 359
romani, un cavaliere e un fante; il fante lo ammazzarono im-
mediatamente e lo trascinarono in giro per la città, quasi a
vendicarsi su quell'unico cadavere di tutti i romani, mentre 360

νόμενοι, ὁ δ' ἱππεὺς ὠφέλιμόν τι αὐτοῖς πρὸς σωτηρίαν 360
10 ὑποθήσεσθαι λέγων ἀνάγεται πρὸς Σίμωνα· παρ' ᾧ μηδὲν εἰπεῖν ἔχων 'Αρδάλᾳ τινὶ τῶν ἡγεμόνων παραδίδοται κολασθησόμενος. ὁ δ' αὐτὸν ὀπίσω τὼ χεῖρε δήσας καὶ ταινίᾳ 361 τοὺς ὀφθαλμοὺς ἀντικρὺ τῶν Ῥωμαίων προήγαγεν ὡς καρατομήσων· φθάνει δ' ἐκεῖνος εἰς τοὺς Ῥωμαίους διαφυγὼν
15 ἐν ὅσῳ τὸ ξίφος ἐσπάσατο ὁ 'Ιουδαῖος. τοῦτον διαφυγόντα 362 ἐκ τῶν πολεμίων ἀνελεῖν μὲν οὐχ ὑπέμεινεν Τίτος, ἀνάξιον δὲ Ῥωμαίων εἶναι στρατιώτην κρίνας, ὅτι ζῶν ἐλήφθη, τά τε ὅπλα ἀφείλετο καὶ τοῦ τάγματος ἐξέβαλεν, ἅπερ ἦν αἰσχυνομένῳ θανάτου χαλεπώτερα.

20 **7,** 2. τῇ δ' ἑξῆς Ῥωμαῖοι τρεψάμενοι τοὺς λῃστὰς ἐκ 363 τῆς κάτω πόλεως τὰ μέχρι τοῦ Σιλωᾶ πάντα ἐνέπρησαν, καὶ τοῦ μὲν ἄστεος ἥδοντο δαπανωμένου, τῶν δ' ἁρπαγῶν διημάρτανον, ἐπειδὴ πάνθ' οἱ στασιασταὶ προκενοῦντες ἀνεχώρουν εἰς τὴν ἄνω πόλιν. ἦν γὰρ αὐτοῖς μετάνοια μὲν 364
25 οὐδεμία τῶν κακῶν, ἀλαζονεία δ' ὡς ἐπ' ἀγαθοῖς· καιομένην γοῦν ἀφορῶντες τὴν πόλιν ἱλαροῖς τοῖς προσώποις εὔθυμοι προσδέχεσθαι τὴν τελευτὴν ἔλεγον, πεφονευμένου μὲν τοῦ δήμου, κεκαυμένου δὲ τοῦ ναοῦ, φλεγομένου δὲ τοῦ ἄστεος μηδὲν καταλείποντες τοῖς πολεμίοις. οὐ μὴν ὅ 365
30 γε 'Ιώσηπος ἐν ἐσχάτοις ἱκετεύων αὐτοὺς ὑπὲρ τῶν λειψάνων τῆς πόλεως ἔκαμνεν, ἀλλὰ πολλὰ μὲν πρὸς τὴν ὠμότητα καὶ τὴν ἀσέβειαν εἰπών, πολλὰ δὲ συμβουλεύσας πρὸς σωτηρίαν οὐδὲν τοῦ χλευασθῆναι πλέον ἀπηνέγκατο. ἐπεὶ δ' οὔτε παραδοῦναι διὰ τὸν ὅρκον ἑαυτοὺς ὑπέμενον 366
35 οὔτε πολεμεῖν ἐξ ἴσου Ῥωμαίοις ἔθ' οἷοί τε ἦσαν, ὥσπερ εἱρκτῇ περιειλημμένοι, τό τε τοῦ φονεύειν ἔθος ἐκίνει τὰς δεξιάς, σκιδνάμενοι κατὰ τὰ ἔμπροσθεν τῆς πόλεως τοῖς ἐρειπίοις ὑπελόχων τοὺς αὐτομολεῖν ὡρμημένους. ἡλί- 367

10. ὑποθήσεσθαι: ὑποθέσθαι ML 12. αὐτὸν Niese αὐτοῦ codd. 15. διαφυγόντα: διαφυγόντα μὲν LC 16. μὲν: om. LC 17. εἶναι: om. P 18. ἀφείλετο: ἀφείλατο PA¹V¹R 21. πάντα: om. PAM 29. καταλείποντες: καταλιπόντες MLVRC 36. εἱρκτῇ: ἐν εἱρκτῇ M | τε: δὲ L 38. τοὺς: καὶ τοὺς M

il cavaliere, che aveva detto di poter dar loro un buon suggerimento per salvarsi, venne condotto dinanzi a Simone. Qui però egli non seppe che dire e allora venne consegnato a un tale Ardalas, uno dei comandanti, per essere messo a morte. Costui, legategli le mani dietro la schiena e bendatigli gli occhi, 361 lo spinse in vista dei romani per decapitarlo, ma l'altro, mentre il giudeo sguainava la spada, con uno scatto rapidissimo raggiunse i romani. Tito non ebbe l'animo di mettere a morte 362 uno che era sfuggito dalle mani dei nemici, ma, giudicandolo indegno di essere un soldato romano perché s'era fatto prendere vivo, gli tolse le armi e lo espulse dalla legione[3], un'umiliazione peggiore della morte.

7, 2. Il giorno dopo i romani, respinti i banditi dalla città 363 bassa, incendiarono ogni cosa fino alla Siloa[4] ed ebbero la soddisfazione di vedere la città in fiamme mentre andarono deluse le speranze di far bottino, perché i ribelli avevano depredato ogni cosa prima di ritirarsi nella città alta. Costoro 364 non provavano alcun rimorso per le loro malefatte, anzi ne andavano fieri come di belle imprese; cosí, quando videro la città in fiamme, con lieto volto dichiararono di esser contenti di aspettare la fine perché, sterminato il popolo, bruciato il tempio e incendiata la città, non lasciavano niente ai nemici. Neppure in quei momenti supremi Giuseppe tralasciò di sup- 365 plicarli perché risparmiassero quanto rimaneva della città, ma per quanto imprecasse contro le loro crudeltà ed empietà, per quanto si sforzasse di dar salutari consigli, non ne ricavò altro che scherni. Poiché non accettavano di arrendersi a 366 causa del giuramento fatto e non erano piú in grado di misurarsi con i romani, essendo come racchiusi in una prigione mentre le loro mani fremevano per l'abitudine di uccidere, essi si sparpagliarono alla periferia della città e si posero in agguato tra le rovine aspettando quelli che volevano diser-

www.scribd.com/Cultura_in_Ita5

σκοντο δὲ πολλοί, καὶ πάντας ἀποσφάττοντες, ὑπὸ γὰρ ἐν-
40 δείας οὐδὲ φεύγειν ἴσχυον, ἐρρίπτουν αὐτῶν κυσὶ τοὺς νε-
κρούς. ἐδόκει δὲ πᾶς τρόπος ἀπωλείας τοῦ λιμοῦ κουφό- 368
τερος, ὥστε καὶ Ῥωμαίοις ἀπηλπικότες ἤδη τὸν ἔλεον ὅμως
προσέφευγον καὶ φονεύουσι τοῖς στασιασταῖς ἑκόντες ἐνέ-
πιπτον. τόπος τ' ἐπὶ τῆς πόλεως οὐδεὶς γυμνὸς ἦν, ἀλλὰ 369
45 πᾶς λιμοῦ νεκρὸν εἶχεν ἢ στάσεως καὶ πεπλήρωτο νεκρῶν
ἢ διὰ στάσιν ἢ διὰ λιμὸν ἀπολωλότων.

7, 3. ἔθαλπε δὲ τούς τε τυράννους καὶ τὸ σὺν αὐτοῖς 370
λῃστρικὸν ἐλπὶς ἐσχάτη περὶ τῶν ὑπονόμων, εἰς οὓς κατα-
φεύγοντες οὐ προσεδόκων ἐρευνηθήσεσθαι, μετὰ δὲ τὴν παν-
50 τελῆ τῆς πόλεως ἅλωσιν ἀναζευξάντων Ῥωμαίων προελ-
θόντες ἀποδράσεσθαι ἐπεχείρουν. τὸ δ' ἦν ἄρα ὄνειρος αὐ- 371
τοῖς· οὔτε γὰρ τὸν θεὸν οὔτε Ῥωμαίους λήσειν ἔμελλον.
τηνικαῦτά γε μὴν τοῖς ὑπογείοις πεποιθότες αὐτοὶ πλείονα 372
τῶν Ῥωμαίων ἐνεπίμπρασαν, καὶ τοὺς ἐκ τῶν καιομένων
55 καταφεύγοντας εἰς τὰς διώρυχας ἔκτεινόν τε ἀνέδην καὶ
ἐσύλων, καὶ εἴ τινος εὕροιεν τροφὴν ἁρπάζοντες αἵματι
πεφυρμένην κατέπινον. ἦν δὲ καὶ πρὸς ἀλλήλους ἐν ταῖς 373
ἁρπαγαῖς ἤδη πόλεμος αὐτοῖς, δοκοῦσί τε ἄν μοι μὴ φθα-
σθέντες ὑπὸ τῆς ἁλώσεως δι' ὑπερβολὴν ὠμότητος γεύσα-
60 σθαι καὶ τῶν νεκρῶν.

8, 1. Καῖσαρ δ', ὡς ἀμήχανον ἦν ἐξελεῖν δίχα χωμάτων 374
τὴν ἄνω πόλιν περίκρημνον οὖσαν, διανέμει τοῖς ἔργοις
τὴν δύναμιν Λώου μηνὸς εἰκάδι. χαλεπὴ δ' ἦν τῆς ὕλης 375
ἡ κομιδὴ πάντων, ὡς ἔφην, τῶν περὶ τὴν πόλιν ἐφ' ἑκατὸν
5 σταδίους ἐψιλωμένων εἰς τὰ πρότερον χώματα. τῶν μὲν 376
οὖν τεσσάρων ταγμάτων ἠγείρετο τὰ ἔργα κατὰ τὸ πρὸς

40. οὐδὲ: οὐδὲν A οὔτε L *non* Lat | φεύγειν: φυγεῖν VRC 44-5. ἀλλὰ πᾶς: ἀλλ'ἅπας M ἀλλὰ ἅπας VRC 45-6. καὶ – ἀπολωλότων quae verba prioris editionis ab ipso Iosepho retractatae perperam servare videntur, del. Cardwell 50-1. προελθόντες: προσελθόντες VRC 56. καὶ εἰ: κἂν εἰ PAMLC 58. τε: δ'VRC 58-9. φθασθέντες: *praeventi essent* Lat φθαρθέντες PAMVR φθα-ρέντες LC

tare. Ne presero molti e, dopo averli tutti ammazzati, perché 367
per la debolezza non avevano nemmeno la forza di fuggire,
ne gettarono i cadaveri ai cani. Ma ogni genere di morte 368
sembrava piú sopportabile della fame, sí che la gente, pur
sapendo che presso i romani non avrebbe piú trovato pietà,
da una parte cercava di raggiungerli, dall'altra era contenta
di cadere nelle mani dei ribelli, che non perdonavano. Nella 369
città non si trovava un posto libero, ma c'erano morti dap-
pertutto, vittime della fame o dei ribelli.

7, 3. Per i capi e le loro bande l'ultima speranza era rap- 370
presentata dalle gallerie sotterranee[5]; rifugiatisi là dentro pen-
savano di non essere ricercati, e quando poi, completata
l'espugnazione della città, i romani se ne sarebbero andati,
essi contavano di venir fuori e di svignarsela. Ma questo non 371
era che un sogno, perché erano destinati a non sfuggire né al
dio né ai romani. Per il momento, ad ogni modo, facendo 372
affidamento sui sotterranei, essi appiccarono piú incendi dei
romani, e la gente che dalle case in fiamme usciva a cercar
rifugio in quelle gallerie essi l'uccidevano senza pietà e la
spogliavano, e se addosso a qualcuno trovavano un po' di
cibo glielo strappavano e lo divoravano tutto insozzato di
sangue. Ormai si contendevano con le armi in pugno il frutto 373
delle rapine, e io credo che, se avesse tardato la presa della
città, essi sarebbero giunti a tal punto di ferocia da cibarsi
anche dei cadaveri.

8, 1. Cesare, poiché senza innalzare terrapieni era impos- 374
sibile impadronirsi della città alta a causa dei precipizi che la
circondavano, il venti del mese di Loos[1] ripartí il lavoro fra
le sue forze. Un grave problema era rappresentato dal tra- 375
sporto del legname, dato che, come ho già detto[2], per la co-
struzione dei precedenti terrapieni erano stati tagliati tutti gli
alberi entro un raggio di cento stadi intorno alla città. Le 376
opere costruite dalle quattro legioni sorsero sul lato occiden-

δύσιν κλίμα τῆς πόλεως ἀντικρὺ τῆς βασιλικῆς αὐλῆς, τὸ 377
δὲ συμμαχικὸν πλῆθος καὶ ὁ λοιπὸς ὄχλος κατὰ τὸν ξυστὸν
ἔχου καὶ τὴν γέφυραν καὶ τὸν Σίμωνος πύργον, ὃν ᾠκο-
10 δόμησε πρὸς Ἰωάννην πολεμῶν ἑαυτῷ φρούριον.

8, 2. κατὰ ταύτας τὰς ἡμέρας οἱ τῶν Ἰδουμαίων ἡγε- 378
μόνες κρύφα συνελθόντες ἐβουλεύσαντο περὶ παραδόσεως
σφῶν αὐτῶν, καὶ πέμψαντες ἄνδρας πέντε πρὸς Τίτον ἱκέ-
τευον δοῦναι δεξιὰν αὐτοῖς. ὁ δὲ καὶ τοὺς τυράννους ἐν- 379
15 δώσειν ἐλπίσας ἀποσπασθέντων τῶν Ἰδουμαίων, οἳ πολὺ τοῦ
πολέμου μέρος ἦσαν, βραδέως μέν, ἀλλ' οὖν κατανεύει τε
τὴν σωτηρίαν αὐτοῖς καὶ τοὺς ἄνδρας ἀνέπεμψε. παρα- 380
σκευαζομένων δ' ἀποχωρεῖν αἰσθάνεται Σίμων, καὶ πέντε
μὲν τοὺς ἀπελθόντας πρὸς Τίτον εὐθέως ἀναιρεῖ, τοὺς δ'
20 ἡγεμόνας, ὧν ἐπισημότατος ἦν ὁ τοῦ Σωσᾶ Ἰάκωβος,
συλλαβὼν εἵργνυσι· τὸ δὲ πλῆθος τῶν Ἰδουμαίων ἀμηχα- 381
νοῦν διὰ τὴν ἀφαίρεσιν τῶν ἡγεμόνων οὐκ ἀφύλακτον εἶχε
καὶ τὸ τεῖχος φρουραῖς ἐπιμελεστέραις διελάμβανεν. οὐ 382
μὴν ἀντέχειν οἱ φρουροὶ πρὸς τὰς αὐτομολίας ἴσχυον, ἀλλὰ
25 καίτοι πλείστων φονευομένων πολὺ πλείους οἱ διαφεύγον-
τες ἦσαν. ἐδέχοντο δὲ Ῥωμαῖοι πάντας, τοῦ τε Τίτου 383
διὰ πρᾳότητα τῶν προτέρων ἀμελήσαντος παραγγελμάτων,
καὶ αὐτοὶ κόρῳ τοῦ κτείνειν ἀπεχόμενοι καὶ κέρδους ἐλπίδι·
τοὺς γὰρ δημοτικοὺς καταλιπόντες μόνους τὸν ἄλλον ὄχλον 384
30 ἐπώλουν σὺν γυναιξὶ καὶ τέκνοις, ἐλαχίστης τιμῆς ἕκαστον
πλήθει τε τῶν πιπρασκομένων καὶ ὀλιγότητι τῶν ὠνου-
μένων. καίπερ δὲ προκηρύξας μηδένα μόνον αὐτομολεῖν, 385
ὅπως καὶ τὰς γενεὰς ἐξαγάγοιεν, ὅμως καὶ τούτους ἐδέχετο·
ἐπέστησε μέντοι τοὺς διακρινοῦντας ἀπ' αὐτῶν, εἴ τις εἴη
35 κολάσεως ἄξιος. καὶ τῶν μὲν ἀπεμπποληθέντων ἄπειρον ἦν 386

8, 8. τὸν ξυστὸν: τὸ ξυστὸν PA 9. ἔχου Destinon ἐξου P ἐξοῦ AL ἐξ οὗ MVR om. C Lat 9-10. ὃν ᾠκοδόμησε: ἀνῳκοδόμησε PAM 15. τῶν: om. PAMVRC 21. Ἰδουμαίων: Ιουδαίων C 28. κόρῳ: κόρον L 29. καταλιπόντες: καταλείποντες A | τὸν ἄλλον: τῶν ἄλλων C 33. τὰς: om. VRC | ἐξαγάγοιεν: ἐξάγοιεν R 34. διακρινοῦντας: διακρίνοντας L

tale della città dirimpetto al palazzo reale[3], mentre le truppe 377
ausiliarie e le restanti forze innalzavano un terrapieno di fronte
al Xisto e al ponte e alla torre di Simone[4], che questi si era
fatta costruire al tempo in cui era in lotta con Giovanni.

8, 2. In questi giorni i capi degli Idumei[5], adunatisi in 378
segreto, deliberarono di arrendersi e mandarono da Tito
cinque delegati per supplicarlo di concedere loro salva la vita.
Tito, nella speranza che dopo la defezione degli Idumei, i 379
quali rappresentavano un'importante componente delle forze
sul campo, anche i capiribelli si sarebbero arresi, sia pur dopo
qualche esitazione acconsentí a promettere loro la grazia e
rinviò i delegati. Ma mentre gli Idumei si preparavano a par- 380
tire, Simone se ne accorse e immediatamente ordinò di ucci-
dere i cinque, che erano andati a parlamentare con Tito, e di
mettere in prigione i capi, di cui il piú ragguardevole era
Giacomo figlio di Sosa; nello stesso tempo tenne d'occhio 381
la massa degli Idumei, sebbene questa fosse paralizzata dalla
perdita dei suoi capi, e sulle mura dispose sentinelle piú vigili.
Queste tuttavia non riuscivano a impedire le diserzioni, e 382
sebbene molti venissero uccisi erano assai piú numerosi quelli
che riuscivano a fuggire. I romani, accoglievano tutti, sia 383
perché Tito nella sua mitezza aveva lasciato cadere le prece-
denti disposizioni[6], sia perché i soldati li risparmiavano stanchi
di uccidere e spinti dalla speranza di guadagno; infatti, esclu- 384
dendo soltanto i cittadini[7], essi vendettero schiavi tutti quanti
gli altri assieme alle mogli e ai figli, ma a un prezzo bassissimo
per l'abbondanza della merce e la penuria dei compratori. E 385
nonostante Tito avesse fatto bandire che nessuno disertasse
da solo, per costringerli a portar fuori anche le famiglie, alla
fine accettò la resa anche degli isolati, ma istituí una commis-
sione per indagare se in mezzo a loro vi fosse qualcuno da
punire. Ingente fu il numero di coloro che furono venduti; 386

τὸ πλῆθος, οἱ δημοτικοὶ δὲ διεσώθησαν ὑπὲρ τετρακισμυρίους, οὓς διαφῆκεν Καῖσαρ ᾗ φίλον ἦν ἑκάστῳ.

8, 3. ἐν δὲ ταῖς αὐταῖς ἡμέραις καὶ τῶν ἱερέων τις Θεβουθεῖ παῖς, Ἰησοῦς ὄνομα, λαβὼν περὶ σωτηρίας ὅρκους παρὰ Καίσαρος ἐφ᾽ ᾧ παραδώσει τινὰ τῶν ἱερῶν κειμηλίων, ἔξεισι καὶ παραδίδωσιν ἀπὸ τοῦ τοίχου τοῦ ναοῦ λυχνίας δύο τῶν κατὰ τὸν ναὸν κειμένων παραπλησίας, τραπέζας τε καὶ κρατῆρας καὶ φιάλας, πάνθ᾽ ὁλόχρυσα καὶ στιβαρώτατα, παραδίδωσι δὲ καὶ τὰ καταπετάσματα καὶ τὰ ἐνδύματα τῶν ἀρχιερέων σὺν τοῖς λίθοις καὶ πολλὰ τῶν πρὸς τὰς ἱερουργίας σκευῶν ἄλλα. συλληφθεὶς δὲ καὶ ὁ γαζοφύλαξ τοῦ ἱεροῦ Φινέας ὄνομα τούς τε χιτῶνας καὶ τὰς ζώνας ὑπέδειξε τῶν ἱερέων, πορφύραν τε πολλὴν καὶ κόκκον, ἃ πρὸς τὰς χρείας ἀπέκειτο τοῦ καταπετάσματος, σὺν οἷς κιννάμωμόν τε πολὺ καὶ κασσίαν καὶ πλῆθος ἑτέρων ἀρωμάτων, ἃ συμμίσγοντες ἐθυμίων ὁσημέραι τῷ θεῷ. παρεδόθη δὲ ὑπ᾽ αὐτοῦ πολλὰ καὶ τῶν ἄλλων κειμηλίων κόσμος θ᾽ ἱερὸς οὐκ ὀλίγος, ἅπερ αὐτῷ βίᾳ ληφθέντι τὴν τῶν αὐτομόλων συγγνώμην ἔδωκε.

8, 4. συντετελεσμένων δ᾽ ἤδη καὶ τῶν χωμάτων ἐν ὀκτωκαίδεκα ἡμέραις ἑβδόμῃ Γορπιαίου μηνὸς Ῥωμαῖοι μὲν προσῆγον τὰς μηχανάς, τῶν δὲ στασιαστῶν οἱ μὲν ἀπεγνωκότες ἤδη τὴν πόλιν ἀνεχώρουν τοῦ τείχους εἰς τὴν ἄκραν, οἱ δ᾽ ἐγκατεδύοντο τοῖς ὑπονόμοις· πολλοὶ δὲ διαστάντες ἠμύνοντο τοὺς προσάγοντας τὰς ἑλεπόλεις. ἐκράτουν δὲ καὶ τούτων Ῥωμαῖοι πλήθει τε καὶ βίᾳ καὶ τὸ μέγιστον, εὐθυμοῦντες ἀθύμων ἤδη καὶ παρειμένων. ὡς δὲ παρερράγη μέρος τι τοῦ τείχους, καί τινες τῶν πύργων τυπτόμενοι τοῖς κριοῖς ἐνέδοσαν, φυγὴ μὲν ἦν εὐθέως τῶν ἀμυνομένων, δέος δὲ καὶ τοῖς τυράννοις ἐμπίπτει σφοδρό-

42. τῶν κατὰ τὸν ναὸν κειμένων: ταῖς κατὰ τὸν ναὸν κειμέναις C 48. ὑπέδειξε: ἐπέδειξε MLVRC 55. συντετελεσμένων: συντελεσμένων A 63. παρερράγη Herwerden περιερράγη codd.

dei cittadini vennero risparmiati oltre quarantamila[8], e Cesare li lasciò liberi di andare dove volessero.

8, 3. In quei giorni un sacerdote di nome Gesú, figlio di Thebuthi, ottenuta da Cesare la promessa della grazia se avesse consegnato qualcuno dei preziosi oggetti sacri, venne fuori portando due candelabri che erano stati nascosti nel muro del tempio, simili a quelli che stavano all'interno del tempio, e inoltre tavole e vasi e coppe, tutto d'oro massiccio; per di piú consegnò i veli e i paramenti dei sommi sacerdoti con le gemme preziose e molti altri arredi per le cerimonie di culto. Fu poi anche catturato il tesoriere del tempio, di nome Finea, che tirò fuori le tuniche e le cinture dei sacerdoti, e gran quantità di stoffe colorate di porpora e di rosso conservate per riparare il velario del tempio, e un'infinità di cinnamomo, di cassia e di ogni altro profumo, che venivano mescolati e bruciati quotidianamente per incensare il dio. Egli consegnò anche molti altri oggetti preziosi e non pochi paramenti sacri, e cosí si guadagnò il perdono riservato ai disertori sebbene fosse stato catturato con le armi.

8, 4. Finiti ormai i terrapieni in diciotto giorni di lavoro, il sette del mese di Gorpieo[9] i romani spinsero su le macchine, e allora alcuni dei ribelli, vedendo ormai la città perduta, si ritirarono dalle mura nell'Acra[10], altri si calarono nelle gallerie sotterranee; molti però si disposero a difesa contro quelli che facevano avanzare le elepoli. Anche di questi i romani ebbero ragione grazie al loro numero, alla loro forza e, ciò che piú contava, all'ardore che li animava, mentre i nemici erano ormai demoralizzati e abbattuti. Quando nelle mura fu aperta una breccia e alcune torri rovinarono sotto i colpi degli arieti, i difensori presero rapidamente la fuga e

τερον τῆς ἀνάγκης· πρὶν γὰρ ὑπερβῆναι τοὺς πολεμίους 395
ἐνάρκων τε καὶ μετέωροι πρὸς φυγὴν ἦσαν, ἦν δ' ἰδεῖν τοὺς
πάλαι σοβαροὺς καὶ τοῖς ἀσεβήμασιν ἀλαζόνας τότε ταπει-
νοὺς καὶ τρέμοντας, ὡς ἐλεεινὴν εἶναι καίπερ ἐν πονηρο-
70 τάτοις τὴν μεταβολήν. ὥρμησαν μὲν οὖν ἐπὶ τὸ περιτείχισμα 396
δραμόντες ὤσασθαί τε τοὺς φρουροὺς καὶ διακόψαντες ἐξελ-
θεῖν· ὡς δὲ τοὺς μὲν πάλαι πιστοὺς ἑώρων οὐδαμοῦ, διέφυγον 397
γὰρ ὅπῃ τινὶ συνεβούλευεν ἡ ἀνάγκη, προσθέοντες δὲ οἱ
μὲν ὅλον ἀνατετράφθαι τὸ πρὸς δύσιν τεῖχος ἤγγελλον,
75 οἱ δ' ἐμβεβληκέναι τοὺς Ῥωμαίους ἤδη τε πλησίον εἶναι
ζητοῦντας αὐτούς, ἕτεροι δὲ καὶ ἀφορᾶν ἀπὸ τῶν πύργων 398
πολεμίους ἔλεγον πλάζοντος τὰς ὄψεις τοῦ δέους, ἐπὶ στόμα
πεσόντες ἀνῴμωζον τὴν ἑαυτῶν φρενοβλάβειαν καὶ καθάπερ
ὑποκεκομμένοι τὰ νεῦρα τῆς φυγῆς ἠπόρουν. ἔνθα δὴ μά- 399
80 λιστ' ἄν τις καταμάθοι τήν τε τοῦ θεοῦ δύναμιν ἐπὶ τοῖς
ἀνοσίοις καὶ τὴν Ῥωμαίων τύχην· οἱ μέν γε τύραννοι τῆς
ἀσφαλείας ἐγύμνωσαν αὑτοὺς κἀκ τῶν πύργων κατέβησαν
ἑκόντες, ἐφ' ὧν βίᾳ μὲν οὐδέποθ' ἁλῶναι, μόνῳ δ' ἐδύ-
ναντο λιμῷ. Ῥωμαῖοι δὲ τοσαῦτα περὶ τοῖς ἀσθενεστέροις 400
85 τείχεσι καμόντες παρέλαβον τύχῃ τὰ μὴ δυνατὰ τοῖς ὀργά-
νοις· παντὸς γὰρ ἰσχυρότεροι μηχανήματος ἦσαν οἱ τρεῖς
πύργοι, περὶ ὧν ἀνωτέρω δεδηλώκαμεν.

8, 5. καταλιπόντες δὴ τούτους, μᾶλλον δ' ὑπὸ τοῦ 401
θεοῦ καταβληθέντες ἀπ' αὐτῶν, παραχρῆμα μὲν εἰς τὴν
90 ὑπὸ τῇ Σιλωᾷ φάραγγα καταφεύγουσιν, αὖθις δ' ὀλίγον
ἀνακύψαντες ἐκ τοῦ δέους ὥρμησαν ἐπὶ τὸ τῇδε περιτείχισμα.
χρησάμενοι δὲ ταῖς τόλμαις ἀγενεστέραις τῆς ἀνάγκης, κα- 402
τεάγησαν γὰρ ἤδη τὴν ἰσχὺν ἅμα τῷ δέει καὶ ταῖς συμ-
φοραῖς, ὑπὸ τῶν φρουρῶν ἀνωθοῦνται καὶ σκεδασθέντες

69-70. ἐν πονηροτάτοις: ἐμπονηροτάτοις R 71. τε: om. AC 73. προσθέοντες: προθέοντες C 75. ἤδη τε Destinon ex Lat οἱ δ'ἤδη codd. 76. ἀπὸ Herwerden ἐπὶ codd. *in* Lat *de* Heg 81. μέν γε: μὲν γὰρ MVRC 83. ἐφ': ὑφ' AM 87. ἀνωτέρω: ἀμφοτέρων AM 89. ἀπ': ὑπ' L 90. τῇ: τῆς L om. VRC 92. ἀγενεστέραις: ἀγεννεστέραις MLVR

anche i capiribelli si spaventarono in maniera esagerata; in- 395
fatti, ancor prima che i nemici superassero le difese, essi se ne
stavano sbigottiti e in forse se fuggire o no, e si potevano
vedere individui un tempo boriosi e fieri delle loro empietà
caduti ora in preda alla paura e tutti tremanti, con un capo-
volgimento che faceva compassione anche se si trattava di
farabutti di quella risma. A un certo punto essi si prepara- 396
rono a correre verso la linea di circonvallazione con l'inten-
zione di travolgere le sentinelle e di aprirsi un varco verso
l'esterno[11], ma non riuscirono piú a trovare i fedeli d'un 397
tempo, fuggiti ciascuno dove la necessità l'aveva spinto; nello
stesso tempo arrivarono di corsa alcuni a riferire che l'intero
muro occidentale era stato abbattuto[12], altri con la notizia 398
che i romani erano penetrati all'interno e si avvicinavano in
cerca di loro, e allorché qualcuno, con la vista annebbiata
dalla paura, gridò che dalle torri[13] si vedevano i nemici, quelli
si gettarono faccia a terra lamentando la loro follia e, come
se fossero stati loro recisi i nervi, non riuscivano a prendere
la fuga. Qui si potrebbero scorgere la potenza del dio contro 399
gli empi e la fortuna dei romani; infatti, i capiribelli si priva-
rono da sé stessi della loro sicurezza e di propria volontà
scesero da quelle torri in cui non sarebbero stati mai presi con
la forza, ma soltanto con la fame. D'altra parte i romani, 400
che avevano tanto penato attorno alle mura piú deboli, occu-
parono per favore della fortuna quelle che mai avrebbero
espugnato con le loro macchine; infatti le tre torri, di cui
abbiamo parlato prima, erano tali da resistere a ogni ordigno.

8, 5. Ritiratisi da esse, o piuttosto scacciatine dal dio, lí 401
per lí i ribelli si rifugiarono nel burrone sottostante alla Siloa,
ma poi, riavutisi un po' dallo spavento, si scagliarono contro
il vicino settore della linea di circonvallazione. Il loro impeto 402
non fu però all'altezza della bisogna, poiché le loro forze
erano prostrate dalla paura e dalla demoralizzazione; ed essi,
respinti dalle sentinelle, si dispersero rifugiandosi nei sotter-

95 ὑπ' ἀλλήλων κατέδυσαν εἰς τοὺς ὑπονόμους. Ῥωμαῖοι δὲ 403
τῶν τειχῶν κρατήσαντες τάς τε σημαίας ἔστησαν ἐπὶ τῶν
πύργων καὶ μετὰ κρότου καὶ χαρᾶς ἐπαιάνιζον ἐπὶ τῇ
νίκῃ, πολὺ τῆς ἀρχῆς κουφότερον τοῦ πολέμου τὸ τέλος
εὑρηκότες· ἀναιμωτὶ γοῦν τοῦ τελευταίου τείχους ἐπιβάντες
100 ἠπίστουν, καὶ μηδένα βλέποντες ἀντίπαλον ἀληθῶς ἠπόρην-
το. εἰσχυθέντες δὲ τοῖς στενωποῖς ξιφήρεις τούς τε κατα- 404
λαμβανομένους ἐφόνευον ἀνέδην καὶ τῶν συμφευγόντων τὰς
οἰκίας αὐτάνδρους ὑπεπίμπρασαν. πολλὰς δὲ κεραΐζοντες 405
ὁπότ' ἔνδον παρέλθοιεν ἐφ' ἁρπαγήν, γενεὰς ὅλας νεκρῶν
105 κατελάμβανον καὶ τὰ δωμάτια πλήρη τῶν τοῦ λιμοῦ πτω-
μάτων, ἔπειτα πρὸς τὴν ὄψιν πεφρικότες κεναῖς χερσὶν
ἐξῄεσαν. οὐ μὴν οἰκτείροντες τοὺς οὕτως ἀπολωλότας ταὐτὸ 406
καὶ πρὸς τοὺς ζῶντας ἔπασχον, ἀλλὰ τὸν ἐντυγχάνοντα
διελαύνοντες ἀπέφραξαν μὲν τοὺς στενωποὺς νεκροῖς, αἵματι
110 δ' ὅλην τὴν πόλιν κατέκλυσαν, ὡς πολλὰ τῶν φλεγομένων
σβεσθῆναι τῷ φόνῳ. καὶ οἱ μὲν κτείνοντες ἐπαύσαντο πρὸς 407
ἑσπέραν, ἐν δὲ τῇ νυκτὶ τὸ πῦρ ἐπεκράτει, φλεγομένοις δ'
ἐπανέτειλεν Ἱεροσολύμοις ἡμέρα Γορπιαίου μηνὸς ὀγδόη,
πόλει τοσαύταις χρησαμένῃ συμφοραῖς κατὰ τὴν πολιορ- 408
115 κίαν, ὅσοις ἀπὸ τῆς κτίσεως ἀγαθοῖς κεχρημένη πάντως
ἂν ἐπίφθονος ἔδοξεν, οὐ μὴν ἀξίᾳ κατ' ἄλλο τι τῶν τηλι-
κούτων ἀτυχημάτων ἢ τῷ γενεὰν τοιαύτην ἐνεγκεῖν, ὑφ'
ἧς ἀνετράπη.

9, 1. παρελθὼν δὲ Τίτος εἴσω τά τε ἄλλα τῆς ὀχυ- 409
ρότητος τὴν πόλιν καὶ τῶν πύργων ἀπεθαύμασεν, οὓς οἱ
τύραννοι κατὰ φρενοβλάβειαν ἀπέλιπον. κατιδὼν γοῦν τό 410
τε ναστὸν αὐτῶν ὕψος καὶ τὸ μέγεθος ἑκάστης πέτρας

100. ἀληθῶς: ἀήθως LRC ἀηθῶς V *pro certo* Lat 102. ἀνέδην: ἀναίδην LVRC 103. πολλάς: πολλὰ VRC 108. ἐντυγχάνοντα: ἐντυχόντα LVRC 110. πολλά: πολλὰ καὶ A 112. τὸ: om. C 114. τοσαύταις: τοσαύτῃ ML 115. τῆς: om. A 117. τῷ Niese τὸ codd.
9, 1. δὲ: δ'ὁ M 3. ἀπέλιπον: ἀπέλειπον AVR

ranei. I romani, impadronitisi delle mura, piantarono i loro 403 vessilli sulle torri e con applausi e grida di giubilo inneggiarono alla vittoria. La conclusione della guerra l'avevano trovata assai piú facile dell'inizio; quasi non credevano di aver superato l'ultimo muro senza subir perdite e rimasero veramente interdetti al vedere che dall'altra parte non c'era un nemico. Riversatisi nelle strade[14] con le spade in pugno, mas- 404 sacrarono in massa quelli che presero e, se qualcuno cercava scampo chiudendosi nelle case, vi appiccavano il fuoco con tutte le persone che c'erano dentro. In molte di esse, penetrati 405 per saccheggiare, trovavano intere famiglie morte e le stanze ricolme dei cadaveri delle vittime della fame, e allora, inorriditi a tale spettacolo, se ne uscivano a mani vuote. Però, 406 mentre sentivano pietà per quelli che avevano fatto una cosí brutta morte[15], non provavano gli stessi sentimenti verso i sopravvissuti, ma facendo strage di chiunque capitava nelle loro mani ostruivano con i cadaveri le strade e inondavano di sangue l'intera città, tanto che parecchi incendi ne furono estinti. La carneficina ebbe termine verso sera, ma nella notte 407 il fuoco prese vigore e l'ottavo giorno del mese di Gorpieo[16] spuntò su Gerusalemme avvolta nelle fiamme, una città che 408 durante l'assedio aveva patito tanti mali che, se avesse goduto altrettanti beni dal momento della sua fondazione, sarebbe stata giudicata senz'altro degna d'invidia; una città che non meritava simili sofferenze se non per aver dato vita a una generazione come quella che ne causò la rovina.

9, 1. Tito, entrato nella città[1], ne ammirò le fortificazioni 409 e soprattutto le torri, che i capiribelli nella loro stoltezza avevano evacuato. Osservando l'altezza della base massiccia, 410 le dimensioni di ogni blocco di pietra e la precisione delle

5 τήν τε ἀκρίβειαν τῆς ἁρμονίας, καὶ ὅσοι μὲν εὖρος ἥλικοι
δὲ ἦσαν τὴν ἀνάστασιν, «σὺν θεῷ γ' ἐπολεμήσαμεν,» ἔφη, 411
«καὶ θεὸς ἦν ὁ τῶνδε τῶν ἐρυμάτων Ἰουδαίους καθελών,
ἐπεὶ χεῖρες ἀνθρώπων ἢ μηχαναὶ τί πρὸς τούτους τοὺς
πύργους δύνανται;». τότε μὲν οὖν πολλὰ τοιαῦτα διελέχθη 412
10 πρὸς τοὺς φίλους, τοὺς δὲ τῶν τυράννων δεσμώτας, ὅσοι
κατελήφθησαν ἐν τοῖς φρουρίοις, ἀνῆκεν. αὖθις δὲ τὴν ἄλλην 413
ἀφανίζων πόλιν καὶ τὰ τείχη κατασκάπτων τούτους τοὺς
πύργους κατέλιπε μνημεῖον εἶναι τῆς αὑτοῦ τύχης, ᾗ συ-
στρατιώτιδι χρησάμενος ἐκράτησε τῶν ἁλῶναι μὴ δυνα-
15 μένων.

9, 2. ἐπεὶ δ' οἱ στρατιῶται μὲν ἔκαμνον ἤδη φονεύοντες, 414
πολὺ δ' ἔτι πλῆθος τῶν περιόντων ἀνεφαίνετο, κελεύει
Καῖσαρ μόνους μὲν τοὺς ἐνόπλους καὶ χεῖρας ἀντίσχοντας
κτείνειν, τὸ δὲ λοιπὸν πλῆθος ζωγρεῖν. οἱ δὲ μετὰ τῶν 415
20 παρηγγελμένων τό τε γηραιὸν καὶ τοὺς ἀσθενεῖς ἀνήρουν,
τὸ δ' ἀκμάζον καὶ χρήσιμον εἰς τὸ ἱερὸν συνελάσαντες
ἐγκατέκλεισαν τῷ τῶν γυναικῶν περιτειχίσματι. καὶ φρου- 416
ρὸν μὲν ἐπέστησε Καῖσαρ ἕνα τῶν ἀπελευθέρων, Φρόντωνα
δὲ τῶν φίλων ἐπικρινοῦντα τὴν ἀξίαν ἑκάστῳ τύχην. ὁ 417
25 δὲ τοὺς μὲν στασιώδεις καὶ ληστρικοὺς πάντας ὑπ' ἀλλήλων
ἐνδεικνυμένους ἀπέκτεινε, τῶν δὲ νέων τοὺς ὑψηλοτάτους
καὶ καλοὺς ἐπιλέξας ἐτήρει τῷ θριάμβῳ. τοῦ δὲ λοιποῦ 418
πλήθους τοὺς ὑπὲρ ἑπτακαίδεκα ἔτη δήσας ἔπεμψεν εἰς τὰ
κατ' Αἴγυπτον ἔργα, πλείστους δ' εἰς τὰς ἐπαρχίας διεδω-
30 ρήσατο Τίτος φθαρησομένους ἐν τοῖς θεάτροις σιδήρῳ καὶ
θηρίοις· οἱ δ' ἐντὸς ἑπτακαίδεκα ἐτῶν ἐπράθησαν. ἐφθά- 419
ρησαν δὲ αὐτῶν, ἐν αἷς διέκρινεν ὁ Φρόντων ἡμέραις, ὑπ'
ἐνδείας χίλιοι πρὸς τοῖς μυρίοις, οἱ μὲν ὑπὸ μίσους τῶν

6. ἀνάστασιν: ἀνάτασιν MRC 10. ὅσοι: οἳ LVRC 13. κατέλιπε: κατέλειπε AVR 17. δ' ἔτι: δέ τι AMVRC 22. τῷ: τὸ C | γυναικῶν: γυναικίων A γυναικείων MLVR 31. ἐντὸς ἑπτακαίδεκα ἐτῶν: ἐν ταῖς ἑπτακαιδεκαετῶν C | ἐπράθησαν: ἐπράχθησαν L 33. τῶν: om. A

commessure, e il loro sviluppo totale in ampiezza e in altezza[2] « Veramente abbiamo combattuto con l'aiuto di dio » disse 411 « e fu dio che fece uscire i giudei da queste fortezze; infatti contro queste torri che cosa possono mani di uomo o macchine[3]? ». Simili considerazioni piú volte egli le fece con gli 412 amici mentre rimetteva in libertà i prigionieri dei capiribelli trovati nelle torri. Piú tardi, quando distrusse il resto della 413 città e abbatté le mura, risparmiò queste torri a ricordo della sua fortuna[4], che l'aveva aiutato a impadronirsi di fortezze imprendibili.

9, 2. Poiché i soldati erano ormai stanchi di uccidere, 414 mentre continuava a venir fuori una gran massa di superstiti, Cesare ordinò di sopprimere soltanto chi aveva armi e opponeva resistenza, e il resto di farli prigionieri. Ma i soldati, 415 oltre alle persone specificate nell'ordine ricevuto, uccisero anche i vecchi e i deboli, mentre i giovani e i validi li ammassarono nel tempio rinchiudendoli nel recinto delle donne. Alla vigilanza su costoro Cesare prepose uno fra i suoi liberti, 416 mentre affidò a Frontone[5], che apparteneva alla schiera dei suoi amici, l'incarico di stabilire la sorte da riservare ad ognuno. Frontone mise a morte tutti i ribelli e i guerriglieri 417 che s'incolpavano vicendevolmente, e tra i giovani scelse i piú alti e di bell'aspetto mettendoli da parte per il trionfo[6]. Tutti gli altri, di età superiore ai diciassette anni, li mandò 418 in catene a lavorare in Egitto[7], ma moltissimi Tito ne inviò in dono nelle varie province a dar spettacolo nei teatri morendo di spada o dilaniati dalle belve feroci; chi non aveva ancora diciassette anni fu venduto in schiavitú. Nei giorni 419 che Frontone impiegò per decidere, morirono di fame undicimila prigionieri, alcuni perché non ebbero da mangiare per

φυλάκων μὴ μεταλαμβάνοντες τροφῆς, οἱ δ' οὐ προσιέ-
35 μενοι διδομένην· πρὸς δὲ τὸ πλῆθος ἦν ἔνδεια καὶ σίτου.

9, 3. τῶν μὲν οὖν αἰχμαλώτων πάντων, ὅσα καθ' ὅλον 420
ἐλήφθη τὸν πόλεμον, ἀριθμὸς ἐννέα μυριάδες καὶ ἑπτακισ-
χίλιοι συνήχθη, τῶν δὲ ἀπολομένων κατὰ πᾶσαν τὴν πο-
λιορκίαν μυριάδες ἑκατὸν καὶ δέκα. τούτων τὸ πλέον ὁμό- 421
40 φυλον μὲν ἀλλ' οὐκ ἐπιχώριον· ἀπὸ γὰρ τῆς χώρας ὅλης
ἐπὶ τὴν τῶν ἀζύμων ἑορτὴν συνεληλυθότες ἐξαπίνης τῷ
πολέμῳ περιεσχέθησαν, ὥστε τὸ μὲν πρῶτον αὐτοῖς τὴν
στενοχωρίαν γενέσθαι λοιμώδη φθοράν, αὖθις δὲ καὶ λιμὸν
ὠκύτερον. ὅτι δ' ἐχώρει τοσούτους ἡ πόλις, δῆλον ἐκ τῶν 422
45 ἐπὶ Κεστίου συναριθμηθέντων, ὃς τὴν ἀκμὴν τῆς πόλεως
διαδηλῶσαι Νέρωνι βουλόμενος καταφρονοῦντι τοῦ ἔθνους
παρεκάλεσεν τοὺς ἀρχιερεῖς, εἴ πως δυνατὸν εἴη τὴν πληθὺν
ἐξαριθμήσασθαι· οἱ δ' ἐνστάσης ἑορτῆς, πάσχα καλεῖται, 423
καθ' ἣν θύουσιν μὲν ἀπὸ ἐνάτης ὥρας μέχρις ἑνδεκάτης,
50 ὥσπερ δὲ φατρία περὶ ἑκάστην γίνεται θυσίαν οὐκ ἐλάσ-
σων ἀνδρῶν δέκα, μόνον γὰρ οὐκ ἔξεστιν δαίνυσθαι, πολλοὶ
δὲ καὶ συνείκοσιν ἀθροίζονται, τῶν μὲν θυμάτων εἰκοσιπέντε 424
μυριάδας ἠρίθμησαν, πρὸς δὲ πεντακισχίλια ἑξακόσια, γί- 425
νονται δ' ἀνδρῶν, ἵν' ἑκάστου δέκα δαιτυμόνας θῶμεν,
55 μυριάδες ἑβδομήκοντα καὶ διακόσιαι καθαρῶν ἁπάντων καὶ
ἁγίων· οὔτε γὰρ λεπροῖς οὔτε γονορροιϊκοῖς οὔτε γυναιξὶν 426
ἐπεμμήνοις οὔτε τοῖς ἄλλως μεμιασμένοις ἐξὸν ἦν τῆσδε
τῆς θυσίας μεταλαμβάνειν, ἀλλ' οὐδὲ τοῖς ἀλλοφύλοις, ὅσοι 427
κατὰ θρησκείαν παρῆσαν,

60 **9,** 4. πολὺ δὲ τούτων πλῆθος ἔξωθεν συλλέγεται. τότε 428
γε μὴν ὥσπερ εἰς εἱρκτὴν ὑπὸ τῆς εἱμαρμένης πᾶν συνε-
κλείσθη τὸ ἔθνος, καὶ ναστὴν ὁ πόλεμος τὴν πόλιν ἀνδρῶν
ἐκυκλώσατο. πᾶσαν γοῦν ἀνθρωπίνην καὶ δαιμονίαν φθορὰν 429

34. μή: μήτε L 35. διδομένην: δεδομένην LC 38. ἀπολομένων: ἀπολλυμένων L 48. πάσχα: ἡ πάσχα L 50. θυσίαν: θυσία MVRA²C² 51. δαίνυσθαι: δαίννυσθαι C δύνασθαι L 53. μυριάδας: μυριάδες A | ἠρίθμησαν: ἠριθμήθησαν AL | πεντακισχίλια ἑξακόσια: ἑξακισχίλια καὶ πεντακόσια L Lat 57. ἐξὸν ἦν: ἐξῆν LVRC 60. τούτων: τοῦτο AMVRC

la spietatezza delle guardie, altri perché, pur avendolo avuto, non lo toccarono[8]; inoltre la moltitudine era tanta, che v'era anche scarsezza di grano.

9, 3. Il numero complessivo dei prigionieri catturati nel 420 corso dell'intera guerra fu di novantasettemila, quello dei morti dal principio alla fine dell'assedio fu di un milione e centomila[9]. La maggior parte di costoro furono giudei, ma 421 non di Gerusalemme; erano infatti convenuti da ogni parte del paese per la festa degli Azimi[10], quando improvvisamente scoppiò la guerra in cui si trovarono invescati, e il superaffollamento causò dapprima l'insorgere fra loro di una pestilenza e poi l'ancor piú travolgente flagello della fame. Che la 422 città potesse contenere un sí gran numero di persone risulta dai computi effettuati sotto Cestio, il quale, volendo dimostrare l'importanza della città a Nerone, che non teneva in nessun conto i giudei, chiese ai sacerdoti di trovare un sistema per calcolare la popolazione. Ed essi, sopravvenuta la festa 423 che si chiama Pasqua, nella quale si offrono sacrifici dall'ora nona fino all'undicesima, e attorno a ogni sacrificio si raccoglie un gruppo di confratelli in numero non inferiore a dieci – perché non è lecito sedere da solo alla mensa rituale – e sovente essi raggiungono la ventina, contarono duecentocin- 424 quantacinquemila seicento sacrifici. Se consideriamo dieci com- 425 mensali per ogni sacrificio arriviamo a un totale di due milioni settecentomila persone[11], che dovevano essere tutte in stato di purità rituale; era infatti vietato di partecipare a tali sacri- 426 fici sia ai lebbrosi, sia ai gonorroici, sia alle donne in periodo mestruale, sia a chi fosse altrimenti contaminato, e cosí pure 427 agli stranieri che assistevano al rito,

9, 4. dei quali arriva da fuori una gran moltitudine. In 428 quel tempo, dunque, l'intera nazione[12] era stata come chiusa in prigione dal destino, e la guerra ghermí la città rigurgitante di abitanti. Fu cosí che il numero delle vittime risultò superiore 429

ὑπερβάλλει τὸ πλῆθος τῶν ἀπολωλότων· ἐπεὶ γοῦν τῶν
65 φανερῶν οὓς μὲν ἀνεῖλον οὓς δ' ᾐχμαλωτίσαντο Ῥωμαῖοι,
τοὺς δ' ἐν τοῖς ὑπονόμοις ἀνηρεύνων καὶ τοὔδαφος ἀναρ-
ρηγνύντες ὅσοις μὲν ἐνετύγχανον ἔκτεινον, εὑρέθησαν δὲ κἀκεῖ 430
νεκροὶ πλείους δισχιλίων, οἱ μὲν ὑπὸ σφῶν αὐτῶν οἱ δ'
ὑπ' ἀλλήλων, τὸ πλέον δ' ὑπὸ τοῦ λιμοῦ διεφθαρμένοι.
70 δεινὴ δ' ὑπήντα τοῖς ἐπεισπίπτουσιν ὀδμὴ τῶν σωμάτων, 431
ὡς πολλοὺς μὲν ἀναχωρεῖν εὐθέως, τοὺς δ' ὑπὸ πλεονεξίας
εἰσδύεσθαι νεκροὺς σεσωρευμένους ἐμπατοῦντας· πολλὰ γὰρ 432
τῶν κειμηλίων ἐν ταῖς διώρυξιν εὑρίσκετο, καὶ πᾶσαν θεμιτὴν
ὁδὸν ἐποίει τὸ κέρδος· ἀνήγοντο δὲ καὶ δεσμῶται πολλοὶ
75 τῶν τυράννων, οὐδὲ γὰρ ἐν ἐσχάτοις ἐπαύσαντο τῆς ὠμό-
τητος. ἀπετίσατό γε μὴν ὁ θεὸς ἀμφοτέρους ἀξίως, καὶ 433
Ἰωάννης μὲν λιμώττων μετὰ τῶν ἀδελφῶν ἐν τοῖς ὑπο-
νόμοις ἣν πολλάκις ὑπερηφάνησε παρὰ Ῥωμαίων δεξιὰν
λαβεῖν ἱκέτευσε, Σίμων δὲ πολλὰ διαμαχήσας πρὸς τὴν
80 ἀνάγκην, ὡς διὰ τῶν ἑξῆς δηλώσομεν, αὑτὸν παραδίδωσιν.
ἐφυλάχθη δ' ὁ μὲν τῷ θριάμβῳ σφάγιον, ὁ δ' Ἰωάννης 434
δεσμοῖς αἰωνίοις. Ῥωμαῖοι δὲ τάς τ' ἐσχατιὰς τοῦ ἄστεος
ἐνέπρησαν καὶ τὰ τείχη κατέσκαψαν.

10, 1. ἑάλω μὲν οὕτως Ἱεροσόλυμα ἔτει δευτέρῳ τῆς 435
Οὐεσπασιανοῦ ἡγεμονίας Γορπιαίου μηνὸς ὀγδόῃ, ἁλοῦσα
δὲ καὶ πρότερον πεντάκις τοῦτο δεύτερον ἠρημώθη. Ἀσω- 436
χαῖος μὲν γὰρ ὁ τῶν Αἰγυπτίων βασιλεὺς καὶ μετ' αὐτὸν
5 Ἀντίοχος ἔπειτα Πομπήιος καὶ ἐπὶ τούτοις σὺν Ἡρώδῃ
Σόσσιος ἑλόντες ἐτήρησαν τὴν πόλιν. πρὸ δὲ τούτων ὁ 437
τῶν Βαβυλωνίων βασιλεὺς κρατήσας ἠρήμωσεν αὐτὴν μετὰ
ἔτη τῆς κτίσεως χίλια τετρακόσια ἑξηκονταοκτὼ μῆνας

66. τοὺς δ': τοὺς ML οὓς δ' (δὲ VR) AVRC 78. ἣν: ἣν ALVR ἣν καὶ C | ὑπερηφάνησε: ὑπερηφανίσας A ὑπερηφανήσας VRC ὑπερηφανης L | δεξιὰν: δεξιάς A
10, 4. μὲν γὰρ: γὰρ AMVR 8. μῆνας: καὶ μῆνας L

a quello di qualsiasi sterminio compiuto da mano umana o divina; inoltre i romani, dopo aver ucciso o catturati tutti quelli in cui s'erano imbattuti nella città, si misero a dar la caccia a quelli che s'erano nascosti nelle gallerie sotterranee praticando delle aperture nel suolo e uccidendo quanti ne trovavano, e anche laggiú furono scoperti piú di duemila 430 morti, dei quali alcuni si erano suicidati, altri s'erano tolti vicendevolmente la vita, ma i piú erano finiti per la fame. Chi 431 si calava giú era investito da un orribile lezzo di cadavere, e molti si affrettavano a risalire mentre altri, spinti dalla cupidigia, s'inoltravano calpestando i corpi ammonticchiati; in 432 realtà non furono pochi gli oggetti di valore scoperti in quelle gallerie e il guadagno giustificava ogni mezzo. Vennero tirati su anche numerosi prigionieri dei capiribelli, che nemmeno ridotti agli estremi avevano deposto la loro ferocia. A tutti e due il dio inflisse il giusto castigo; Giovanni, distrutto dalla 433 fame nei sotterranei insieme con i fratelli, supplicò i romani di concedergli la grazia che tante volte aveva sprezzantemente rifiutata, mentre Simone si arrese dopo una lunga lotta contro il bisogno, come vedremo in seguito[13]. Questi fu riservato al- 434 l'esecuzione capitale in occasione del trionfo[14], mentre Giovanni fu condannato al carcere a vita. I romani, infine, incendiarono le estreme propaggini della città e spianarono le mura.

10, 1. In tal modo, dunque, Gerusalemme venne espugnata 435 nel secondo anno del regno di Vespasiano, il giorno otto del mese di Gorpieo[1]; in precedenza già cinque volte era stata presa, e questa fu la seconda volta che veniva distrutta. A 436 conquistare la città, ma senza distruggerla, furono Asocheo, re degli egiziani[2], e dopo di lui Antioco[3], quindi Pompeo[4] e infine Sosio, unito con Erode[5]. Prima di loro fu il re dei 437 babilonesi che prese e distrusse la città millequattrocentosessantotto anni e sei mesi dopo la sua fondazione[6]. Il primo 438

ἕξ. ὁ δὲ πρῶτος κτίσας ἦν Χαναναίων δυνάστης ὁ τῇ πατρίῳ 438
10 γλώσσῃ κληθεὶς βασιλεὺς δίκαιος· ἦν γὰρ δὴ τοιοῦτος. διὰ τοῦτο ἱεράσατό τε τῷ θεῷ πρῶτος καὶ τὸ ἱερὸν πρῶτος δειμάμενος Ἱεροσόλυμα τὴν πόλιν προσηγόρευσεν Σόλυμα καλουμένην πρότερον. τὸν μὲν δὴ τῶν Χαναναίων 439 λαὸν ἐκβαλὼν ὁ τῶν Ἰουδαίων βασιλεὺς Δαυίδης κατοικίζει
15 τὸν ἴδιον, καὶ μετὰ τοῦτον ἔτεσι τετρακοσίοις ἑβδομήκοντα καὶ ἑπτὰ μησὶν ἓξ ὑπὸ Βαβυλωνίων κατασκάπτεται. ἀπὸ 440 δὲ Δαυίδου τοῦ βασιλέως, ὃς πρῶτος αὐτῆς ἐβασίλευσεν Ἰουδαῖος, μέχρι τῆς ὑπὸ Τίτου γενομένης κατασκαφῆς ἔτη χίλια καὶ ἑκατὸν ἑβδομηκονταεννέα. ἀπὸ δὲ τῆς πρώτης 441
20 κτίσεως ἔτη μέχρι τῆς ἐσχάτης ἁλώσεως δισχίλια ἑκατὸν ἑβδομήκοντα καὶ ἑπτά. ἀλλὰ γὰρ οὔθ' ἡ ἀρχαιότης οὔθ' 442 ὁ πλοῦτος ὁ βαθὺς οὔτε τὸ διαπεφοιτηκὸς ὅλης τῆς οἰκουμένης ἔθνος οὔθ' ἡ μεγάλη δόξα τῆς θρησκείας ἤρκεσέ τι πρὸς ἀπώλειαν αὐτῇ. τοιοῦτο μὲν δὴ τὸ τέλος τῆς Ἱερο-
25 σολύμων πολιορκίας.

11. πρῶτος[2]: om. VRC   16. ἓξ: ἐξοῦ A   24. τοιοῦτο: τοιοῦτον MVRC

fondatore fu un capo dei Cananei, il cui nome nella sua lingua suonava « re giusto », e tale egli era[7]. Per questo fu il primo a far da sacerdote al dio e, avendo per primo costruito il tempio, cambiò in « Ierosolima » il nome della città che prima si chiamava « Solima ». Avendone scacciato il popolo dei Ca- 439 nanei, David, re dei giudei, v'insediò il suo, ma quattrocento-settantasette anni e sei mesi dopo di lui la città fu distrutta dai babilonesi[8]. Dal re David, che fu il primo dei giudei a regnare 440 su di essa, fino alla distruzione avvenuta sotto Tito sono millecentosettantanove anni. Dalla prima fondazione fino al- 441 l'ultima conquista sono duemilacentosettantasette anni[9]. Ma né 442 la vetustà, né la magnifica opulenza, né il suo popolo sparso in tutto il mondo, né la gran fama della sua religiosità poterono salvarla dalla rovina. Tale fu la fine dell'assedio di Gerusalemme.

www.scribd.com/Cultura_in_Ita5

1, 1. Ἐπεὶ δ' οὔτε φονεύειν οὔτε διαρπάζειν εἶχεν ἡ στρατιὰ πάντων τοῖς θυμοῖς ἐπιλειπόντων, οὐ γὰρ δή γε φειδοῖ τινος ἔμελλον ἀφέξεσθαι δρᾶν ἔχοντες, κελεύει Καῖσαρ ἤδη τήν τε πόλιν ἅπασαν καὶ τὸν νεὼν κατασκάπτειν, πύργους μὲν ὅσοι τῶν ἄλλων ὑπερανειστήκεσαν καταλιπόντας, Φασάηλον Ἱππικὸν Μαριάμμην, τεῖχος δ' ὅσον ἦν ἐξ ἑσπέρας τὴν πόλιν περιέχον, τοῦτο μέν, ὅπως εἴη τοῖς ὑπολειφθησομένοις φρουροῖς στρατόπεδον, τοὺς πύργους δέ, ἵνα τοῖς ἔπειτα σημαίνωσιν οἵας πόλεως καὶ τίνα τρόπον ὀχυρᾶς ὅμως ἐκράτησεν ἡ Ῥωμαίων ἀνδραγαθία. τὸν δ' ἄλλον ἅπαντα τῆς πόλεως περίβολον οὕτως ἐξωμάλισαν οἱ κατασκάπτοντες, ὡς μηδεπώποτ' οἰκηθῆναι πίστιν ἂν ἔτι παρασχεῖν τοῖς προσελθοῦσι. τοῦτο μὲν οὖν τὸ τέλος ἐκ τῆς τῶν νεωτερισάντων ἀνοίας Ἱεροσολύμοις ἐγένετο, λαμπρᾷ τε πόλει καὶ παρὰ πᾶσιν ἀνθρώποις διαβοηθείσῃ.

1, 2. Καῖσαρ δὲ φυλακὴν μὲν αὐτόθι καταλιπεῖν ἔγνω τῶν ταγμάτων τὸ δέκατον καί τινας ἴλας ἱππέων καὶ λόχους πεζῶν, πάντα δ' ἤδη τὰ τοῦ πολέμου διῳκηκὼς ἐπαι-

Titulus: λογος ζ φλαυΐου ιωσηπου περι αλώσεως ιουδαϊκῆς ἱστορίας A ἰωσήπου περὶ ἁλώσεως ἰουδαϊκῆς ἱστορίας λόγος ζ M τοῦ αὐτοῦ περὶ ἁλώσεως λόγος ζ' L φλαουΐου (om. VR) ἰωσήπου περὶ ἁλώσεως λόγος ζ VRC
1, 2. ἐπιλειπόντων: ἐπιλιπόντων MVRC 4. ἤδη: om. A 6. τεῖχος: τείχους L Lat 10. ὅμως Destinon et Niese οὕτως AMVRC om. L 13. προσελθοῦσι: προελθοῦσιν RC 14. τὸ: om. LVRC

1, 1. Quando l'esercito non ebbe piú da uccidere e da saccheggiare, non essendoci nient'altro su cui sfogare il furore – e certamente nulla avrebbero risparmiato finché restava qualcosa da fare – Cesare diede l'ordine di radere al suolo l'intera città e il tempio lasciando solo le torri che superavano le altre in altezza, Fasael, Ippico e Mariamme, e il settore delle mura che cingeva la città a occidente: questo per proteggere l'accampamento dei soldati che vi sarebbero rimasti di guarnigione, le torri per far comprendere ai posteri com'era grande e fortificata la città che non aveva potuto resistere al valore dei soldati romani. Tutto il resto della cinta muraria fu abbattuto e distrutto in maniera cosí radicale, che chiunque fosse arrivato in quel luogo non avrebbe mai creduto che vi sorgeva una città. Tale dunque, per colpa dei pazzi rivoluzionari, fu la fine di Gerusalemme, una città ammirata e famosa in tutto il mondo.

1, 2. Cesare decise di lasciarvi come presidio la legione decima con l'appoggio di un certo numero di ali di cavalleria e di coorti di fanteria[1], e avendo ormai concluso le operazioni

www.scribd.com/Cultura_in_Ita5

20 νέσαι τε σύμπασαν ἐπόθει τὴν στρατιὰν ἐπὶ τοῖς κατορθώμασιν καὶ τὰ προσήκοντα γέρα τοῖς ἀριστεύσασιν ἀποδοῦναι. ποιηθέντος οὖν αὐτῷ μεγάλου κατὰ μέσην τὴν 6 πρότερον παρεμβολὴν βήματος, καταστὰς ἐπὶ τοῦτο μετὰ τῶν ἡγεμόνων εἰς ἐπήκοον ἁπάσῃ τῇ στρατιᾷ, χάριν μὲν 25 ἔφη πολλὴν ἔχειν αὐτοῖς τῆς πρὸς αὐτὸν εὐνοίας, ᾗ χρώμενοι διατελοῦσιν· ἐπῄνει δὲ τῆς ἐν παντὶ τῷ πολέμῳ πειθαρχίας, 7 ἣν ἐν πολλοῖς καὶ μεγάλοις κινδύνοις ἅμα τῇ κατὰ σφᾶς ἀνδρείᾳ παρέσχον, τῇ μὲν πατρίδι καὶ δι' αὐτῶν τὸ κράτος αὔξοντες, φανερὸν δὲ πᾶσιν ἀνθρώποις καθιστάντες, ὅτι 30 μήτε πλῆθος πολεμίων μήτε χωρίων ὀχυρότητες ἢ μεγέθη πόλεων ἢ τῶν ἀντιτεταγμένων ἀλόγιστοι τόλμαι καὶ θηριώδεις ἀγριότητες δύναιντ' ἄν ποτε τὴν 'Ρωμαίων ἀρετὴν διαφυγεῖν, κἂν εἰς πολλά τινες τὴν τύχην εὕρωνται συναγωνιζομένην. καλὸν μὲν οὖν ἔφη καὶ τῷ πολέμῳ τέλος αὐτοὺς 8 35 ἐπιθεῖναι πολλῷ χρόνῳ γενομένῳ· μηδὲ γὰρ εὔξασθαί τι τούτων ἄμεινον, ὅτ' εἰς αὐτὸν καθίσταντο· τούτου δὲ κάλλιον 9 αὐτοῖς καὶ λαμπρότερον ὑπάρχειν, ὅτι τοὺς ἡγησομένους καὶ τῆς 'Ρωμαίων ἀρχῆς ἐπιτροπεύσοντας αὐτῶν χειροτονησάντων εἴς τε τὴν πατρίδα προπεμψάντων ἄσμενοι πάντες 40 προσίενται καὶ τοῖς ὑπ' αὐτῶν ἐγνωσμένοις ἐμμένουσι χάριν ἔχοντες τοῖς ἑλομένοις. θαυμάζειν μὲν οὖν ἔφη πάντας καὶ 10 ἀγαπᾶν, εἰδὼς ὅτι τοῦ δυνατοῦ τὴν προθυμίαν οὐδεὶς ἔσχε βραδυτέραν· τοῖς μέντοι διαπρεπέστερον ἀγωνισαμένοις ὑπὸ 11 ῥώμης πλείονος καὶ τὸν μὲν αὐτῶν βίον ἀριστείαις κεκο- 45 σμηκόσι, τὴν δ' αὐτοῦ στρατείαν ἐπιφανεστέραν διὰ τῶν κατορθωμάτων πεποιηκόσιν ἔφη τὰ γέρα καὶ τὰς τιμὰς εὐθὺς ἀποδώσειν, καὶ μηδένα τῶν πλέον πονεῖν ἑτέρου

20-1. κατορθώμασιν: κατορθωμένοις LR[1]C κατωρθαμένοις VR[2] 24. ἡγεμόνων: ἡγεμονικωτάτων L Lat 26. τῷ ins. Herwerden 27. κατὰ σφᾶς: κατὰ τὰς μάχας L 31. τόλμαι L ὁρμαὶ AMVRC 33. διαφυγεῖν: διαφεύγειν A 38. ἐπιτροπεύσοντας: ἐπιτροπεύσαντας AVR 40. προσίενται: προΐενται MR 44. αὐτῶν: αὑτῶν ALVR ἑαυτῶν C 45. στρατείαν: στρατιὰν MLVRC 47. πονεῖν: ποιεῖν C

di guerra desiderava elogiare l'esercito nell'insieme per il valoroso comportamento e consegnare le dovute ricompense a chi si era particolarmente distinto. Fattasi innalzare una 6 grande tribuna in mezzo al precedente accampamento[2], egli vi montò col seguito dei generali, sí che tutto l'esercito potesse udirlo, e anzitutto gli rese molte grazie per il fedele attaccamento dimostrato in ogni occasione. Lo elogiò, poi, per la 7 disciplina[3] di cui assieme al valore aveva dato prova in molti e gravi pericoli durante tutta la guerra, contribuendo ad accrescere la potenza della patria e rendendo manifesto a tutto il mondo che né schiere innumerevoli di nemici, né sistemi di fortificazione o grandezza di città o dissennata audacia o selvaggia ferocia degli avversari potevano resistere al valore dei romani, anche se spesso a taluni era toccato il favore della fortuna. Era per loro ragione di gloria, aggiunse, l'aver con- 8 dotto a termine una guerra durata cosí a lungo, perché quando l'avevano incominciata non potevano augurarsi di concluderla meglio; ma un motivo di maggior gloria e di vanto 9 rappresentava per loro il fatto che tutti avevano accolto con soddisfazione quelli che essi avevano eletti[4] e inviati in patria per governare e reggere l'impero romano, e che tutti s'inchinavano ai loro decreti pieni di gratitudine verso chi li aveva proclamati imperatori. Perciò, proseguí Tito, egli provava 10 per tutti ammirazione e affetto[5], ben sapendo che ognuno si era impegnato al massimo delle sue possibilità; a chi però si 11 era battuto distinguendosi per maggior capacità e non solo aveva dato lustro coi suoi atti di valore alla propria vita, ma con le sue imprese aveva anche resa piú famosa la sua campagna, disse di voler consegnar subito le ricompense e le insegne onorifiche; nessuno di coloro che avevano volonta-

θελησάντων τῆς δικαίας ἀμοιβῆς ἁμαρτήσεσθαι. πλείστην γὰρ αὐτῷ τούτου γενήσεσθαι τὴν ἐπιμέλειαν, ἐπεὶ καὶ μᾶλλον ἐθέλειν τὰς ἀρετὰς τιμᾶν τῶν συστρατευομένων ἢ κολάζειν τοὺς ἁμαρτάνοντας.

1, 3. εὐθέως οὖν ἐκέλευσεν ἀναγινώσκειν τοῖς ἐπὶ τοῦτο τεταγμένοις ὅσοι τι λαμπρὸν ἦσαν ἐν τῷ πολέμῳ κατωρθωκότες. καὶ κατ' ὄνομα καλῶν ἐπῄνει τε παριόντας ὡς ἂν ὑπερευφραινόμενός τις ἐπ' οἰκείοις κατορθώμασι καὶ στεφάνους ἐπετίθει χρυσοῦς, περιαυχένιά τε χρυσᾶ καὶ δόρατα μικρὰ χρυσᾶ καὶ σημαίας ἐδίδου πεποιημένας ἐξ ἀργύρου, καὶ τὴν ἑκάστου τάξιν ἤλλαττεν εἰς τὸ κρεῖττον, οὐ μὴν ἀλλὰ κἀκ τῶν λαφύρων ἄργυρον καὶ χρυσὸν ἐσθῆτάς τε καὶ τῆς ἄλλης αὐτοῖς λείας δαψιλῶς ἀπένειμε. πάντων δὲ τετιμημένων ὅπως ἂν αὐτὸς ἕκαστον ἠξίωσε, τῇ συμπάσῃ στρατιᾷ ποιησάμενος εὐχὰς ἐπὶ πολλῇ κατέβαινεν εὐφημίᾳ τρέπεταί τε πρὸς θυσίας ἐπινικίους, καὶ πολλοῦ βοῶν πλήθους τοῖς βωμοῖς παρεστηκότος καταθύσας ἅπαντας τῇ στρατιᾷ διαδίδωσιν εἰς εὐωχίαν. αὐτὸς δὲ τοῖς ἐν τέλει τρεῖς ἡμέρας συνεορτάσας τὴν μὲν ἄλλην στρατιὰν διαφίησιν ᾗ καλῶς εἶχεν ἑκάστους ἀπιέναι, τῷ δεκάτῳ δὲ τάγματι τὴν τῶν Ἱεροσολύμων ἐπέτρεψε φυλακὴν οὐκέτ' αὐτοὺς ἐπὶ τὸν Εὐφράτην ἀποστείλας, ἔνθα πρότερον ἦσαν. μεμνημένος δὲ τοῦ δωδεκάτου τάγματος, ὅτι Κεστίου στρατηγοῦντος ἐνέδωκαν τοῖς Ἰουδαίοις, τῆς μὲν Συρίας αὐτὸ παντάπασιν ἐξήλασεν, ἦν γὰρ τὸ παλαιὸν ἐν Ῥαφαναίαις, εἰς δὲ τὴν Μελιτηνὴν καλουμένην ἀπέστειλε· παρὰ τὸν Εὐφράτην ἐν μεθορίοις τῆς Ἀρμενίας ἐστὶ καὶ Καππαδοκίας. δύο δ' ἠξίωσεν αὐτῷ μέχρι τῆς εἰς Αἴγυπτον ἀφίξεως, τὸ πέμπτον καὶ τὸ πεντεκαιδέκατον, παραμένειν. καὶ

48. ἁμαρτήσεσθαι: ἁμαρτήσασθαι C 50. συστρατευομένων ALVRM[2] στρατενομένων M[1]C 52. τοῦτο: τούτω MVRCL[2] 53. τῷ: om. AMVRC 57. μικρὰ: μακρὰ MLVRC 64. ἅπαντας: πάντας MLVRC 69. ἐπὶ: ὑπὸ VRC 72. Ῥαφαναίαις: ῥαφανεαῖς A 73. Μελιτηνὴν: μελιτινην C μελίτην AMLVR

riamente affrontato fatiche superiori agli altri sarebbero rimasti privi del giusto riconoscimento. Era proprio questo ciò che gli stava a cuore piú di ogni altra cosa, anche perché egli si sentiva portato piú ad onorare il valore dei suoi soldati che a punirne le manchevolezze.

1, 3. Pertanto, diede subito ordine a chi ne aveva l'incarico di leggere i nomi di tutti quelli che nel corso della guerra avevano compiuto qualche atto di valore. Come questi venivano avanti, egli, chiamandoli a nome, li elogiava congratulandosi vivamente delle loro imprese come si trattasse di sue proprie, e li incoronava di corone d'oro e dava loro collane d'oro e piccole lance d'oro e vessilli fatti d'argento[6]; a ognuno concesse poi la promozione al grado superiore[7] e inoltre dal bottino distribuí loro in grande abbondanza argento, oro, vesti e altri oggetti. Quando tutti furono ricompensati nella misura che egli ritenne giusta, e dopo aver fatto voti per tutto l'esercito, Tito scese tra grandi acclamazioni recandosi a celebrare i sacrifici per la vittoria[8]; presso gli altari era un gran numero di buoi ed egli, dopo averli tutti sacrificati, li distribuí all'esercito perché banchettasse. Insieme con i suoi generali egli passò tre giorni a far festa; poi spedí il resto dell'esercito nelle località stabilite tranne la legione decima, che lasciò a presidiare Gerusalemme, senza inviarla a rioccupare le precedenti sedi sull'Eufrate[9]. La legione dodicesima, considerando che quand'era agli ordini di Cestio era stata battuta dai giudei[10], egli addirittura la rimosse dalla Siria e, mentre prima era accampata a Rafanee, la spedí nella regione chiamata Melitene sita presso l'Eufrate, al confine tra l'Armenia e la Cappadocia. Le altre due legioni, la quinta e la quindicesima, decise di tenerle al suo seguito finché non arrivava in Egitto[11]. Quindi alla testa del suo esercito si trasferí

www.scribd.com/Cultura_in_Ita5

καταβὰς ἅμα τῷ στρατῷ πρὸς τὴν ἐπὶ τῇ θαλάττῃ Καισάρειαν εἰς ταύτην τό τε πλῆθος τῶν λαφύρων ἀπέθετο καὶ τοὺς αἰχμαλώτους προσέταξεν ἐν αὐτῇ φυλάττεσθαι· τὸν γὰρ εἰς τὴν Ἰταλίαν πλοῦν ὁ χειμὼν ἐκώλυε.

2, 1. καθ' ὃ δὲ καιροῦ Τίτος Καῖσαρ τοῖς Ἱεροσολύμοις πολιορκῶν προσήδρευεν, ἐν τούτῳ νεὼς φορτίδος Οὐεσπασιανὸς ἐπιβὰς ἀπὸ τῆς Ἀλεξανδρείας εἰς Ῥόδον διέβαινεν. ἐντεῦθεν δὲ πλέων ἐπὶ τριήρων καὶ πάσας τὰς ἐν τῷ παράπλῳ πόλεις ἐπελθών, εὐκταίως αὐτὸν δεχομένας, ἀπὸ τῆς Ἰωνίας εἰς τὴν Ἑλλάδα περαιοῦται, κἀκεῖθεν ἀπὸ Κερκύρας ἐπ' ἄκραν Ἰαπυγίαν, ὅθεν ἤδη κατὰ γῆν ἐποιεῖτο τὴν πορείαν. Τίτος δ' ἀπὸ τῆς ἐπὶ θαλάττῃ Καισαρείας ἀναζεύξας εἰς τὴν Φιλίππου καλουμένην Καισάρειαν ἧκε συχνόν τ' ἐν αὐτῇ χρόνον ἐπέμεινεν παντοίας θεωρίας ἐπιτελῶν· καὶ πολλοὶ τῶν αἰχμαλώτων ἐνταῦθα διεφθάρησαν, οἱ μὲν θηρίοις παραβληθέντες, οἱ δὲ κατὰ πληθὺν ἀλλήλοις ἀναγκαζόμενοι χρήσασθαι πολεμίοις. ἐνταῦθα καὶ τὴν Σίμωνος τοῦ Γιώρα σύλληψιν ἐπύθετο τοῦτον γενομένην τὸν τρόπον.

2, 2. Σίμων οὗτος Ἱεροσολύμων πολιορκουμένων ἐπὶ τῆς ἄνω πόλεως ὤν, ἐπεὶ τῶν τειχῶν ἐντὸς ἡ Ῥωμαίων στρατιὰ γενομένη πᾶσαν ἐπόρθει τὴν πόλιν, τότε τῶν φίλων τοὺς πιστοτάτους παραλαβὼν καὶ σὺν αὐτοῖς λιθοτόμους τε καὶ τὸν πρὸς τὴν ἐργασίαν ἐπιτήδειον τούτοις σίδηρον τροφήν τε διαρκεῖν εἰς πολλὰς ἡμέρας δυναμένην, σὺν ἐκείνοις ἅπασι καθίησιν αὑτὸν εἴς τινα τῶν ἀφανῶν ὑπονόμων. καὶ μέχρι μὲν ἦν τὸ παλαιὸν ὄρυγμα, προυχώρουν δι' αὐτοῦ, τῆς στερεᾶς δὲ γῆς ὑπαντώσης ταύτην ὑπενόμευον, ἐλπίδι τοῦ πορρωτέρω δυνήσεσθαι προελθόντες

80. ἐκώλυε: ἐκώλυσεν L
2, 1. καθ'ὃ δὲ καιροῦ: καθ'ὃν δὲ καιρὸν L 4. διέβαινεν: διέβαλεν L 10. ἧκε: ἥκει VRC | ἐπέμεινεν: ἐπέμενε C 14-5. γενομένην: γινομένην L 21. δυναμένην: ἔτι δυναμένην L

a Cesarea sul mare, dove ripose la massa del bottino e fece tenere in custodia i prigionieri; infatti, l'inverno impediva di prendere il mare verso l'Italia.

2, 1. Mentre Tito Cesare stringeva d'assedio Gerusalemme, Vespasiano si era imbarcato ad Alessandria su una nave da carico[1] ed era arrivato a Rodi; di qui continuò il viaggio su triremi ricevendo festose accoglienze in tutte le città lungo il percorso in cui si fermava; poi dalla Ionia passò in Grecia, quindi da Corcira al promontorio Iapigio, donde proseguí per via di terra[2]. Tito per suo conto, partito da Cesarea sul mare, si trasferí a Cesarea detta di Filippo e vi si trattenne a lungo offrendo ogni sorta di spettacoli. Trovarono colà la morte molti dei prigionieri, alcuni gettati alle belve, altri costretti a battersi fra loro in fitte schiere[3]. Ivi poi Tito fu raggiunto dalla notizia della cattura di Simone figlio di Ghiora, avvenuta nel modo seguente.

2, 2. Durante l'assedio di Gerusalemme questo Simone aveva occupato la città alta; quando poi l'esercito romano, penetrato entro le mura, prese a saccheggiare tutta la città, allora egli raccolse, assieme agli amici piú fidati, un certo numero di scalpellini con i ferri necessari al loro lavoro e cibo sufficiente per molti giorni, e assieme a loro s'introdusse in una delle gallerie sotterranee segrete[4]. Dopo essersi spinti avanti nel tratto scavato anticamente, s'imbatterono nella pietra viva e allora cominciarono a scavarla nella speranza di poter procedere oltre, risalire in un luogo sicuro e mettersi

ἐν ἀσφαλεῖ ποιησάμενοι τὴν ἀνάδυσιν ἀποσώζεσθαι. ψευδῆ 28
δὲ τὴν ἐλπίδα διήλεγχεν ἡ πεῖρα τῶν ἔργων· ὀλίγον τε
γὰρ μόλις προὔβαινον οἱ μεταλλεύοντες, ἥ τε τροφὴ καίτοι
ταμιευομένοις ἔμελλεν ἐπιλείψειν. τότε δὴ τοίνυν, ὡς δι' 29
30 ἐκπλήξεως ἀπατῆσαι τοὺς Ῥωμαίους δυνησόμενος, λευκοὺς
ἐνδιδύσκει χιτωνίσκους καὶ πορφυρᾶν ἐμπερονησάμενος χλα-
νίδα κατ' αὐτὸν ἐκεῖνον τὸν τόπον, ἐν ᾧ τὸ ἱερὸν ἦν πρόσθεν,
ἐκ τῆς γῆς ἀνεφάνη. τὸ μὲν οὖν πρῶτον τοῖς ἰδοῦσι θάμβος 30
προσέπεσε καὶ κατὰ χώραν ἔμενον, ἔπειτα δ' ἐγγυτέρω προσ-
35 ελθόντες ὅστις ἐστὶν ἤροντο. καὶ τοῦτο μὲν οὐκ ἐδήλου 31
Σίμων αὐτοῖς, καλεῖν δὲ τὸν ἡγεμόνα προσέταττεν. καὶ
ταχέως πρὸς αὐτὸν δραμόντων ἧκεν Τερέντιος Ῥοῦφος·
οὗτος γὰρ ἄρχων τῆς στρατιᾶς κατελέλειπτο· πυθόμενός
τε παρ' αὐτοῦ πᾶσαν τὴν ἀλήθειαν τὸν μὲν ἐφύλαττε δε-
40 δεμένον, Καίσαρι δ' ὅπως εἴη συνειλημμένος ἐδήλου. Σί- 32
μωνα μὲν οὖν εἰς δίκην τῆς κατὰ τῶν πολιτῶν ὠμότητος,
ὧν πικρῶς αὐτὸς ἐτυράννησεν, ὑπὸ τοῖς μάλιστα μισοῦσι
πολεμίοις ἐποίησεν ὁ θεός, οὐ βίᾳ γενόμενον αὐτοῖς ὑπο- 33
χείριον, ἀλλ' αὐτὸν ἑκουσίως εἰς τὴν τιμωρίαν παραβα-
45 λόντα, δι' ὃ πολλοὺς αὐτὸς ὠμῶς ἀπέκτεινε ψευδεῖς αἰτίας
ἐπιφέρων τῆς πρὸς Ῥωμαίους μεταβολῆς. οὐδὲ γὰρ δια- 34
φεύγει πονηρία θεοῦ χόλον, οὐδὲ ἀσθενὴς ἡ δίκη, χρόνῳ
δὲ μέτεισι τοὺς εἰς αὐτὴν παρανομήσαντας καὶ χείρω τὴν
τιμωρίαν ἐπιφέρει τοῖς πονηροῖς, ὅτε καὶ προσεδόκησαν
50 αὐτῆς ἀπηλλάχθαι μὴ παραυτίκα κολασθέντες. ἔγνω τοῦτο
καὶ Σίμων εἰς τὰς Ῥωμαίων ὀργὰς ἐμπεσών. ἡ δ' ἐκεί- 35
νου γῆθεν ἄνοδος πολὺ καὶ τῶν ἄλλων στασιαστῶν πλῆθος
ὑπ' ἐκείνας τὰς ἡμέρας ἐν τοῖς ὑπονόμοις φωραθῆναι πα-

26. ἀσφαλεῖ: ἀσφαλῆ AC ἀσφαλεία L 29. ἐπιλείψειν: ἀπολείψειν AMLVR 31-2. χλανίδα: χλαμύδα L *chlamide* Lat 33. ἰδοῦσι: εἰδῶσι A 40. Καίσαρι δ' ὅπως: καίσαρί τε ὅπως τε L καίσαρι δὲ ὅπως τε VR 44-5. παραβαλόντα: περιβαλόντα RC 45. δι' ὃ ed. pr. δι' ὧν AC δι' ὃν MLVR 45-6. αἰτίας ἐπιφέρων: ἀπεφερεν αἰτίας C 46. οὐδὲ: οὐ LVRC 47. οὐδὲ: οὐκ L | ἀσθενὴς ἡ: ἀσθενέσει VR 49. ὅτε καὶ Niese ex Lat *cum iam* ὅτι καὶ codd.

in salvo. Ma alla prova dei fatti la speranza si rivelò fallace: 28
i minatori a gran pena avevano fatto un piccolo progresso
mentre i viveri, pur distribuiti con parsimonia, stavano per
finire. Allora Simone, credendo di poter ingannare i romani 29
spaventandoli, si avvolse in tunichette bianche e, fermatovi
sopra con una spilla un mantello purpureo, venne fuori dalla
terra nel luogo dove prima sorgeva il tempio[5]. Sulle prime 30
chi lo vide fu preso dalla paura e rimase immobile, ma poi
gli si avvicinarono e gli chiesero chi fosse. Simone non glielo 31
rivelò, ma si fece chiamare il comandante; quelli andarono di
corsa e ben presto arrivò Terenzio Rufo, che era stato lasciato
a capo del presidio[6]. Questi, dopo aver sentito da Simone
tutta la verità, lo fece mettere in catene e inviò a Cesare la
notizia della sua cattura. Cosí il dio, per punirlo della sua 32
crudeltà contro i concittadini, che aveva tiranneggiato senza
compassione, lo diede in balia dei nemici che piú l'odiavano:
non era stato preso a forza, ma si era volontariamente conse- 33
gnato al castigo, compiendo un atto per cui molti erano stati
da lui crudelmente uccisi sotto la falsa accusa di voler passare
dalla parte dei romani. Non sfugge, infatti, il malvagio alla 34
collera del dio, né debole è la giustizia, ma col tempo essa
raggiunge chi l'ha offesa e infligge ai perversi un castigo che
arriva piú grave nel momento in cui essi credevano di averlo
evitato non essendo stati puniti immediatamente[7]. Ne fece
esperienza anche Simone, caduto in potere degli inesorabili
romani. Inoltre col suo spuntare dal sottosuolo fece sí che in 35
quei giorni un gran numero di altri ribelli fossero scoperti

ρεσκεύασε. Καίσαρι δ' εἰς τὴν παράλιον ἐπανήκοντι Καισά- 36
55 ρειαν Σίμων προσήχθη δεδεμένος· κἀκεῖνον μὲν εἰς ὃν
ἐπιτελεῖν ἐν Ῥώμῃ παρεσκευάζετο θρίαμβον προσέταξε φυ-
λάττειν.

3, 1. διατρίβων δ' αὐτόθι τὴν τἀδελφοῦ γενέθλιον ἡμέ- 37
ραν ἐπιφανῶς ἑώρταζε, πολὺ καὶ τῆς τῶν Ἰουδαίων κο-
λάσεως εἰς τὴν ἐκείνου τιμὴν ἀνατιθείς. ὁ γὰρ ἀριθμὸς 38
τῶν ἔν τε ταῖς πρὸς τὰ θηρία μάχαις ἔν τε ταῖς ἀλληλο-
5 κτονίαις ἀναιρουμένων καὶ τῶν καταπιμπραμένων πεντα-
κοσίους ἐπὶ τοῖς δισχιλίοις ὑπερέβαλε. πάντα μέντοι Ῥω-
μαίοις ἐδόκει ταῦτα μυρίοις αὐτῶν ἀπολλυμένων τρόποις
ἐλάττων κόλασις εἶναι. μετὰ τοῦτο Καῖσαρ εἰς Βηρυτὸν 39
ἧκεν· ἡ δ' ἐστὶν ἐν τῇ Φοινίκῃ πόλις Ῥωμαίων ἄποικος·
10 κἀνταῦθα χρονιωτέραν ἐποιήσατο τὴν ἐπιδημίαν πλείονι χρώ-
μενος τῇ λαμπρότητι περὶ τὴν τοῦ πατρὸς ἡμέραν γενέθλιον
ἔν τε ταῖς τῶν θεωριῶν πολυτελείαις καὶ κατὰ τὴν ἄλλην
ἐπίνοιαν τῶν ἄλλων ἀναλωμάτων. τὸ δὲ τῶν αἰχμαλώτων 40
πλῆθος τὸν αὐτὸν τρόπον ὡς πρόσθεν ἀπώλλυτο.

15 **3,** 2. γενέσθαι δὲ συνέβη περὶ τὸν καιρὸν τοῦτον καὶ 41
τοῖς ἐν Ἀντιοχείᾳ τῶν Ἰουδαίων ὑπολειπομένοις ἐγκλή-
ματα καὶ κίνδυνον ὀλέθρου, τῆς πόλεως ἐπ' αὐτοὺς τῶν
Ἀντιοχέων ἐκταραχθείσης διά τε τὰς ἐν τῷ παρόντι δια-
βολὰς αὐτοῖς ἐπενεχθείσας καὶ διὰ τὰ προϋπηργμένα χρόνῳ
20 πρόσθεν οὐ πολλῷ, περὶ ὧν ἀναγκαῖόν ἐστι διὰ συντόμων 42
προειπεῖν, ἵνα καὶ τῶν μετὰ ταῦτα πραχθέντων εὐπαρακο-
λούθητον ποιήσωμαι τὴν διήγησιν.

3, 3. τὸ γὰρ Ἰουδαίων γένος πολὺ μὲν κατὰ πᾶσαν 43
τὴν οἰκουμένην παρέσπαρται τοῖς ἐπιχωρίοις, πλεῖστον δὲ
25 τῇ Συρίᾳ κατὰ τὴν γειτνίασιν ἀναμεμιγμένον ἐξαιρέτως
ἐπὶ τῆς Ἀντιοχείας ἦν πολὺ διὰ τὸ τῆς πόλεως μέγεθος·

3, 4. ταῖς: τῆς MVRC | μάχαις: μάχης MVRC 6. ὑπερέβαλε: ὑπερέβαλλε AC
13. ἄλλων delendum recte censuit Niese 19. προϋπηργμένα: ὑπηργμένα PAMVR
24. τοῖς ἐπιχωρίοις: om. A ἐγχωρίοις M

nelle gallerie sotterranee[8]. Quando Cesare fu di ritorno a 36
Cesarea sul mare, gli venne portato in catene Simone, ed egli
diede ordine di riservarlo per il trionfo che si apprestava a
celebrare a Roma[9].

3, 1. Durante il soggiorno in tale città, egli festeggiò 37
splendidamente il compleanno di suo fratello[1], dando anche
corso in suo onore a gran parte della punizione dei giudei.
Infatti furono piú di duemila e cinquecento quelli che caddero 38
nei combattimenti contro le fiere o duellando gli uni contro
gli altri o perirono tra le fiamme. Ma ai romani, che li stermi-
navano in mille maniere, tutto ciò sembrava una punizione
troppo lieve. Cesare si trasferí poi a Berito, che è una città 39
della Fenicia colonia dei romani[2], e vi si trattenne piú a lungo
celebrando con maggiore sontuosità il compleanno del padre[3]
sia per la magnificenza degli spettacoli, sia per le altre forme
di liberalità escogitate. La gran massa dei prigionieri trovò 40
la stessa morte che ho detto prima.

3, 2. In quei tempi accadde che anche i superstiti giudei 41
di Antiochia vennero incolpati e corsero pericolo di essere
sterminati, essendosi la città degli Antiocheni rivoltata contro
di essi sia per le accuse mosse loro in quel momento, sia a
causa degli episodi verificatisi poco tempo prima. A questi 42
debbo accennare brevemente per far meglio intendere il rac-
conto degli avvenimenti successivi.

3, 3. La stirpe dei giudei è fittamente mescolata con gli in- 43
digeni di tutto il mondo, ma lo è massimamente nella Siria
per la vicinanza del paese, e soprattutto in Antiochia per la
grandezza di tale città[4]. Furono specialmente i re che succes-

μάλιστα δ' αὐτοῖς ἀδεᾶ τὴν ἐκεῖ κατοίκησιν οἱ μετ' Ἀν-
τίοχον βασιλεῖς παρέσχον. 44 Ἀντίοχος μὲν γὰρ ὁ κληθεὶς
Ἐπιφανὴς Ἱεροσόλυμα πορθήσας τὸν νεὼν ἐσύλησεν, οἱ δὲ
30 μετ' αὐτὸν τὴν βασιλείαν παραλαβόντες τῶν ἀναθημάτων
ὅσα χαλκᾶ πεποίητο πάντα τοῖς ἐπ' Ἀντιοχείας Ἰουδαίοις
ἀπέδοσαν εἰς τὴν συναγωγὴν αὐτῶν ἀναθέντες, καὶ συνε-
χώρησαν αὐτοῖς ἐξ ἴσου τῆς πόλεως τοῖς Ἕλλησι μετέχειν.
45 τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν μετὰ ταῦτα βασιλέων αὐτοῖς
35 προσφερομένων εἴς τε πλῆθος ἐπέδωκαν καὶ τῇ κατα-
σκευῇ καὶ τῇ πολυτελείᾳ τῶν ἀναθημάτων τὸ ἱερὸν ἐξελάμ-
πρυναν, ἀεί τε προσαγόμενοι ταῖς θρησκείαις πολὺ πλῆθος
Ἑλλήνων, κἀκείνους τρόπῳ τινὶ μοῖραν αὐτῶν πεποίηντο.
46 καθ' ὃν δὲ καιρὸν ὁ πόλεμος ἀνακεκήρυκτο, νεωστὶ δ' εἰς
40 τὴν Συρίαν Οὐεσπασιανὸς καταπεπλεύκει, τὸ δὲ κατὰ τῶν
Ἰουδαίων παρὰ πᾶσιν ἤκμαζε μῖσος, 47 τότε δή τις Ἀντίοχος
εἷς ἐξ αὐτῶν τὰ μάλιστα διὰ τὸν πατέρα τιμώμενος, ἦν γὰρ
ἄρχων τῶν ἐπ' Ἀντιοχείας Ἰουδαίων, τοῦ δήμου τῶν Ἀν-
τιοχέων ἐκκλησιάζοντος εἰς τὸ θέατρον παρελθὼν τόν τε
45 πατέρα τὸν αὐτοῦ καὶ τοὺς ἄλλους ἐνεδείκνυτο, κατηγορῶν
ὅτι νυκτὶ μιᾷ καταπρῆσαι τὴν πόλιν ἅπασαν διεγνώκεισαν,
καὶ παρεδίδου ξένους Ἰουδαίους τινὰς ὡς κεκοινωνηκότας
τῶν βεβουλευμένων. 48 ταῦτα δ' ἀκούων ὁ δῆμος τὴν ὀργὴν
οὐ κατεῖχεν, ἀλλ' ἐπὶ μὲν τοὺς παραδοθέντας πῦρ εὐθὺς
50 ἐκέλευον κομίζειν, καὶ παραχρῆμα πάντες ἐπὶ τοῦ θεά-
τρου κατεφλέγησαν, 49 ἐπὶ δὲ τὸ πλῆθος ὥρμητο τῶν Ἰουδαίων
ἐν τῷ τάχιον ἐκείνους τιμωρίᾳ περιβαλεῖν τὴν αὐτῶν πατρί-
δα σώζειν νομίζοντες. 50 Ἀντίοχος δὲ προσεπέτεινε τὴν ὀργήν,
περὶ μὲν τῆς αὐτοῦ μεταβολῆς καὶ τοῦ μεμισηκέναι τὰ τῶν
55 Ἰουδαίων ἔθη τεκμήριον ἐμπαρέχειν οἰόμενος τὸ ἐπιθύειν

29. νεὼν: ναὸν AL 31. πεποίητο: πεποίηντο C 32. ἀναθέντες: ἀναχθέν-τες L 35. τε πλῆθος: τε τὸ πλῆθος AVRC 38. αὐτῶν Bekker αὐτῶν codd. 39. ἀνακεκήρυκτο: ἀνεκεκήρυκτο LV ἀνεκήρυκτο C 45. αὐτοῦ: αὐτοῦ PALVRC 48. δ' (δὲ AVR): om. PM 51. ὥρμητο: ὥρμηντο AL 55. ἐμπαρέχειν: μὲν παρέχειν PA παρέχειν ML

sero ad Antioco[5] quelli che permisero a loro di risiedervi senza timore. 44 È pur vero che Antioco soprannominato Epifane saccheggiò Gerusalemme e spogliò il tempio[6], ma i suoi successori restituirono ai giudei di Antiochia tutti i doni votivi fatti di bronzo collocandoli nella loro sinagoga e concessero a loro di godere i diritti di cittadinanza in parità con i greci[7]. 45 Lo stesso trattamento essi ottennero da parte dei successivi sovrani, crebbero di numero e arricchirono il tempio[8] coi loro doni magnifici e sontuosi; essi inoltre attiravano continuamente ai loro riti religiosi un gran numero di greci, facendone in qualche modo una parte della loro comunità. 46 Al tempo, dunque, in cui era stata dichiarata la guerra e Vespasiano era da poco sbarcato in Siria[9], mentre dappertutto era salita al massimo la marea dell'odio contro i giudei, 47 un tale Antioco, uno di loro, che era tenuto in grandissima considerazione perché suo padre era magistrato[10] dei giudei d'Antiochia, si presentò nel teatro, ove si teneva un'assemblea del popolo antiocheno, e denunziò suo padre e gli altri giudei accusandoli di aver tramato di dare alle fiamme tutta la città in una sola notte, e consegnò alcuni giudei forestieri dichiarando che avevano preso parte al complotto. 48 All'udir tali cose, il popolo non seppe contenere il furore: decretò che gli individui consegnati morissero subito tra le fiamme e immediatamente quelli furono tutti bruciati nel teatro; 49 poi si scagliarono contro la massa dei giudei, convinti che per salvare la patria bisognava affrettarsi a punirli. 50 Antioco intanto attizzava il loro furore e, per dimostrare che s'era convertito e che aveva abiurato alla religione giudaica, pensò di celebrare sacrifici

ὥσπερ νόμος ἐστὶ τοῖς Ἕλλησιν· ἐκέλευε δὲ καὶ τοὺς ἄλ- 51
λους τὸ αὐτὸ ποιεῖν ἀναγκάζειν· φανεροὺς γὰρ γενήσεσθαι
τῷ μὴ θέλειν τοὺς ἐπιβεβουλευκότας. χρωμένων δὲ τῇ πείρᾳ
τῶν Ἀντιοχέων ὀλίγοι μὲν ὑπέμειναν, οἱ δὲ μὴ βουληθέν-
60 τες ἀνηρέθησαν. Ἀντίοχος δὲ στρατιώτας παρὰ τοῦ Ῥω- 52
μαίων ἡγεμόνος λαβὼν χαλεπὸς ἐφειστήκει τοῖς αὐτοῦ πο-
λίταις, ἀργεῖν τὴν ἑβδόμην οὐκ ἐπιτρέπων, ἀλλὰ βιαζόμενος
πάντα πράττειν ὅσα δὴ καὶ ταῖς ἄλλαις ἡμέραις. οὕτως 53
τε τὴν ἀνάγκην ἰσχυρὰν ἐποίησεν, ὡς μὴ μόνον ἐπ' Ἀν-
65 τιοχείας καταλυθῆναι τὴν ἑβδομάδα ἀργεῖν ἡμέραν, ἀλλ'
ἐκεῖθεν ἀρξαμένου τοῦ πράγματος κἀν ταῖς ἄλλαις πό-
λεσιν ὁμοίως βραχύν τινα χρόνον.

3, 4. τοιούτων δὴ τοῖς ἐπὶ τῆς Ἀντιοχείας Ἰουδαίοις 54
τῶν κατ' ἐκεῖνον τὸν καιρὸν κακῶν γεγενημένων δευτέρα
70 πάλιν συμφορὰ προσέπεσε, περὶ ἧς ἐπιχειρήσαντες ἀφη-
γεῖσθαι καὶ ταῦτα διεξήλθομεν. ἐπεὶ γὰρ συνέβη κατα- 55
πρησθῆναι τὴν τετράγωνον ἀγορὰν ἀρχεῖά τε καὶ γραμμα-
τοφυλάκιον καὶ τὰς βασιλικάς, μόλις τε τὸ πῦρ ἐκωλύθη
μετὰ πολλῆς βίας ἐπὶ πᾶσαν τὴν πόλιν περιφερόμενον, ταύ-
75 την Ἀντίοχος τὴν πρᾶξιν Ἰουδαίων κατηγόρει. καὶ τοὺς 56
Ἀντιοχεῖς, εἰ καὶ μὴ πρότερον εἶχον πρὸς αὐτοὺς ἀπε-
χθῶς, τάχιστ' ἂν τῇ διαβολῇ παρὰ τὴν ἐκ τοῦ συμβεβηκότος
ταραχὴν ὑπαχθέντας πολὺ μᾶλλον ἐκ τῶν προϋπηργμένων
τοῖς ὑπ' αὐτοῦ λεγομένοις πιστεύειν παρεσκεύασεν, ὡς μόνον
80 οὐκ αὐτοὺς τὸ πῦρ ἐνιέμενον ὑπὸ τῶν Ἰουδαίων ἑωρακότας,
καὶ καθάπερ ἐμμανεῖς γεγενημένοι μετὰ πολλοῦ τινος οἴ- 57
στρου πάντες ἐπὶ τοὺς διαβεβλημένους ὥρμηντο. μόλις δ' 58
αὐτῶν ἐδυνήθη τὰς ὁρμὰς ἐπισχεῖν Γναῖος Κολλήγας τις
πρεσβευτής, ἀξιῶν ἐπιτρέψαι Καίσαρι δηλωθῆναι περὶ τῶν

57. γενήσεσθαι: γεγενῆσθαι L 61-2. πολίταις: πολεμίοις C 62. ἀργεῖν τὴν: ἀργὴν PA 65. ἀργεῖν: ἀργὴν PAMVR 66. κἀν: καὶ PAMLVR 68. ἐπὶ τῆς: ἐπ' PA 77. τάχιστ' ἂν: τάχιστα MVRC τάχισταν P τάχιστάν A 80. αὐτοὺς: ἐπ' αὐτοὺς LVRC 81. γεγενημένοι: γενόμενοι A[1] γεγεννημένοι P 83. Γναῖος Bekker νέος ὢν PA νέος MLVC νεὸς R

secondo il rituale greco[11]; poi avanzò la proposta di costringere anche gli altri a fare lo stesso perché il rifiuto avrebbe svelato i partecipi del complotto. Gli Antiocheni accettarono un tal mezzo di prova, e solo pochi si piegarono mentre quelli che si rifiutavano vennero massacrati. Antioco, poi, si fece 52 dare dei soldati dal governatore romano e si diede a opprimere spietatamente i suoi concittadini, vietando di rispettare il riposo del sabato e costringendoli a fare tutti i lavori come gli altri giorni. Impose il divieto con tanta severità, che non 53 soltanto l'osservanza della festività del sabato fu abolita ad Antiochia, ma, cominciando di lí, l'abolizione fu sancita in breve anche nelle altre città.

3, 4. Tali i flagelli che in questi anni avevano colpito i 54 giudei di Antiochia quando su di loro si abbatté la nuova calamità, per raccontare la quale ho premesso la narrazione precedente. Accadde, dunque, che andassero in fiamme la 55 piazza quadrata[12], il palazzo del governo, l'archivio e le basiliche, sí che a stento si riuscí a impedire che il fuoco si appiccasse con grande vigore all'intera città, e di ciò Antioco diede la colpa ai giudei. Gli Antiocheni, anche se non li avessero 56 avuti in odio già da prima, nell'emozione causata dall'incendio sarebbero stati prontissimi a credere alla calunnia; tanto piú, dopo ciò ch'era successo prima, prestarono fede alle accuse di Antioco e, quasi mancasse solo che avessero visto coi propri occhi i giudei appiccare l'incendio, come presi da una smania 57 ossessiva, con impeto frenetico si scagliarono tutti contro i calunniati. A fatica il legato Gneo Collega[13] riuscí ad arginarne 58 la furia, chiedendo di lasciare che Cesare venisse informato

γεγονότων· τὸν γὰρ ἡγεμονεύοντα τῆς Συρίας Καισέννιον Παῖτον ἤδη μὲν Οὐεσπασιανὸς ἐξαπεστάλκει, συνέβαινε δὲ παρεῖναι μηδέπω. ποιούμενος δ' ἐπιμελῆ τὴν ἀναζήτησιν ὁ Κολλήγας ἐξεῦρε τὴν ἀλήθειαν, καὶ τῶν μὲν τὴν αἰτίαν ὑπ' Ἀντιόχου λαβόντων Ἰουδαίων οὐδεὶς οὐδ' ἐκοινώνησεν, ἅπαν δὲ τοὔργον ἔπραξαν ἄνθρωποί τινες ἀλιτήριοι διὰ χρεῶν ἀνάγκας νομίζοντες, εἰ τὴν ἀγορὰν καὶ τὰ δημόσια καταπρήσειαν γράμματα, τῆς ἀπαιτήσεως ἀπαλλαγὴν ἕξειν. Ἰουδαῖοι μὲν οὖν ἐπὶ μετεώροις ταῖς αἰτίαις τὸ μέλλον ἔτι καραδοκοῦντες ἐν φόβοις χαλεποῖς ἀπεσάλευον.

4, 1. Τίτος δὲ Καῖσαρ τῆς περὶ τοῦ πατρὸς ἀγγελίας αὐτῷ κομισθείσης, ὅτι πάσαις μὲν ποθεινὸς ταῖς κατὰ τὴν Ἰταλίαν πόλεσιν ἐπῆλθεν, μάλιστα δ' ἡ Ῥώμη μετὰ πολλῆς αὐτὸν ἐδέξατο προθυμίας καὶ λαμπρότητος, εἰς πολλὴν χαρὰν καὶ θυμηδίαν ἐτράπετο, τῶν περὶ αὐτοῦ φροντίδων ὡς ἥδιστον ἦν ἀπηλλαγμένος. Οὐεσπασιανὸν γὰρ ἔτι μὲν καὶ μακρὰν ἀπόντα πάντες οἱ κατὰ τὴν Ἰταλίαν ἄνθρωποι ταῖς γνώμαις περιεῖπον ὡς ἥκοντα, τὴν προσδοκίαν ἐκ τοῦ πάνυ θέλειν ἄφιξιν αὐτοῦ νομίζοντες καὶ πάσης ἀνάγκης ἐλευθέραν τὴν πρὸς αὐτὸν ἔχοντες εὔνοιαν. τῇ τε γὰρ βουλῇ κατὰ μνήμην τῶν γεγενημένων ἐν ταῖς τῶν ἡγεμόνων μεταβολαῖς συμφορῶν εὐκταῖον ἦν ἀπολαβεῖν ἡγεμόνα γήρως σεμνότητι καὶ πράξεων ἀκμῇ πολεμικῶν κεκοσμημένον, ᾧ τὴν ὑπεροχὴν πρὸς μόνην ἠπίσταντο τὴν τῶν ἀρχομένων σωτηρίαν ἐσομένην. καὶ μὴν ὁ δῆμος ὑπὸ τῶν ἐμφυλίων κακῶν τετρυχωμένος ἔτι μᾶλλον ἐλθεῖν αὐτὸν ἔσπευδε, τότε δὴ βεβαίως μὲν ἀπαλλαγήσεσθαι τῶν συμφορῶν ὑπολαμβάνων, ἀπολήψεσθαι δὲ τὴν ἄδειαν μετὰ τῆς

86. Παῖτον Hudson πέτον PAMLR πέ.τον V πέττον C 87. ἀναζήτησιν: ζήτησιν AMLVRC 91. εἰ: εἰς A¹M¹L¹R¹C
4, 3. Ῥώμη: ῥωμαίων M haud male 5. ἐτράπετο: ἐτρέπετο A 12. εὐκταῖον: εὐκτέον PA 13. πολεμικῶν: πολεμικῶς VRC 18. ὑπολαμβάνων: ὑπελάμβανεν PLVR

dell'accaduto; infatti non era ancora arrivato Cesennio Peto[14], il nuovo governatore della Siria, che Vespasiano aveva già inviato. Esperita un'accurata indagine, Collega scoprí la verità: dei giudei denunziati da Antioco nessuno aveva avuto alcuna parte nella macchinazione, che era stata tutta opera di alcuni sciagurati oppressi dai debiti, i quali avevano creduto di liberarsene dando alle fiamme la piazza e le pubbliche scritture. Con tali accuse sospese sul loro capo i giudei spiavano ancora ansiosamente il futuro ed erano agitati dai piú gravi timori.

4, 1. A Tito Cesare intanto arrivarono notizie del padre, che era stato festosamente accolto in tutte le città d'Italia e specialmente a Roma aveva ricevuto accoglienze entusiastiche e magnifiche, e ne provò una vivissima soddisfazione, essendosi liberato nel modo piú felice delle preoccupazioni nutrite per lui. Infatti, mentre Vespasiano si trovava ancora molto lontano, tutti gli abitanti dell'Italia lo riverivano nei loro cuori come se già fosse arrivato, a causa del grande desiderio scambiando l'attesa di lui con il suo effettivo arrivo e provando uno spontaneo sentimento di attaccamento nei suoi riguardi. E cosí il senato, memore dei tragici eventi che avevano accompagnato i cambiamenti degli imperatori, auspicava l'avvento di un principe ornato dalla gravità dell'età matura e dalla gloria di imprese guerresche, la cui esaltazione ben sapevano che sarebbe servita solo ad assicurare il bene dei sudditi. Il popolo, poi, travagliato dagli affanni delle guerre civili, attendeva con ansia ancora maggiore il suo arrivo, consapevole che allora soltanto si sarebbe liberato definitivamente dei suoi mali e fiducioso di recuperare la sicurezza insieme con

εὐετηρίας πεπιστευκώς. ἐξαιρέτως δὲ τὸ στρατιωτικὸν εἰς 67
20 αὐτὸν ἀφεώρα· μάλιστα γὰρ οὗτοι τῶν κατωρθωμένων
αὐτῷ πολέμων ἐγίνωσκον τὸ μέγεθος, τῆς ἀπειρίας δὲ τῶν
ἄλλων ἡγεμόνων καὶ τῆς ἀνανδρίας πεπειραμένοι πολλῆς
μὲν αἰσχύνης αὐτοὺς ἐπεθύμουν ἀπηλλάχθαι, τὸν μόνον δὲ
καὶ σώζειν αὐτοὺς καὶ κοσμεῖν δυνάμενον ἀπολαβεῖν ηὔχοντο.
25 τοιαύτης δ' εὐνοίας ἐξ ἁπάντων ὑπαρχούσης τοῖς μὲν κατὰ 68
τὰς ἀξιώσεις προύχουσι τῶν ἀνδρῶν οὐκέτ' ἀνεκτὸν ἦν
ἀναμένειν, ἀλλὰ πορρωτάτω τῆς Ῥώμης αὐτῷ προεντυ-
χεῖν ἔσπευδον. οὐ μὴν οὐδὲ τῶν ἄλλων τις ἠνείχετο τῆς 69
ἐντεύξεως τὴν ἀναβολήν, ἀλλ' οὕτως ἐξεχέοντο πάντες ἀ-
30 θρόοι καὶ πᾶσιν εὐπορώτερον καὶ ῥᾷον ἐδόκει τοῦ μένειν
τὸ ἀπιέναι, ὡς καὶ τὴν πόλιν αὐτὴν τότε πρῶτον ἐν ἑαυτῇ
λαβεῖν ὀλιγανθρωπίας αἴσθησιν ἡδεῖαν· ἦσαν γὰρ ἐλάτ-
τους τῶν ἀπιόντων οἱ μένοντες. ἐπεὶ δὲ προσιὼν ἠγγέλλετο, 70
καὶ τὴν ἡμερότητα τῆς ἐντεύξεως αὐτοῦ τὴν πρὸς ἑκά-
35 στους ἐδήλουν οἱ προελθόντες, ἅπαν ἤδη τὸ λοιπὸν πλῆθος
ἅμα γυναιξὶ καὶ παισὶν ἐπὶ ταῖς παρόδοις ἐξεδέχετο, καὶ 71
καθ' οὓς γένοιτο παριὼν οὗτοι πρὸς τὴν ἡδονὴν τῆς θέας
καὶ τὸ μειλίχιον αὐτοῦ τῆς ὄψεως παντοίας ἠφίεσαν φωνάς,
τὸν εὐεργέτην καὶ σωτῆρα καὶ μόνον ἄξιον ἡγεμόνα τῆς
40 Ῥώμης ἀνακαλοῦντες· ἅπασα δ' ἡ πόλις ὡς νεὼς ἦν στε-
φανωμάτων καὶ θυμιαμάτων ἀνάπλεως. μόλις δ' ὑπὸ πλή- 72
θους τῶν περὶ αὐτὸν ἱσταμένων δυνηθεὶς εἰς τὸ βασίλειον
ἐλθεῖν, αὐτὸς μὲν τοῖς ἔνδον θεοῖς θυσίας τῆς ἀφίξεως
χαριστηρίους ἐπετέλει, τρέπεται δὲ τὰ πλήθη πρὸς εὐωχίαν 73
45 καὶ κατὰ φυλὰς καὶ γένη καὶ γειτονίας ποιούμενοι τὰς
ἑστιάσεις ηὔχοντο τῷ θεῷ σπένδοντες αὐτόν τ' ἐπὶ πλεῖστον
χρόνον Οὐεσπασιανὸν ἐπιμεῖναι τῇ Ῥωμαίων ἡγεμονίᾳ, καὶ

20. κατωρθωμένων: κατωρθωμάτων V 25. τοιαύτης: τοσαύτης L 32. ἡδεῖαν Hudson ex Lat (*iucundam*) ἰδίαν codd. 35. προελθόντες: προσελθόντες PAMVRC 36. ταῖς: τοῖς PL | παρόδοις: παραδόξοις L 37. γένοιτο: γίνοιτο AVRC | οὗτοι: om. LVRC 44. τρέπεται: προτρέπεται PAM | πλήθη: πλήθει AM

la prosperità. Ma era soprattutto l'elemento militare che te- 67
neva gli occhi appuntati su di lui. Costoro piú di ogni altro
conoscevano la grandezza delle guerre da lui vinte e, avendo
sperimentata l'inesperienza e la viltà degli altri imperatori,
ardevano dal desiderio di essere liberati da tanta infamia e
pregavano di avere a capo colui che solo era capace di garan-
tire a loro sicurezza e prestigio[1]. In una simile atmosfera di 68
favorevole disposizione da parte di tutti, le personalità piú
eminenti non sopportarono piú di starsene ad aspettare, ma
si affrettarono ad andargli incontro ben lontano da Roma.
Del resto, anche fra gli altri nessuno resistette all'attesa del- 69
l'incontro, e a tal punto si riversarono tutti in massa fuori
della città e il partire sembrò a ognuno piú facile e agevole del
restare, che allora per la prima volta l'urbe provò la piacevole
sensazione di non essere sovraffollata; infatti coloro che ri-
masero furono meno di quelli che si misero in viaggio. Quan- 70
do poi arrivò la notizia che era vicino, e quelli che erano an-
dati avanti riferirono la cordialità del suo tratto con chiunque,
allora tutto il resto della popolazione con le mogli e i figli
si disposero ad attenderlo sui margini della strada e, quando 71
egli passava, per la contentezza di vederlo e per la mitezza
del suo aspetto tutti lanciavano ogni sorta di grida festose,
acclamandolo benefattore, salvatore e unico degno signore
di Roma[2]. Tutta la città, poi, era piena di corone e d'incensi
come un tempio. A gran fatica, per la folla strabocchevole che 72
gli si accalcava intorno, riuscí a entrare nel palazzo, e celebrò
di persona alle divinità domestiche[3] sacrifici di ringraziamento
per il ritorno, mentre il popolo dava inizio ai festeggiamenti 73
e, banchettando diviso per tribú, per casate e per vicinati[4],
supplicava con libagioni il dio, affinché mantenesse il piú a
lungo possibile Vespasiano alla testa dell'impero romano e

παισὶν αὐτοῦ καὶ τοῖς ἐξ ἐκείνων ἀεὶ γινομένοις φυλα-
χθῆναι τὸ κράτος ἀνανταγώνιστον. ἡ μὲν οὖν Ῥωμαίων πόλις 74
50 οὕτως Οὐεσπασιανὸν ἐκδεξαμένη προθύμως εὐθὺς εἰς πολ-
λὴν εὐδαιμονίαν ἐπεδίδου.

4, 2. πρὸ δὲ τούτων τῶν χρόνων, ἐν οἷς Οὐεσπασιανὸς 75
μὲν περὶ Ἀλεξάνδρειαν ἦν, Τίτος δὲ τῇ τῶν Ἱεροσολύμων
προσήδρευε πολιορκίᾳ, πολὺ μέρος Γερμανῶν ἐκινήθη πρὸς 76
55 ἀπόστασιν, οἷς καὶ Γαλατῶν οἱ πλησίον συμφρονήσαντες
κοινῇ μεγάλας ἐλπίδας αὐτοῖς συνέθεσαν ὡς καὶ τῆς Ῥω-
μαίων ἀπαλλαξόμενοι δεσποτείας. ἐπῆρε δὲ τοὺς Γερμα- 77
νοὺς ἅψασθαι τῆς ἀποστάσεως καὶ τὸν πόλεμον ἐξενεγκεῖν
πρώτη μὲν ἡ φύσις οὖσα λογισμῶν ἔρημος ἀγαθῶν καὶ
60 μετὰ μικρᾶς ἐλπίδος ἑτοίμως ῥιψοκίνδυνος· ἔπειτα δὲ καὶ 78
μῖσος τὸ πρὸς τοὺς κρατοῦντας, ἐπεὶ μόνοις ἴσασι Ῥω-
μαίοις τὸ γένος αὐτῶν δουλεύειν βεβιασμένον. οὐ μὴν ἀλλὰ
μάλιστά γε πάντων ὁ καιρὸς αὐτοῖς θάρσος ἐνεποίησεν·
ὁρῶντες γὰρ τὴν Ῥωμαίων ἀρχὴν ταῖς συνεχέσι τῶν αὐ- 79
65 τοκρατόρων ἀλλαγαῖς ἐν ἑαυτῇ τεταραγμένην, πᾶν τε μέρος
τῆς ὑπ' αὐτοῖς οἰκουμένης πυνθανόμενοι μετέωρον εἶναι
καὶ κραδαίνεσθαι, τοῦτον σφίσιν αὐτοῖς ἄριστον ὑπὸ τῆς
ἐκείνων κακοπραγίας καὶ στάσεως καιρὸν ᾠήθησαν πα-
ραδεδόσθαι. ἐνῆγον δὲ τὸ βούλευμα καὶ ταύταις αὐτοὺς 80
70 ταῖς ἐλπίσιν ἐτύφουν Κλασσικός τις καὶ Κιουίλιος τῶν παρ'
αὐτοῖς ὄντες ἡγεμόνων, οἳ δῆλον μὲν ὡς ἐκ μακροῦ ταύτης 81
ἐφίεντο τῆς νεωτεροποιίας, ὑπὸ τοῦ καιροῦ δὲ θαρσῆσαι
προαχθέντες τὴν αὐτῶν γνώμην ἐξέφηναν· ἔμελλον δὲ προ-
θύμως διακειμένοις τὴν πεῖραν τοῖς πλήθεσι προσφέρειν.
75 πολλοῦ δὲ μέρους ἤδη τῶν Γερμανῶν τὴν ἀποστασίαν 82

49. οὖν: om. LVR 52. τῶν: ἔτι τῶν C 55. πλησίον: πλεῖστοι PAM[1] *proximi* Lat | συμφρονήσαντες: συμφωνήσαντες AL 56. αὐτοῖς Bekker αὐ-τοῖς codd. om. Lat 57. δὲ τοὺς: δ'αὐτοὺς L[1]C δ'αὐτοὺς τοὺς L[2] δὲ αὖ τοὺς VR 61. ἴσασι: ἴασις C 62. βεβιασμένον: βεβιασμένων L[1] βιασαμένοις VRC 66. τῆς: τοῖς PA[1] | πυνθανόμενοι: πυθόμενοι VR 70. Κιουίλιος Gelenius *Civilis* Lat οὐίτιλλος PAMVRC οὐϊτίλλιος L 71. ὄντες: om. P 73. αὐτῶν Bekker αὐτῶν codd. 75. ἀποστασίαν: ἀπόστασιν A[2]MLVR

conservasse incontrastato il potere ai suoi figli e a tutti i loro discendenti[5]. E la città dei romani, dopo aver fatto accoglienze 74 cosí calorose a Vespasiano, s'innalzò rapidamente a grande prosperità[6].

4, 2. Ma qualche tempo prima, allorché Vespasiano stava 75 ad Alessandria e Tito stringeva d'assedio Gerusalemme[7], una 76 gran parte dei Germani si mise sulla strada della ribellione, e i vicini Galli con gli stessi intendimenti concepirono al pari di quelli grandi speranze, finanche di scuotere il giogo dei romani[8]. A dare inizio alla rivolta e a entrare in guerra i Ger- 77 mani vennero istigati anzitutto dalla loro natura, che è inca-pace di fare un accorto ragionamento e pronta a gettarsi fra i pericoli sia pure per la piú piccola speranza di successo; in 78 secondo luogo anche dall'odio contro i dominatori, perché sanno che soltanto i romani li hanno costretti a ubbidire. Ma piú di tutto a incoraggiarli fu l'occasione propizia; vedendo 79 infatti che l'impero romano era internamente sconvolto dai continui cambiamenti dei sovrani, e sapendo che ogni parte del mondo ad essi soggetto era in stato di dubbia fedeltà e di fermento, stimarono che era un'ottima opportunità quella che veniva loro offerta dalle difficoltà e dalle discordie degli av-versari. Consolidarono tali propositi, e li esaltarono con sif- 80 fatte speranze, un tal Classico e un certo Civile[9], due dei loro capi, i quali evidentemente da gran tempo pensavano a questa 81 ribellione e, incoraggiati ora dalle favorevoli circostanze a scoprire il loro piano, stavano per mettere alla prova le masse impazienti d'insorgere. Quando la maggior parte dei Germani 82

www.scribd.com/Cultura_in_Ita5

ἀνωμολογηκότος καὶ τῶν ἄλλων οὐκ ἄνδιχα φρονησάντων, ὥσπερ ἐκ δαιμονίου προνοίας Οὐεσπασιανὸς πέμπει γράμματα Πετιλίῳ Κερεαλίῳ τὸ πρότερον ἡγεμόνι Γερμανίας γενομένῳ, τὴν ὕπατον διδοὺς τιμὴν καὶ κελεύων ἄρξοντα Βρεττανίας ἀπιέναι. πορευόμενος οὖν ἐκεῖνος ὅποι προσετέτακτο καὶ τὰ περὶ τὴν ἀπόστασιν τῶν Γερμανῶν πυθόμενος, ἤδη συνειλεγμένοις αὐτοῖς ἐπιπεσὼν καὶ παραταξάμενος πολύ τε πλῆθος αὐτῶν ἀναιρεῖ κατὰ τὴν μάχην καὶ τῆς ἀνοίας παυσαμένους ἠνάγκασε σωφρονεῖν. ἔμελλον δὲ κἀκείνου μὴ θᾶττον εἰς τοὺς τόπους παραβαλόντος δίκην οὐκ εἰς μακρὰν ὑφέξειν· ἡνίκα γὰρ πρῶτον ἡ τῆς ἀποστάσεως αὐτῶν ἀγγελία τῇ Ῥώμῃ προσέπεσε, Δομετιανὸς Καῖσαρ πυθόμενος οὐχ ὡς ἂν ἕτερος ἐν τούτῳ τῆς ἡλικίας, νέος γὰρ ἦν ἔτι παντάπασιν, τηλικοῦτον ἄρασθαι μέγεθος πραγμάτων ὤκνησεν, ἔχων δὲ πατρόθεν ἔμφυτον τὴν ἀνδραγαθίαν καὶ τελειοτέραν τὴν ἄσκησιν τῆς ἡλικίας πεποιημένος ἐπὶ τοὺς βαρβάρους εὐθὺς ἤλαυνεν. οἱ δὲ πρὸς τὴν φήμην τῆς ἐφόδου καταπεσόντες ἐπ' αὐτῷ σφᾶς αὐτοὺς ἐποιήσαντο μέγα τοῦ φόβου κέρδος εὑράμενοι τὸ χωρὶς συμφορῶν ὑπὸ τὸν αὐτὸν πάλιν ζυγὸν ὑπαχθῆναι. πᾶσιν οὖν ἐπιθεὶς τοῖς περὶ τὴν Γαλατίαν τάξιν τὴν προσήκουσαν Δομετιανός, ὡς μηδ' αὖθις ἄν ποτε ῥᾳδίως ἔτι τἀκεῖ ταραχθῆναι, λαμπρὸς καὶ περίβλεπτος ἐπὶ κρείττοσι μὲν τῆς ἡλικίας, πρέπουσι δὲ τῷ πατρὶ κατορθώμασιν εἰς τὴν Ῥώμην ἀνέζευξε.

4, 3. τῇ δὲ προειρημένῃ Γερμανῶν ἀποστάσει κατὰ τὰς αὐτὰς ἡμέρας καὶ Σκυθικὸν τόλμημα πρὸς Ῥωμαίους συνέδραμεν. οἱ γὰρ καλούμενοι Σκυθῶν Σαρμάται, πολὺ πλῆθος ὄντες, ἄδηλοι μὲν τὸν Ἴστρον ἐπεραιώθησαν εἰς

76. ἄνδιχα: ἂν δίχα ALVRC 78. Πετιλίῳ: βεντιδίω codd. sed cfr. Lat | τὸ: τῶ ALVRC 79. ἄρξοντα: ἄρξαντα PAC 82. συνειλεγμένοις: συνηλεγμένοις VRC 85. παραβαλόντος: παραβάλλοντος A[1] παραβάλλοντας L[1] 86. πρῶτον: om. PA 89. ἄρασθαι: ὁρᾶσθαι L 94. μέγα: μετὰ PALVRC 102. Σκυθικὸν: σκυθρωπὸν VR

aveva già raggiunto l'accordo sull'insurrezione, e nessuno degli altri aveva manifestato la sua opposizione, Vespasiano, come per un'ispirazione divina, scrisse a Petilio Ceriale, che era stato precedentemente legato della Germania, conferendogli la dignità consolare e ordinandogli di recarsi ad assumere il governo della Britannia. Quello partí per raggiungere la sede che gli era stata destinata e, venuto a sapere della rivolta dei Germani, piombò sulle loro forze già raccolte e, attaccata battaglia, lasciò un gran numero di nemici sul campo, costringendo gli altri ad abbandonare quella folle politica di ribellione e a rinsavire[10]. Ma anche se egli non fosse arrivato sul posto cosí rapidamente, non avrebbero tardato molto a essere puniti; infatti, appena giunse a Roma la notizia della loro ribellione, Domiziano Cesare nel sentirla non ebbe un attimo di esitazione ad accollarsi un tale peso, come invece avrebbe fatto chiunque altro della sua età, perché era ancora assai giovane. Ma egli aveva una naturale bravura ereditata da suo padre unita ad un'esperienza superiore ai suoi anni, e mosse subito contro i barbari. Costoro, presi dallo sgomento alla notizia del suo arrivo, gli si arresero trovando che per liberarsi dai loro terrori il meglio era ritornare nuovamente sotto lo stesso giogo evitando disastri. Cosí Domiziano, dopo aver dato una conveniente sistemazione a ogni cosa in Gallia per evitare che colà potessero facilmente verificarsi nuovi disordini, tornò a Roma onusto di gloria e grandemente ammirato per le imprese che erano state bensí superiori alla sua età, ma degne di un figlio di tanto padre[11].

4, 3. Contemporaneamente alla predetta rivolta dei Germani si verificò anche un'invasione dell'impero romano ad opera degli Sciti. Infatti la popolazione scitica che ha il nome di Sarmati, ed è assai numerosa, passò nascostamente al di

105 τὴν ἐπιτάδε, πολλῇ δὲ βίᾳ καὶ χαλεποὶ διὰ τὸ παντάπασιν
ἀνέλπιστον τῆς ἐφόδου προσπεσόντες πολλοὺς μὲν τῶν ἐπὶ
τῆς φρουρᾶς Ῥωμαίων ἀναιροῦσι, καὶ τὸν πρεσβευτὴν τὸν 91
ὑπατικὸν Φοντήιον Ἀγρίππαν ὑπαντιάσαντα καὶ καρτερῶς
μαχόμενον κτείνουσι, τὴν δ' ὑποκειμένην χώραν ἅπασαν
110 κατέτρεχον ἄγοντες καὶ φέροντες ὅτῳ περιπέσοιεν. Οὐε- 92
σπασιανὸς δὲ τὰ γεγενημένα καὶ τὴν πόρθησιν τῆς Μυσίας
πυθόμενος Ῥούβριον Γάλλον ἐκπέμπει δίκην ἐπιθήσοντα
τοῖς Σαρμάταις. ὑφ' οὗ πολλοὶ μὲν αὐτῶν ἐν ταῖς μάχαις 93
ἀπέθανον, τὸ δὲ περισωθὲν μετὰ δέους εἰς τὴν οἰκείαν
115 διέφυγεν. τοῦτο δὲ τῷ πολέμῳ τέλος ἐπιθεὶς ὁ στρατηγὸς 94
καὶ τῆς εἰς τὸ μέλλον ἀσφαλείας προυνόησε· πλείοσι γὰρ
καὶ μείζοσι φυλακαῖς τὸν τόπον διέλαβεν, ὡς εἶναι τοῖς
βαρβάροις τὴν διάβασιν τελέως ἀδύνατον. ὁ μὲν οὖν περὶ 95
τὴν Μυσίαν πόλεμος ταχεῖαν οὕτως ἔλαβε τὴν κρίσιν.

5, 1. Τίτος δὲ Καῖσαρ χρόνον μέν τινα διέτριβεν ἐν 96
Βηρυτῷ, καθὰ προειρήκαμεν, ἐκεῖθεν δ' ἀναζεύξας καὶ δι'
ὧν ᾔει πόλεων τῆς Συρίας ἐν πάσαις θεωρίας τε συντελῶν
πολυτελεῖς καὶ τῶν Ἰουδαίων τοὺς αἰχμαλώτους εἰς ἐπί-
5 δειξιν τῆς ἑαυτῶν ἀπωλείας ἀποχρώμενος, θεᾶται κατὰ
τὴν πορείαν ποταμοῦ φύσιν ἀξίαν ἱστορηθῆναι. ῥεῖ μὲν γὰρ 97
μέσος Ἀρκέας τῆς Ἀγρίππα βασιλείας καὶ Ῥαφαναίας,
ἔχει δὲ θαυμαστὴν ἰδιότητα· πολὺς γὰρ ὤν, ὅτε ῥεῖ, καὶ 98
κατὰ τὴν φορὰν οὐ σχολαῖος, ἔπειτα δὲ πᾶς ἐκ τῶν πηγῶν
10 ἐπιλείπων ἓξ ἡμερῶν ἀριθμὸν ξηρὸν παραδίδωσιν ὁρᾶν τὸν
τόπον· εἶθ' ὥσπερ οὐδεμιᾶς γενομένης μεταβολῆς ὅμοιος 99
κατὰ τὴν ἑβδόμην ἐκδίδωσι, καὶ ταύτην ἀεὶ τὴν τάξιν

106. ἀνέλπιστον: ἄπιστον P | τῶν: τὸν A τοὺς VRC 107. πρεσβευτὴν: πρεσβύτην PAL Lat 108. Φοντήιον ed. pr. φροντήϊον PMLVRC φροντίϊον A *pompeium* Lat | καὶ: om. VRC 112. Ῥούβριον: *rubrium* Lat γούβριον PAMVRC γρούβιον L 115. τοῦτο: τούτω AMLVRC
5, 1. διέτριβεν: διέτριψεν MLVRC 4. τοὺς αἰχμαλώτους: τοῖς αἰχμαλώτοις AMLVRC 7. Ἀγρίππα: ἀγρίππου AVRC 8. καὶ: om. P 11. πᾶς: τὰς L 11. εἶθ': εἶτα VR

qua dell'Istro e, piombata con grande violenza sui romani, temibile anche perché l'attacco era del tutto inaspettato, sterminò un gran numero dei soldati disposti a guardia del confine[12]; uccisero anche il legato consolare Fonteio Agrippa, 91 che s'era fatto loro incontro attaccandoli bravamente, e devastarono l'intero territorio che gli si apriva davanti, saccheggiando e spogliando tutto ciò che trovavano[13]. Vespasiano, 92 informato dell'accaduto e della devastazione della Mesia, inviò a punire i Sarmati Rubrio Gallo[14]. Da costui molti di quelli 93 furono uccisi in battaglia, e i superstiti si ritirarono atterriti nel loro territorio. Terminata in tal modo la guerra, il con- 94 dottiero provvide anche alla sicurezza per il futuro; dispose infatti in quella zona delle guarnigioni piú numerose e piú forti, sí che passare il fiume era per i barbari del tutto impossibile. Cosí la guerra in Mesia fu rapidamente conclusa. 95

5, 1. Tito Cesare, dopo essersi trattenuto alquanto tempo 96 a Berito, come abbiamo detto[1], riprese il cammino, e in tutte le città della Siria in cui passava offrí magnifici ludi utilizzando i prigionieri giudei per dar spettacolo della loro strage. Durante il viaggio vide anche un fiume la cui caratteristica merita che se ne faccia un cenno. Esso scorre tra Arcea, una città 97 del regno di Agrippa, e Rafanea[2], ed ha una strana peculiarità. Quando scorre è ricco di acque e non è lento il suo corso; 98 poi le fonti cessano totalmente di alimentarlo e per lo spazio di sei giorni dà a vedere il suo alveo asciutto; quindi, come se 99 non si fosse verificato alcun cambiamento, al settimo giorno l'acqua rifluisce nella stessa quantità. Si è constatato che os-

ἀκριβῶς τετήρηται διαφυλάττων· ὅθεν δὴ καὶ Σαββατικὸν αὐτὸν κεκλήκασιν ἀπὸ τῆς ἱερᾶς τῶν Ἰουδαίων ἑβδόμης 15 οὕτως ὀνομάσαντες.

5, 2. ὁ δὲ τῶν Ἀντιοχέων δῆμος ἐπεὶ πλησίον ὄντα 100 Τίτον ἐπυνθάνοντο, μένειν μὲν ἐντὸς τειχῶν ὑπὸ χαρᾶς οὐχ ὑπέμενον, ἔσπευδον δ' ἐπὶ τὴν ὑπάντησιν· καὶ τριάκοντα 101 σταδίων ἐπὶ πλέον προῆλθον οὐκ ἄνδρες μόνον ἀλλὰ καὶ 20 γυναικῶν πλῆθος ἅμα παισὶ τῆς πόλεως ἐκχεόμενοι. κἀ- 102 πειδήπερ ἐθεάσαντο προσιόντα, παρὰ τὴν ὁδὸν ἑκατέρωθεν καταστάντες τάς τε δεξιὰς προύτεινον προσαγορεύοντες καὶ παντοίοις ἐπιφημίσμασι χρώμενοι συνυπέστρεφον· συνεχὴς 103 δ' ἦν αὐτῶν παρὰ πάσας ἅμα τὰς εὐφημίας δέησις ἐκβαλεῖν 25 τῆς πόλεως τοὺς Ἰουδαίους. Τίτος μὲν οὖν οὐδὲν ἐνέδωκεν 104 πρὸς ταύτην τὴν δέησιν, ἀλλ' ἡσυχῇ τῶν λεγομένων ἐπήκουεν· ἐπ' ἀδήλῳ δὲ τῷ τί φρονεῖ καὶ τί ποιήσει πολὺς καὶ χαλεπὸς τοῖς Ἰουδαίοις ὁ φόβος ἦν· οὐδὲ γὰρ ὑπέμεινεν 105 ἐν Ἀντιοχείᾳ Τίτος, ἀλλ' εὐθὺς ἐπὶ τὸ Ζεῦγμα τὸ κατὰ 30 τὸν Εὐφράτην συνέτεινε τὴν πορείαν, ἔνθα δὴ καὶ παρὰ τοῦ Πάρθων βασιλέως Βολογέσου πρὸς αὐτὸν ἧκον στέφανον χρυσοῦν ἐπὶ τῇ κατὰ τῶν Ἰουδαίων νίκῃ κομίζοντες. ὃν 106 δεξάμενος εἱστία τοὺς βασιλικούς, κἀκεῖθεν εἰς τὴν Ἀντιόχειαν ἐπανέρχεται. τῆς δὲ βουλῆς καὶ τοῦ δήμου τῶν Ἀν- 107 35 τιοχέων πολλὰς ποιησαμένων δεήσεις ἐλθεῖν εἰς τὸ θέατρον αὐτόν, ἐν ᾧ πᾶν τὸ πλῆθος ἠθροισμένον ἐξεδέχετο, φιλανθρώπως ὑπήκουσε. πάλιν δ' αὐτῶν σφόδρα λιπαρῶς 108 ἐγκειμένων καὶ συνεχῶς δεομένων ἐξελάσαι τῆς πόλεως τοὺς Ἰουδαίους, εὔστοχον ἐποιήσατο τὴν ἀπόκρισιν, εἰπών 40 «ἀλλ' ἥ γε πατρὶς αὐτῶν, εἰς ἣν ἐκβαλεῖν ἐχρῆν ὄντας 109 Ἰουδαίους, ἀνήρηται, καὶ δέξαιτ' ἂν οὐδεὶς αὐτοὺς ἔτι τό-

17. μὲν: om. P 19. ἐπὶ: ἔτι PAL | προῆλθον: διῆλθον C | γυναικῶν: γυναίων VRC 21. παρὰ: κατὰ P 22. καταστάντες: στάντες M παραστάντες L παρακαταστάντες VRC 27. δὲ τῷ: δὲ τὸ PAM δέ τω L 28. ὑπέμεινεν: ἐπέμεινεν MLVRC 39. ἀπόκρισιν: ἀπολογίαν L ἀπόκρησιν C 40. ἐκβαλεῖν: ἐκβάλλειν P εἰ βαλεῖν M ἐμβαλεῖν RC | ὄντας: ἂν τοὺς L τοὺς VRC

serva sempre regolarmente questo ciclo, onde è stato chiamato fiume Sabbatico dal nome del settimo giorno festivo dei giudei[3].

5, 2. Il popolo di Antiochia, quando seppe che Tito era 100 vicino, per la gioia non fu capace di restare entro le mura, ma si affrettò a muovergli incontro. Vennero avanti per piú 101 di trenta stadi non soltanto gli uomini, ma anche una gran folla di donne coi bambini riversandosi fuori dalla città. E 102 quando videro che si appressava, si disposero sui due margini della strada protendendo le braccia fra grandi acclamazioni e, lanciando ogni sorta di evviva, tornarono indietro per accompagnarlo[4]. Fra le grida festose ricorreva continuamente l'in- 103 vocazione di scacciare i giudei dalla città. Tito non assentí 104 per nulla a questa richiesta, limitandosi ad ascoltare senza alcuna reazione a ciò che dicevano; ma i giudei, essendo all'oscuro dei suoi pensieri e delle sue intenzioni, vissero giorni di grande angoscia[5]. Tito, infatti, non si fermò ad Antiochia, 105 ma proseguí direttamente fino a Zeugma sull'Eufrate, dove lo aspettava un'ambasceria inviata dal re dei Parti Vologese per offrirgli una corona d'oro per la vittoria sui giudei[6]. Ri- 106 cevuto l'omaggio, e offerto un banchetto in onore dei messi reali, Tito fece ritorno ad Antiochia. Il senato e il popolo 107 degli Antiocheni lo pregò insistentemente di recarsi nel teatro, dove tutta la popolazione s'era raccolta per festeggiarlo, ed egli benignamente acconsentí; ma quando quelli con reiterate 108 insistenze gli chiesero di bandire i giudei dalla città, egli ebbe una pronta risposta: « La loro patria, dove si dovrebbe rin- 109 viare chi è giudeo, è ormai distrutta, e non esiste altro posto

πος». ἐπὶ δευτέραν οὖν Ἀντιοχεῖς τρέπονται δέησιν τῆς 110
προτέρας ἀποστάντες· τὰς γὰρ χαλκᾶς ἠξίουν δέλτους ἀνελεῖν
αὐτόν, ἐν αἷς γέγραπται τὰ δικαιώματα τῶν Ἰουδαίων. οὐ 111
45 μὴν οὐδὲ τοῦτο Τίτος ἐπένευσεν αὐτοῖς, ἀλλ' ἐάσας πάντα
κατὰ χώραν τοῖς ἐπ' Ἀντιοχείας Ἰουδαίοις ὡς πρότερον
εἶχον εἰς Αἴγυπτον ἀπηλλάττετο. καὶ κατὰ τὴν πορείαν 112
τοῖς Ἱεροσολύμοις προσελθὼν καὶ τὴν λυπρὰν ἐρημίαν βλε-
πομένην ἀντιτιθεὶς τῇ ποτε τῆς πόλεως λαμπρότητι, καὶ
50 τὸ μέγεθος τῶν ἐρρηγμένων κατασκευασμάτων καὶ τὸ πάλαι
κάλλος εἰς μνήμην βαλλόμενος, ᾤκτειρε τῆς πόλεως τὸν
ὄλεθρον, οὐχ ὥσπερ ἄλλος ἄν τις αὐχῶν ὅτι τηλικαύτην 113
οὖσαν καὶ τοσαύτην εἷλε κατὰ κράτος, ἀλλὰ πολλάκις ἐπα-
ρώμενος τοῖς αἰτίοις τῆς ἀποστάσεως ὑπάρξασι καὶ ταύτην
55 ἐπὶ τῇ πόλει τὴν τιμωρίαν γενέσθαι παρασκευάσασιν· οὕτως
ἔκδηλος ἦν οὐκ ἂν θελήσας ἐκ τῆς συμφορᾶς τῶν κολα-
σθέντων γενέσθαι τῆς ἀρετῆς τὴν ἐπιφάνειαν. τοῦ δὲ πολλοῦ 114
πλούτου τῆς πόλεως ἔτι κἀν τοῖς ἐρειπίοις οὐκ ὀλίγον
μέρος ἀνηυρίσκετο· τὰ μὲν γὰρ πολλὰ ἀνέσκαπτον οἱ Ῥω- 115
60 μαῖοι, τὰ πλείω δ' ἐκ μηνύσεως τῶν αἰχμαλώτων ἀνη-
ροῦντο, χρυσόν τε καὶ ἄργυρον καὶ τῆς ἄλλης τὰ τιμιώτατα
κατασκευῆς, ἅπερ οἱ κεκτημένοι πρὸς τὰς ἀδήλους τοῦ πο-
λέμου τύχας κατὰ γῆς ἀποτεθησαυρίκεσαν.

5, 3. Τίτος δὲ τὴν προκειμένην ποιούμενος πορείαν 116
65 ἐπ' Αἰγύπτου καὶ τὴν ἔρημον ᾗ τάχιστα διανύσας ἧκεν
εἰς Ἀλεξάνδρειαν, καὶ πλεῖν ἐπὶ τῆς Ἰταλίας διεγνωκὼς 117
δυοῖν αὐτῷ ταγμάτων συνηκολουθηκότων ἑκάτερον ὅθεν-
περ ἀφῖκτο πάλιν ἀπέστειλεν, εἰς μὲν τὴν Μυσίαν τὸ πέμπτον,
εἰς Παννονίαν δὲ τὸ πεντεκαιδέκατον. τῶν αἰχμαλώτων δὲ 118
70 τοὺς μὲν ἡγεμόνας Σίμωνα καὶ Ἰωάννην, τὸν δ' ἄλλον

43. ἀποστάντες: ἁμαρτόντες L 47. εἶχον: ἔχειν VRC 48. λυπράν: λυγράν L *tristem* Lat 49. ἀντιτιθείς: ἀντιθείς LVRC 52. ἄλλος: om. PA 57. ἀρετῆς: ἀρετῆς αὐτοῦ LC | τοῦ: τοῦτο PA 60-1. ἀνηροῦντο: ἀνήυρισκον PAM *auferebant* Lat 65. Αἰγύπτου Niese αἴγυπτον codd. 70. δ' Niese τ' PA τε MLVRC

che potrebbe accoglierli». Abbandonata la prima richiesta, 110
gli Antiocheni ne fecero una seconda, quella di rimuovere le
tavole di bronzo in cui erano sanciti i diritti dei giudei[7]. Tito 111
però negò loro anche questa concessione e, lasciando i giudei
di Antiochia nella stessa condizione giuridica che avevano
prima, proseguí alla volta dell'Egitto. Durante il viaggio, pas- 112
sò per Gerusalemme e, paragonando quel lugubre spettacolo
di desolazione all'antico splendore della città, dinanzi a quegli
immensi cumuli di rovine richiamando alla mente la bellezza
di un tempo, si commosse per la sua distruzione: e non, 113
come altri avrebbe fatto, vantandosi di averla espugnata
nonostante fosse una città cosí grande e cosí forte, ma non
stancandosi di maledire chi aveva la colpa d'aver fatto esplo-
dere la rivolta e attirato una tale punizione sulla città. Cosí
fu chiaro a tutti che egli non aveva voluto punire la città
con la distruzione per poter far sfoggio del suo valore[8]. Delle 114
grandi ricchezze della città una parte non piccola continuò
a venir fuori dalle rovine; molte i romani ne scavarono, ma 115
per lo piú le recuperarono su indicazione dei prigionieri: oro,
argento e gli altri oggetti di maggior pregio che i proprie-
tari avevano sotterrato in vista dei dubbi casi della guerra.

5, 3. Tito, proseguendo nel suo viaggio verso l'Egitto, 116
attraversò rapidamente il deserto[9] e arrivò ad Alessandria.
Avendo deciso d'imbarcarsi alla volta dell'Italia[10], rinviò alle 117
sedi di provenienza le due legioni che l'avevano accompagnato,
la quinta in Mesia e la quindicesima in Pannonia[11]. Quanto 118
poi ai prigionieri, diede ordine di trasportare immediatamente
in Italia i due capi, Simone e Giovanni, assieme ad altri sette-

ἀριθμὸν ἑπτακοσίους ἄνδρας ἐπιλέξας μεγέθει τε καὶ κάλλει σωμάτων ὑπερβάλλοντας, προσέταξεν εἰς τὴν Ἰταλίαν αὐτίκα μάλα κομίζεσθαι, βουλόμενος αὐτοὺς ἐν τῷ θριάμβῳ παραγαγεῖν. τοῦ πλοῦ δ' αὐτῷ κατὰ νοῦν ἀνυσθέντος ὁμοίως μὲν ἡ Ῥώμη περὶ τὴν ὑποδοχὴν εἶχε καὶ τὰς ὑπαντήσεις ὥσπερ ἐπὶ τοῦ πατρός, λαμπρότερον δ' ἦν Τίτῳ καὶ αὐτὸς ὁ πατὴρ ὑπαντῶν καὶ δεχόμενος. τῷ δὲ πλήθει τῶν πολιτῶν δαιμόνιόν τινα τὴν χαρὰν παρεῖχε τὸ βλέπειν αὐτοὺς ἤδη τοὺς τρεῖς ἐν ταὐτῷ γεγονότας. οὐ πολλῶν δ' ἡμερῶν διελθουσῶν ἕνα καὶ κοινὸν ἔγνωσαν τὸν ἐπὶ τοῖς κατωρθωμένοις ποιήσασθαι θρίαμβον, καίπερ ἑκατέρῳ τῆς βουλῆς ἴδιον ψηφισαμένης. προδιασαφηθείσης δὲ τῆς ἡμέρας ἐφ' ἧς ἔμελλεν ἡ πομπὴ γενήσεσθαι τῶν ἐπινικίων, οὐδεὶς οἴκοι καταλέλειπτο τῆς ἀμέτρου πληθύος ἐν τῇ πόλει, πάντες δ' ὅπη καὶ στῆναι μόνον ἦν οἷόν τε προεληλυθότες τοὺς τόπους κατειλήφεσαν, ὅσον τοῖς ὀφθησομένοις μόνον εἰς πάροδον ἀναγκαίαν καταλιπόντες.

5, 4. τοῦ δὲ στρατιωτικοῦ παντὸς ἔτι νύκτωρ κατὰ λόχους καὶ τάξεις ὑπὸ τοῖς ἡγεμόσι διεξωδευκότος καὶ περὶ θύρας ὄντος οὐ τῶν ἄνω βασιλείων ἀλλὰ πλησίον τοῦ τῆς Ἴσιδος ἱεροῦ, ἐκεῖ γὰρ ἀνεπαύοντο τῆς νυκτὸς ἐκείνης οἱ αὐτοκράτορες, περὶ αὐτὴν ἀρχομένην ἤδη τὴν ἕω προΐασιν Οὐεσπασιανὸς καὶ Τίτος δάφνῃ μὲν ἐστεφανωμένοι, πορφυρᾶς δ' ἐσθῆτας πατρίους ἀμπεχόμενοι, καὶ παρίασιν εἰς τοὺς Ὀκταουίας περιπάτους· ἐνταῦθα γὰρ ἥ τε βουλὴ καὶ τὰ τέλη τῶν ἀρχόντων οἵ τε ἀπὸ τῶν τιμημάτων ἱππεῖς τὴν ἄφιξιν αὐτῶν ἀνέμενον. πεποίητο δὲ βῆμα πρὸ τῶν στοῶν, δίφρων αὐτοῖς ἐλεφαντίνων ἐπ' αὐτοῦ κειμένων, ἐφ' οὓς παρελθόντες ἐκαθέσθησαν, καὶ τὸ στρατιωτικὸν εὐθέως ἐπευφήμει πολλὰς αὐτοῖς τῆς ἀρετῆς

73. μάλα: om. PAC 74. αὐτῷ: αὐτοῦ A¹L 78. παρεῖχε τό: παρείχετο PA¹L 83. γενήσεσθαι: γενέσθαι L γίνεσθαι C 85. τε ins. Herwerden 86. τόπους: ποταμοὺς A | ὀφθησομένοις: φθησομένοις PA 90. ἀλλά: ἀλλὰ καὶ AMLC 92. περί: περὶ δὲ VRC 97. πεποίητο: πεποίηνται P πεποίηντο A 99. οὕς: οὗ VR

cento scelti per la statura e la prestanza fisica, con l'intenzione di trascinarli in catene nel trionfo. Il suo viaggio per mare si svolse felicemente, come meglio non si poteva desiderare, e Roma gli riservò un'accoglienza calorosa come aveva fatto con suo padre, tranne che quella di Tito fu resa piú solenne dalla presenza dello stesso Vespasiano. Per la folla dei cittadini vedere riuniti insieme i tre imperatori[12] fu una gioia straordinaria. Dopo pochi giorni, essi decisero di celebrare le loro imprese con un unico trionfo, sebbene il senato ne avesse decretato uno per ciascuno[13]. Preavvisati del giorno in cui si sarebbe svolta la cerimonia trionfale, senza che nessuno dell'immensa popolazione di Roma restasse in casa, tutti uscirono a prendere posto dovunque si poteva stare, lasciando libero soltanto lo spazio per far sfilare il corteo[14].

5, 4. Era ancora buio quando tutto l'esercito[15], uscito inquadrato nei diversi reparti sotto i rispettivi comandanti, si era disposto non dinanzi all'ingresso dei palazzi imperiali[16], ma nei pressi del tempio di Iside, dove gli imperatori avevano riposato quella notte[17]. All'apparire dell'alba, Vespasiano e Tito uscirono incoronati d'alloro e rivestiti delle tradizionali vesti di porpora[18], e raggiunsero il portico di Ottavia[19], dove erano ad attenderli il senato, i magistrati e i cittadini di dignità equestre. Dinanzi al portico era stata innalzata una tribuna su cui erano stati collocati per loro dei seggi d'avorio e, quando essi vi si furono seduti, immediatamente i soldati cominciarono a inneggiare rendendo testimonianza a una voce

μαρτυρίας ἀποδιδόντες ἅπαντες· κἀκεῖνοι χωρὶς ὅπλων ἦσαν ἐν ἐσθῆσιν σηρικαῖς ἐστεφανωμένοι δάφναις. δεξάμενος δ' αὐτῶν τὴν εὐφημίαν Οὐεσπασιανὸς ἔτι βουλομένων λέγειν τὸ τῆς σιγῆς ἐποιήσατο σύμβολον, καὶ πολλῆς ἐκ πάντων ἡσυχίας γενομένης ἀναστὰς καὶ τῷ περιβλήματι τὸ πλέον τῆς κεφαλῆς μέρος ἐπικαλυψάμενος εὐχὰς ἐποιήσατο τὰς νενομισμένας· ὁμοίως δὲ καὶ Τίτος ηὔξατο. μετὰ δὲ τὰς εὐχὰς εἰς κοινὸν ἅπασιν Οὐεσπασιανὸς βραχέα διαλεχθείς, τοὺς μὲν στρατιώτας ἀπέλυσεν ἐπὶ τὸ νενομισμένον ἄριστον αὐτοῖς ὑπὸ τῶν αὐτοκρατόρων εὐτρεπίζεσθαι, πρὸς δὲ τὴν πύλην αὐτὸς ἀνεχώρει τὴν ἀπὸ τοῦ πέμπεσθαι δι' αὐτῆς αἰεὶ τοὺς θριάμβους τῆς προσηγορίας ἀπ' αὐτῶν τετευχυῖαν. ἐνταῦθα τροφῆς τε προαπογεύονται καὶ τὰς θριαμβικὰς ἐσθῆτας ἀμφιασάμενοι τοῖς τε παριδρυμένοις τῇ πύλῃ θύσαντες θεοῖς ἔπεμπον τὸν θρίαμβον διὰ τῶν θεάτρων διεξελαύνοντες, ὅπως εἴη τοῖς πλήθεσιν ἡ θέα ῥᾴων.

5, 5. ἀμήχανον δὲ κατὰ τὴν ἀξίαν εἰπεῖν τῶν θεαμάτων ἐκείνων τὸ πλῆθος καὶ τὴν μεγαλοπρέπειαν ἐν ἅπασιν οἷς ἄν τις ἐπινοήσειεν ἢ τεχνῶν ἔργοις ἢ πλούτου μέρεσιν ἢ φύσεως σπανιότησιν· σχεδὸν γὰρ ὅσα τοῖς πώποτ' ἀνθρώποις εὐδαιμονήσασιν ἐκτήθη κατὰ μέρος ἄλλα παρ' ἄλλοις θαυμαστὰ καὶ πολυτελῆ, ταῦτ' ἐπὶ τῆς ἡμέρας ἐκείνης ἀθρόα τῆς Ῥωμαίων ἡγεμονίας ἔδειξε τὸ μέγεθος. ἀργύρου γὰρ καὶ χρυσοῦ καὶ ἐλέφαντος ἐν παντοίαις ἰδέαις κατασκευασμάτων ἦν ὁρᾶν οὐχ ὥσπερ ἐν πομπῇ κομιζόμενον πλῆθος, ἀλλ' ὡς ἂν εἴποι τις ῥέοντα ποταμόν, καὶ τὰ μὲν ἐκ πορφύρας ὑφάσματα τῆς σπανιωτάτης φερόμενα, τὰ δ' εἰς ἀκρι-

102. ἐν: om. PAMLVR | ἐσθῆσιν Niese ἐσθήσεσιν PAMLVC αἰσθήσεσιν R 106. ἐπικαλυψάμενος Hudson ἀποκαλυψάμενος codd. 109. ἀπέλυσεν: ἀπέστειλεν L | τὸ: τὸν PALRC 110. εὐτρεπίζεσθαι: ηὐτρεπίσθαι L εὐτρεπισθὲν MVRC 113. τετευχυῖαν Niese τετυχυίας PAR τετυχυῖαν M τετευχυίας LV τετυχηκυῖαν C | τε: om. PAMLVR | προαπογεύονται: προσαπογεύονται PAM 116. διεξελαύνοντες: συνεξελαύνοντες PL 124. γὰρ: om. A μὲν γὰρ M τε γὰρ C 125. ἰδέαις: ἰδίαις R

al loro valore; gli imperatori non erano in armi, ma portavano vesti di seta col capo coronato d'alloro[20]. Vespasiano, dopo aver ricevuto il loro omaggio, fece segno a un certo punto, sebbene quelli volessero continuare, di tacere; si stabilí un generale, profondo silenzio ed egli, levatosi in piedi e ricopertasi col mantello quasi tutta la testa, pronunciò le preghiere di rito, mentre anche Tito pregava[21]. Dopo le preghiere, Vespasiano rivolse un breve indirizzo a tutti; quindi congedò i soldati, perché partecipassero al tradizionale banchetto offerto loro dagli imperatori, e raggiunse la porta che prende il nome dal fatto che viene sempre attraversata dalle sfilate dei trionfi[22]. Ivi gli imperatori, dopo essersi rifocillati, indossarono le vesti trionfali e, celebrato un sacrificio in onore delle divinità le cui statue adornavano la porta, diedero il via al corteo facendolo passare attraverso i teatri, affinché la folla potesse piú agevolmente assistere allo spettacolo[23].

5, 5. Sarebbe impossibile descrivere in maniera adeguata la varietà e la magnificenza delle cose messe in mostra sotto i diversi aspetti, sia delle opere d'arte, sia della varietà dei tesori, sia delle rarità naturali; infatti, quasi tutte le cose piú mirabili e preziose, che mai a vari individui fortunati fu dato singolarmente di possedere, in quel giorno erano raccolte insieme a mostrare la grandezza dell'impero romano. Si poteva vedere argento, oro e avorio lavorato in mille modi e in quantità cosí enorme da sembrare non che venisse portato in corteo, ma che scorresse come un fiume; poi seguivano stoffe di porpora fra le piú preziose ed altre ricamate secondo l'arte

βῇ ζωγραφίαν πεποικιλμένα τῇ Βαβυλωνίων τέχνῃ· λίθοι τε 135
130 διαφανεῖς, οἱ μὲν χρυσοῖς ἐμπεπλεγμένοι στεφάνοις, οἱ δὲ
κατ' ἄλλας ποιήσεις, τοσοῦτοι παρηνέχθησαν, ὥστε μαθεῖν
ὅτι μάτην εἶναί τι τούτων σπάνιον ὑπειλήφαμεν. ἐφέρετο δὲ 136
καὶ θεῶν ἀγάλματα τῶν παρ' αὐτοῖς μεγέθεσι θαυμαστὰ καὶ
κατὰ τὴν τέχνην οὐ παρέργως πεποιημένα, καὶ τούτων οὐδὲν
135 ὅ τι μὴ τῆς ὕλης τῆς πολυτελοῦς, ζῴων τε πολλαὶ φύσεις
παρήγοντο κόσμον οἰκεῖον ἁπάντων περικειμένων. ἦν δὲ καὶ 137
τὸ κομίζον ἕκαστα τούτων πλῆθος ἀνθρώπων ἁλουργαῖς
ἐσθῆσι καὶ διαχρύσοις κεκοσμημένον, οἵ τ' εἰς αὐτὸ τὸ πομ-
πεύειν διακριθέντες ἐξαίρετον εἶχον καὶ καταπληκτικὴν περὶ
140 αὑτοὺς τοῦ κόσμου τὴν πολυτέλειαν. ἐπὶ τούτοις οὐδὲ τὸν 138
αἰχμάλωτον ἦν ἰδεῖν ὄχλον ἀκόσμητον, ἀλλ' ἡ τῶν ἐσθήτων
ποικιλία καὶ τὸ κάλλος αὐτοῖς τὴν ἀπὸ τῆς κακώσεως τῶν
σωμάτων ἀηδίαν ἔκλεπτε τῆς ὄψεως. θαῦμα δ' ἐν τοῖς μά- 139
λιστα παρεῖχεν· ἡ τῶν φερομένων πηγμάτων κατασκευή· καὶ
145 γὰρ διὰ μέγεθος ἦν δεῖσαι τῷ βεβαίῳ τῆς φορᾶς ἀπιστή-
σαντα, τριώροφα γὰρ αὐτῶν πολλὰ καὶ τετρώροφα πεποίη- 140
το, καὶ τῇ πολυτελείᾳ τῇ περὶ τὴν κατασκευὴν ἦν ἡσθῆναι
μετ' ἐκπλήξεως. καὶ γὰρ ὑφάσματα πολλοῖς διάχρυσα πε- 141
ριβέβλητο, καὶ χρυσὸς καὶ ἐλέφας οὐκ ἀποίητος πᾶσι περι-
150 επεπήγει. διὰ πολλῶν δὲ μιμημάτων ὁ πόλεμος ἄλλος εἰς 142
ἄλλα μεμερισμένος ἐναργεστάτην ὄψιν αὑτοῦ παρεῖχεν· ἦν 143
γὰρ ὁρᾶν χώραν μὲν εὐδαίμονα δῃουμένην, ὅλας δὲ φάλαγ-
γας κτεινομένας πολεμίων, καὶ τοὺς μὲν φεύγοντας τοὺς δ'
εἰς αἰχμαλωσίαν ἀγομένους, τείχη δ' ὑπερβάλλοντα μεγέθει
155 μηχαναῖς ἐρειπόμενα καὶ φρουρίων ἁλισκομένας ὀχυρότη-
τας καὶ πόλεων πολυανθρώπους περιβόλους κατ' ἄκρας

130. ἐμπεπλεγμένοι: ἐμπεπλεγμένοις R *inclusae* Lat 136. κόσμον: καὶ κόσμον L 138. ἐσθῆσι: ἐσθήσεσι ALVRC | αὐτό: ταὐτὸ P 140. περὶ αὑτοὺς Bekker περὶ αὐτοὺς AMRLVC περιαυτοὺς P 141. ὄχλον: ὄχλον μόνον AM κόσμον VR 142. αὐτοῖς Destinon αὐτῆς codd. 143. τοῖς: αὐτοῖς PA 145. φορᾶς: φθορᾶς A συμφορᾶς M 146-7. πεποίητο: πεποίηντο L 148-9. περιβέβλητο: περιεβέβλητο AMVRC 150. ἄλλος: ἄλλως VRC *aliter* Lat 151. αὑτοῦ: αὐτοῦ PAML ἑαυτοῦ VRC 156. πολυανθρώπους: πολυανθρώπων VRC

babilonese con disegni perfetti; venivano poi gemme traspa- 135
renti, alcune incastonate in corone d'oro, altre in altre com-
posizioni, e in tale abbondanza da far pensare che a torto noi
le consideriamo una rarità. Erano anche portate in proces- 136
sione statue delle loro[24] divinità, di mirabile grandezza, la-
vorate con arte raffinata e tutte di materiale prezioso. Segui-
vano poi animali di molte specie, tutti adornati in maniera
appropriata, e anche la moltitudine degli uomini che li con- 137
ducevano sfoggiavano vesti purpuree trapunte d'oro, mentre
quelli che erano stati scelti per sfilare in parata avevano una
tale magnificenza di ornamenti da sbalordire. Inoltre, anche le 138
caterve dei prigionieri non apparivano una moltitudine scom-
posta, ma la varietà e la bellezza dei loro costumi nasconde-
vano alla vista lo spiacevole spettacolo dei maltrattamenti da
loro subiti. Ma quello che piú destava l'ammirazione erano 139
gli scenari mobili, che per la loro grandezza facevano temere
per la sicurezza del loro trasporto essendo per lo piú di tre o
quattro piani, ma che per la complessità delle composizioni 140
suscitavano a un tempo diletto e stupore[25]. Molti erano in- 141
corniciati entro drappeggi di stoffe trapunte d'oro, e tutti
avevano riquadri di oro e di avorio lavorato. Suddivisa in 142
parecchie scene, la guerra vi era rappresentata con la piú
grande efficacia; si poteva vedere una ricca contrada desolata 143
dalle devastazioni, intere schiere di nemici sterminate, mentre
alcuni si davano alla fuga e altri erano trascinati in schiavitú,
mura di straordinaria grandezza diroccate dalle macchine, pos-
senti fortezze conquistate, città con le difese gremite di difen-

www.scribd.com/Cultura_in_Ita5

ἐχομένους, καὶ στρατιὰν ἔνδον τειχῶν εἰσχεομένην, καὶ πάν- 144
τα φόνου πλήθοντα τόπον, καὶ τῶν ἀδυνάτων χεῖρας ἀνταί-
ρειν ἱκεσίας, πῦρ τε ἐνιέμενον ἱεροῖς καὶ κατασκαφὰς οἴκων
160 ἐπὶ τοῖς δεσπόταις, καὶ μετὰ πολλὴν ἐρημίαν καὶ κατήφειαν 145
ποταμοὺς ῥέοντας οὐκ ἐπὶ γῆν γεωργουμένην, οὐδὲ ποτὸν
ἀνθρώποις ἢ βοσκήμασιν ἀλλὰ διὰ τῆς ἔτι πανταχόθεν φλε-
γομένης· ταῦτα γὰρ Ἰουδαῖοι πεισομένους αὑτοὺς τῷ πο-
λέμῳ παρέδοσαν. ἡ τέχνη δὲ καὶ τῶν κατασκευασμάτων 146
165 ἡ μεγαλουργία τοῖς οὐκ ἰδοῦσι γινόμενα τότ' ἐδείκνυεν ὡς
παροῦσι. τέτακτο δ' ἐφ' ἑκάστῳ τῶν πηγμάτων ὁ τῆς ἁλι- 147
σκομένης πόλεως στρατηγὸς ὃν τρόπον ἐλήφθη, πολλαὶ δὲ
καὶ νῆες εἵποντο. λάφυρα δὲ τὰ μὲν ἄλλα χύδην ἐφέρετο, 148
διέπρεπε δὲ πάντων τὰ ἐγκαταληφθέντα τῷ ἐν Ἱεροσολύμοις
170 ἱερῷ, χρυσῆ τε τράπεζα τὴν ὁλκὴν πολυτάλαντος καὶ λυχνία
χρυσῆ μὲν ὁμοίως πεποιημένη, τὸ δ' ἔργον ἐξήλλακτο τῆς
κατὰ τὴν ἡμετέραν χρῆσιν συνηθείας. ὁ μὲν γὰρ μέσος ἦν 149
κίων ἐκ τῆς βάσεως πεπηγώς, λεπτοὶ δ' ἀπ' αὐτοῦ μεμή-
κυντο καυλίσκοι τριαίνης σχήματι παραπλησίαν τὴν θέσιν
175 ἔχοντες, λύχνον ἕκαστος αὐτῶν ἐπ' ἄκρον κεχαλκευμένος·
ἑπτὰ δ' ἦσαν οὗτοι τῆς παρὰ τοῖς Ἰουδαίοις ἑβδομάδος τὴν
τιμὴν ἐμφανίζοντες. ὅ τε νόμος ὁ τῶν Ἰουδαίων ἐπὶ τού- 150
τοις ἐφέρετο τῶν λαφύρων τελευταῖος. ἐπὶ τούτοις παρῄεσαν 151
πολλοὶ Νίκης ἀγάλματα κομίζοντες· ἐξ ἐλέφαντος δ' ἦν
180 πάντων καὶ χρυσοῦ ἡ κατασκευή. μεθ' ἃ Οὐεσπασιανὸς 152
ἤλαυνε πρῶτος καὶ Τίτος εἵπετο, Δομετιανὸς δὲ παρίπ-
πευεν, αὐτός τε διαπρεπῶς κεκοσμημένος καὶ τὸν ἵππον
παρέχων θέας ἄξιον.

5, 6. ἦν δὲ τῆς πομπῆς τὸ τέλος ἐπὶ τὸν νεὼ τοῦ Καπε- 153
185 τωλίου Διός, ἐφ' ὃν ἐλθόντες ἔστησαν· ἦν γὰρ παλαιὸν πά-

158. πλήθοντα: πληθύνοντα L¹V πληθύοντα L²RC 162. ἔτι πανταχόθεν: ἐπι-πανταχόθεν PAC 163. αὐτούς: αὑτοὺς PAMLVC 166. ὁ τῆς: ὅλης τῆς VR 169. τῷ ἐν: τῶν PAC | Ἱεροσολύμοις: ἱεροσολύμων C 170. ἱερῷ: ἱερῶν PA 181-2. παρίππευεν: περιίππευεν PAMLVR *adequitabat* Lat 182. διαπρεπῶς: διαπρέπων PAVR 184. τὸν νεὼ: τῷ νεὼ P τὸν νεὼν MVRC

sori espugnate senza scampo, un esercito che dilagava entro le 144
mura, un luogo inondato di sangue, i nemici che non potendo
piú resistere levavano le mani in atto di supplica, templi[26] dati
alle fiamme, case che crollavano sulle teste dei padroni e,
dopo tanta rovina e devastazione, fiumi che scorrevano non 145
attraverso campi coltivati, per dissetare uomini e bestie, ma
attraverso un paese ancora in preda alle fiamme da ogni parte:
erano le sciagure che i giudei erano destinati a subire quando
si erano gettati nella guerra. L'arte e la complessità delle scene 146
raffigurate erano tali che a chi non aveva visto svolgersi quei
fatti sembrava ora di assistervi di persona. Su ogni scenario 147
era stato collocato il comandante della città espugnata nello
stesso arnese in cui era stato catturato. Seguivano poi anche
numerose navi[27]. Il resto del bottino veniva trasportato alla 148
rinfusa, ma fra tutto spiccavano gli oggetti presi nel tempio
di Gerusalemme, una tavola d'oro del peso di molti talenti
e un candelabro fatto ugualmente d'oro, ma di foggia diversa
da quelli che noi usiamo[28]. Vi era infatti al centro un'asta in- 149
fissa in una base, da cui si dipartivano dei sottili bracci simili
nella forma a un tridente e aventi ciascuno all'estremità una
lampada; queste erano sette, dimostrando la venerazione dei
giudei per quel numero. Veniva poi appresso, ultima delle 150
prede, una copia della legge dei giudei[29]. Seguivano molti 151
portatori di statue della Vittoria[30], fatte tutte d'oro e d'avorio,
e dietro la quadriga di Vespasiano e poi quella di Tito, mentre 152
Domiziano cavalcava al loro fianco in splendide vesti, mon-
tando un magnifico cavallo[31].

5, 6. La meta del corteo trionfale era il tempio di Giove 153
sul Campidoglio, e arrivati colà si fermarono; infatti secondo

τριον περιμένειν, μέχρις ἂν τὸν τοῦ στρατηγοῦ τῶν πολεμίων θάνατον ἀπαγγείλῃ τις. Σίμων οὗτος ἦν ὁ Γιώρα, τότε πεπομπευκὼς ἐν τοῖς αἰχμαλώτοις, βρόχῳ δὲ περιβληθεὶς εἰς τὸν ἐπὶ τῆς ἀγορᾶς ἐσύρετο τόπον αἰκιζομένων αὐτὸν ἅμα τῶν ἀγόντων· νόμος δ' ἐστὶ Ῥωμαίοις ἐκεῖ κτείνειν τοὺς ἐπὶ κακουργίᾳ θάνατον κατεγνωσμένους. ἐπεὶ δ' ἀπηγγέλθη τέλος ἔχων καὶ πάντες εὐφήμησαν, ἤρχοντο τῶν θυσιῶν, ἃς ἐπὶ ταῖς νομιζομέναις καλλιερήσαντες εὐχαῖς ἀπῄεσαν εἰς τὸ βασίλειον. καὶ τοὺς μὲν αὐτοὶ πρὸς εὐωχίαν ὑπεδέχοντο, τοῖς δ' ἄλλοις ἅπασιν εὐτρεπεῖς κατὰ τὸ οἰκεῖον αἱ τῆς ἑστιάσεως ἦσαν παρασκευαί. ταύτην γὰρ τὴν ἡμέραν ἡ Ῥωμαίων πόλις ἑώρταζεν ἐπινίκιον μὲν τῆς κατὰ τῶν πολεμίων στρατείας, πέρας δὲ τῶν ἐμφυλίων κακῶν, ἀρχὴν δὲ τῶν ὑπὲρ τῆς εὐδαιμονίας ἐλπίδων.

5, 7. μετὰ δὲ τοὺς θριάμβους καὶ τὴν βεβαιοτάτην τῆς Ῥωμαίων ἡγεμονίας κατάστασιν Οὐεσπασιανὸς ἔγνω τέμενος Εἰρήνης κατασκευάσαι· ταχὺ δὲ δὴ μάλα καὶ πάσης ἀνθρωπίνης κρεῖττον ἐπινοίας ἐτετελείωτο. τῇ γὰρ ἐκ τοῦ πλούτου χορηγίᾳ δαιμονίῳ χρησάμενος, ἔτι καὶ τοῖς ἔκπαλαι κατωρθωμένοις γραφῆς τε καὶ πλαστικῆς ἔργοις αὐτὸ κατεκόσμησεν· πάντα γὰρ εἰς ἐκεῖνον τὸν νεὼ συνήχθη καὶ κατετέθη, δι' ὧν τὴν θέαν ἄνθρωποι πρότερον περὶ πᾶσαν ἐπλανῶντο τὴν οἰκουμένην, ἕως ἄλλο παρ' ἄλλοις ἦν κείμενον ἰδεῖν ποθοῦντες. ἀνέθηκε δ' ἐνταῦθα καὶ τὰ ἐκ τοῦ ἱεροῦ τῶν Ἰουδαίων χρυσᾶ κατασκευάσματα σεμνυνόμενος ἐπ' αὐτοῖς. τὸν δὲ νόμον αὐτῶν καὶ τὰ πορφυρᾶ τοῦ σηκοῦ καταπετάσματα προσέταξεν ἐν τοῖς βασιλείοις ἀποθεμένους φυλάττειν.

195. εὐτρεπεῖς Niese εὐπρεπεῖς codd. *instructi* Lat 198. στρατείας: στρατιᾶς PAMVRC | δὲ: δὲ τῆς PMLVRC 199. ὑπὲρ: om. P 200. βεβαιοτάτην: βεβαιότητα τὴν PA¹ 205. πλαστικῆς: πλαστικοῖς PA¹MLVR 206. νεὼ: νεῶν MVR νεὸν C 211. αὐτοῖς τὸν: αὐτὸν VR

un'antica usanza si doveva aspettare l'annuncio della morte del capo dei nemici. Questi era Simone, figlio di Ghiora, che fino a quel momento aveva sfilato fra gli altri prigionieri e che ora con una corda al collo venne trascinato, fra ingiurie e percosse, in un luogo vicino al Foro, dove i romani fanno eseguire le condanne a morte dei malfattori[32]. All'arrivo della notizia che era stato ucciso, accolta tra vive acclamazioni, gli imperatori cominciarono a celebrare i sacrifici e, dopo averli offerti con le preghiere di rito, si ritirarono nel palazzo. Quivi alcuni vennero trattenuti a banchetto, mentre per tutti gli altri erano già state approntate le mense nelle loro case. Quel giorno infatti la città dei romani festeggiò la vittoria sui nemici, la fine delle lotte intestine e l'inizio di liete speranze per il futuro[33].

5, 7. Dopo aver celebrato il trionfo e consolidato nella maniera piú stabile le basi dell'impero romano, Vespasiano decise d'innalzare un tempio della Pace, che venne costruito in assai breve tempo e di una magnificenza superiore ad ogni umana immaginazione. Egli infatti, oltre a dedicarvi gli straordinari mezzi della sua ricchezza, lo adornò anche con antichi capolavori di pittura e di scultura; vennero infatti raccolti e conservati in quel tempio tutte le opere per ammirare le quali fino a quel momento gli uomini avevano dovuto viaggiare per tutta la terra, desiderosi di vederle pur essendo disperse in questo o in quel paese[34]. Qui ripose anche la suppellettile d'oro presa al tempio dei giudei, di cui andava fiero; invece la copia della loro legge e i velari color porpora del santuario ordinò di riporli e conservarli nel palazzo.

6, 1. εἰς δὲ τὴν Ἰουδαίαν πρεσβευτὴς Λουκίλιος Βάσσος ἐκπεμφθεὶς καὶ τὴν στρατηγίαν παρὰ Κερεαλίου Οὐετιλιανοῦ παραλαβὼν τὸ μὲν ἐν τῷ Ἡρωδείῳ φρούριον προσηγάγετο μετὰ τῶν ἐχόντων, μετὰ ταῦτα δὲ πᾶν ὅσον ἦν στρατιωτικὸν συναγαγών, πολὺ δ' ἦν κατὰ μέρη διῃρημένον, καὶ τῶν ταγμάτων τὸ δέκατον, ἔγνω στρατεύειν ἐπὶ Μαχαιροῦντα· πάνυ γὰρ ἦν ἀναγκαῖον ἐξαιρεθῆναι τὸ φρούριον, μὴ διὰ τὴν ὀχυρότητα πολλοὺς εἰς ἀποστασίαν ἐπαγάγηται. καὶ γὰρ τοῖς κατέχουσι βεβαίαν ἐλπίδα σωτηρίας καὶ τοῖς ἐπιοῦσιν ὄκνον καὶ δέος ἡ τοῦ χωρίου φύσις ἦν παρασχεῖν ἱκανωτάτη. αὐτὸ μὲν γὰρ τὸ τετειχισμένον πετρώδης ὄχθος ἐστὶν εἰς μήκιστον ὕψος ἐγηγερμένος, ὡς εἶναι καὶ διὰ τοῦτο δυσχείρωτος, μεμηχάνηται δ' ὑπὸ τῆς φύσεως εἶναι μηδὲ προσιτός· φάραγξιν γὰρ πάντοθεν ἀσύνοπτον ἐχούσαις τὸ βάθος περιτετάφρευται, μήτε περαθῆναι ῥᾳδίως δυναμέναις καὶ χωσθῆναι παντάπασιν ἀμηχάνοις. ἡ μὲν γὰρ ἀπὸ τῆς ἑσπέρας περιτέμνουσα παρατείνει σταδίους ἑξήκοντα, πέρας αὐτῆς τὴν Ἀσφαλτῖτιν ποιουμένη λίμνην· κατὰ τοῦτο δέ πῃ καὶ αὐτὸς ὁ Μαχαιροῦς τὴν ὑψηλοτάτην ἔχει κορυφὴν ὑπερανίσχουσαν· αἱ δ' ἀπὸ τῆς ἄρκτου καὶ μεσημβρίας φάραγγες μεγέθει μὲν ἀπολείπονται τῆς προειρημένης, ὁμοίως δ' εἰσὶν ἀμήχανοι πρὸς ἐπιχείρησιν. τῆς δὲ πρὸς ἀνατολὴν φάραγγος τὸ μὲν βάθος οὐκ ἔλαττον ἑκατὸν εὑρίσκεται πήχεων, τέρμα δὲ γίνεται πρὸς ὄρος ἀπαντικρὺ κείμενον Μαχαιροῦντος.

6, 2. ταύτην τοῦ τόπου κατιδὼν τὴν φύσιν βασιλεὺς Ἰουδαίων Ἀλέξανδρος πρῶτος ἐπ' αὐτοῦ τειχίζει φρούριον, ὃ μετὰ ταῦτα Γαβίνιος Ἀριστοβούλῳ πολεμῶν καθεῖλεν. Ἡρώδῃ δὲ βασιλεύοντι παντὸς ἔδοξε μᾶλλον ἐπιμελείας ἄξιον εἶναι καὶ κατασκευῆς ὀχυρωτάτης, μάλιστα καὶ διὰ

6, 1. Λουκίλιος ed. pr. (et Lat) λούκιος codd. 2. στρατηγίαν: στρατιὰν MVRC 8. ἀποστασίαν: ἀπόστασιν MLVRC 14. προσιτός: προσιόντος PA[1] προσβατός C 15. περαθῆναι: πειραθῆναι L 16. παντάπασιν: πάντοθεν L 18. αὐτῆς Bekker αὐτῆς codd. 22. ἀνατολὴν: τὴν ἀνατολὴν LVRC 30. ὀχυρωτάτης: ἰσχυροτάτης L

6, 1. Lucilio Basso, che era stato inviato in Giudea come legato[1] e aveva ricevuto le consegne da Vettuleno Ceriale[2], dopo aver preso la fortezza di Erodio con dentro la guarnigione, riuní insieme la legione decima e tutte le altre forze, che erano spezzettate in tanti distaccamenti, e decise di marciare contro Macherunte[3]. Era infatti assolutamente necessario eliminare questa fortezza, per evitare che con la sua solidità avesse ad indurre molti alla ribellione. E sta di fatto che la natura del luogo era quanto mai idonea a ispirare negli occupanti una salda speranza di salvezza, timore ed esitazione negli attaccanti. Infatti la fortezza, protetta all'intorno da una cinta di mura, consiste in una prominenza rocciosa che s'innalza a grandissima altezza[4], sí da essere anche per questo inespugnabile, e per di piú la natura l'ha fatta in modo da essere anche inaccessibile. Essa è infatti circondata da ogni parte da burroni di cui non si riesce a vedere il fondo, che né si possono facilmente attraversare né tanto meno colmare. Il precipizio che la sbarra ad occidente si estende per sessanta stadi terminando al lago Asfaltite, ed è da questa parte che Macherunte ha le sue punte piú elevate. I burroni sul versante settentrionale e sul meridionale sono meno profondi del precedente, ma restano ugualmente inattaccabili. Il burrone della parte orientale ha una profondità non inferiore ai cento cubiti, e termina a un monte che sorge di fronte a Macherunte.

6, 2. Considerate le caratteristiche di tale località, il re dei giudei Alessandro fu il primo a impiantarvi una fortezza, che venne piú tardi distrutta da Gabinio al tempo in cui fece guerra contro Aristobulo[5]. Quando poi diventò re Erode, questi considerò il luogo degno della massima attenzione per costruirvi la piú possente fortezza, specie per la sua vicinanza

τὴν τῶν Ἀράβων γειτνίασιν· κεῖται γὰρ ἐν ἐπικαίρῳ πρὸς τὴν ἐκείνων γῆν ἀποβλέπον. μέγαν μὲν οὖν τόπον τείχεσιν καὶ πύργοις περιβαλὼν πόλιν ἐνταῦθα κατῴκισεν, ἐξ ἧς ἄνοδος εἰς αὐτὴν ἔφερε τὴν ἀκρώρειαν. οὐ μὴν ἀλλὰ καὶ περὶ αὐτὴν ἄνω τὴν κορυφὴν τεῖχος ἐδείματο καὶ πύργους ἐπὶ ταῖς γωνίαις ἕκαστον ἑξήκοντα πηχῶν ἀνέστησεν. μέσον δὲ τοῦ περιβόλου βασίλειον ᾠκοδομήσατο μεγέθει τε καὶ κάλλει τῶν οἰκήσεων πολυτελές, πολλὰς δὲ καὶ δεξαμενὰς εἰς ὑποδοχὴν ὕδατος καὶ χορηγίαν ἄφθονον ἐν τοῖς ἐπιτηδειοτάτοις τῶν τόπων κατεσκεύασεν, ὥσπερ πρὸς τὴν φύσιν ἁμιλληθείς, ἵν' αὐτὸς τὸ κατ' ἐκείνην τοῦ τόπου δυσάλωτον ὑπερβάληται ταῖς χειροποιήτοις ὀχυρώσεσιν· ἔτι γὰρ καὶ βελῶν πλῆθος καὶ μηχανημάτων ἐγκατέθετο καὶ πᾶν ἐπενόησεν ἑτοιμάσασθαι τὸ παρασχεῖν δυνάμενον τοῖς ἐνοικοῦσιν μηκίστης πολιορκίας καταφρόνησιν.

6, 3. ἐπεφύκει δ' ἐν τοῖς βασιλείοις πήγανον ἄξιον τοῦ μεγέθους θαυμάσαι· συκῆς γὰρ οὐδεμιᾶς ὕψους καὶ πάχους ἐλείπετο. λόγος δ' ἦν ἀπὸ τῶν Ἡρώδου χρόνων αὐτὸ διαρκέσαι, κἂν ἐπὶ πλεῖστον ἴσως ἔμεινεν, ἐξεκόπη δ' ὑπὸ τῶν παραλαβόντων τὸν τόπον Ἰουδαίων. τῆς φάραγγος δὲ τῆς κατὰ τὴν ἄρκτον περιεχούσης τὴν πόλιν Βαάρας ὀνομάζεταί τις τόπος, ὃς φύει ῥίζαν ὁμωνύμως λεγομένην αὐτῷ. αὕτη φλογὶ μὲν τὴν χροίαν ἔοικε, περὶ δὲ τὰς ἑσπέρας σέλας ἀπαστράπτουσα τοῖς ἐπιοῦσι καὶ βουλομένοις λαβεῖν αὐτὴν οὐκ ἔστιν εὐχείρωτος, ἀλλ' ὑποφεύγει καὶ οὐ πρότερον ἵσταται, πρὶν ἄν τις οὖρον γυναικὸς ἢ τὸ ἔμμηνον αἷμα χέῃ κατ' αὐτῆς. οὐ μὴν ἀλλὰ καὶ τότε τοῖς ἁψαμένοις πρόδηλός ἐστι θάνατος, εἰ μὴ τύχοι τις αὐτὴν ἐκείνην ἐπενεγκάμενος τὴν ῥίζαν ἐκ τῆς χειρὸς ἀπηρτημένην. ἁλίσκεται δὲ καὶ καθ' ἕτερον τρόπον ἀκινδύνως, ὅς ἐστι τοιόσδε· κύκλῳ πᾶσαν

32. ἀποβλέπον: ἀποβλέπων PALV[1] ἐπιβλέπων C 36. ἕκαστον: ἑκατὸν PAMLVC Lat 41. τοῦ: om. R 42. ἔτι: ἔτι τε MVRC 45. μηκίστης: μήκει τῆς L *magnae* Lat 48. ἐλείπετο: ἀπελείπετο LC 52. ὃς ins. Destinon 56. ἔμμηνον: ἐμμήνιον C 58. τύχοι: τύ... P τύχῃ LVRC

agli arabi, trovandosi in eccellente posizione verso quel paese. Egli pertanto, racchiusa una grande area entro una cinta di mura e di torri, vi costruí una città, da cui una via in salita conduceva sino alla vetta. Anche quassú innalzò una cinta muraria collocando agli angoli delle torri che avevano ciascuna l'altezza di sessanta cubiti. Al centro delle mura fece costruire una reggia magnifica per la grandezza e la bellezza degli alloggi, predisponendo nei luoghi piú opportuni molte cisterne per raccogliere l'acqua e distribuirne in abbondanza, quasi gareggiasse con la natura per rendere con le sue opere di fortificazione ancora piú imprendibile un luogo che già era di per sé inespugnabile[6]. Inoltre vi aveva riposto una gran quantità di proiettili e di macchine e l'aveva provveduta di tutto ciò che potesse permettere agli abitanti di sfidare il piú lungo assedio.

6, 3. Nella reggia cresceva prima una pianta di ruta che s'era sviluppata in maniera straordinaria; infatti non c'era un albero di fico che la superasse in altezza e in grandezza. Si diceva che stava lí fin dai tempi di Erode, e forse sarebbe durata ancora molto a lungo, se non fosse stata tagliata dai giudei che s'erano impossessati del luogo[7]. Nel burrone che circonda verso nord la città v'è un luogo chiamato Baaras, ove cresce una radice che ha lo stesso nome. Questa è di color rosso fiamma e a sera emette una luminosità, ma da chi si avvicina e vuol prenderla non si lascia afferrare: sfugge e non si ferma se non dopo che le si versa sopra urina di donna o sangue mestruale. Ma anche allora chi la tocca muore senza scampo, a meno che non si riesca a trasportare quella stessa radice sospesa alla mano. Si può anche prendere senza correre pericoli in quest'altro modo. Si scava la terra tutt'intorno la-

αὐτὴν περιορύσσουσιν, ὡς εἶναι τὸ κρυπτόμενον τῆς ῥίζης βραχύτατον. εἶτ' ἐξ αὐτῆς ἀποδοῦσι κύνα, κἀκείνου τῷ δή- 184 σαντι συνακολουθεῖν ὁρμήσαντος, ἡ μὲν ἀνασπᾶται ῥᾳδίως, θνήσκει δ' εὐθὺς ὁ κύων ὥσπερ ἀντιδοθεὶς τοῦ μέλλοντος
65 τὴν βοτάνην ἀναιρήσεσθαι· φόβος γὰρ οὐδεὶς τοῖς μετὰ ταῦτα λαμβάνουσιν. ἔστι δὲ μετὰ τοσούτων κινδύνων διὰ μίαν 185 ἰσχὺν περισπούδαστος· τὰ γὰρ καλούμενα δαιμόνια, ταῦτα δὲ πονηρῶν ἐστιν ἀνθρώπων πνεύματα τοῖς ζῶσιν εἰσδυόμενα καὶ κτείνοντα τοὺς βοηθείας μὴ τυγχάνοντας, αὕτη ταχέως
70 ἐξελαύνει, κἂν προσενεχθῇ μόνον τοῖς νοσοῦσι. ῥέουσι δὲ 186 καὶ θερμῶν ὑδάτων πηγαὶ κατὰ τὸν τόπον, πολὺ τὴν γεῦσιν ἀλλήλων διαφέρουσαι· πικραὶ μὲν γὰρ αὐτῶν τινές εἰσιν, αἱ δὲ γλυκύτητος οὐδὲν ἀπολείπουσαι. πολλαὶ δὲ καὶ ψυ- 187 χρῶν ὑδάτων ἀναδόσεις οὐ μόνον ἐν τῷ χθαμαλωτέρῳ τὰς
75 πηγὰς παραλλήλους ἔχουσαι, ἀλλ' ὡς ἂν καὶ μᾶλλόν τις 188 θαυμάσειε, σπήλαιον γάρ τι πλησίον ὁρᾶται κοιλότητι μὲν οὐ βαθύ, τῇ πέτρᾳ δὲ προυχούσῃ σκεπόμενον· ταύτης ἄνω- 189 θεν ὡσανεὶ μαστοὶ δύο ἀνέχουσιν, ἀλλήλων ὀλίγῳ διεστῶ- τες, καὶ ψυχροτάτην μὲν ἅτερος πηγήν, ἅτερος δὲ θερμο-
80 τάτην ἐκδίδωσιν, αἳ μισγόμεναι ποιοῦσι λουτρὸν ἥδιστον παιώνιόν τε νοσημάτων, πολλῷ δὲ μάλιστα νεύρων ἄκεσιν. ἔχει δ' ὁ τόπος καὶ θείου καὶ στυπτηρίας μέταλλα.

6, 4. Βάσσος δὲ περισκεψάμενος τὸ χωρίον ἔγνω ποιεῖ- 190 σθαι τὴν πρόσοδον χωννὺς τὴν φάραγγα τὴν πρὸς ταῖς ἀνα-
85 τολαῖς καὶ τῶν ἔργων εἴχετο, σπουδὴν ποιούμενος ᾗ τάχος ἐξᾶραι τὸ χῶμα καὶ δι' αὐτοῦ ῥᾳδίαν ποιῆσαι τὴν πολιορ- κιαν. οἱ δ' ἔνδον ἀπειλημμένοι τῶν Ἰουδαίων αὐτοὶ καθ' 191 ἑαυτοὺς ἀπὸ τῶν ξένων διακριθέντες ἐκείνους μὲν ἠνάγκα- σαν, ὄχλον ἄλλως εἶναι νομίζοντες, ἐν τῇ κάτω πόλει πα-
90 ραμένειν καὶ τοὺς κινδύνους προεκδέχεσθαι, τὸ δ' ἄνω φρού- 192

69. τυγχάνοντας: τυχόντας ML 73. ἀπολείπουσαι: ἀπολείπουσι AMLVR 75. παραλλήλους: παραλλήλως PALVC παραλλήλων R | ἔχουσαι: ἔχουσιν ALVCR 81. μάλιστα: μᾶλλον L 83. περισκεψάμενος: πάντῃ περισκεψάμενος C 86. τὸ χῶμα: τὰ χώματα MVRC | αὐτοῦ: αὐτῶν MVRC

sciando coperta soltanto una piccolissima parte della radice. Poi vi si lega un cane e, quando questo si slancia per seguire 184 chi lo ha legato, la radice ne viene facilmente strappata via ma il cane muore immediatamente, come una vittima offerta in luogo di chi raccoglierà la pianta; infatti, non v'è in seguito alcun pericolo per chiunque la prenderà. Pur con tutti questi 185 pericoli essa è assai ricercata per un'unica sua proprietà: infatti basta solo avvicinarla a chi ne è afflitto per liberarlo immediatamente dai cosiddetti demoni, i quali sono spiriti di uomini malvagi che penetrano nei corpi dei viventi e li uccidono se non li si soccorre[8]. In quel luogo sgorgano anche sor- 186 genti di acque calde, che sono di gusto assai differente l'una dall'altra, alcune amare, altre quanto mai dolci. Vi sono anche 187 molte sorgenti di acqua fredda, che non soltanto sgorgano allineate in fila ad un livello piú basso ma, cosa ancora piú 188 strana, c'è nelle vicinanze una grotta non tanto profonda, ma riparata da una roccia a strapiombo; sopra a questa roccia si 189 rigonfiano come due mammelle, a poca distanza l'una dall'altra, e dalla prima scorre acqua freddissima, dalla seconda caldissima, che mescolate insieme offrono un bagno delizioso e salutare per varie malattie, ma efficacissimo soprattutto per la cura dei nervi[9]. Da quelle parti vi sono anche miniere di zolfo e di allume.

6, 4. Basso, dopo aver fatto una ricognizione del luogo 190 tutt'intorno, decise di appressarvisi mediante la colmata del burrone sul lato orientale[10], e si mise all'opera cercando di innalzare al piú presto il terrapieno che avrebbe reso agevole l'espugnazione. Nel frattempo, i giudei rimasti chiusi dentro 191 si separarono dagli stranieri[11] e, giudicando costoro una massa di nessun conto, li obbligarono a restare nella città bassa e ad affrontare per primi i pericoli, mentre essi occuparono la for- 192

www.scribd.com/Cultura_in_Ita5

ριον αὐτοὶ καταλαβόντες εἶχον καὶ διὰ τὴν ἰσχὺν τῆς ὀχυρό-
τητος καὶ προνοίᾳ τῆς σωτηρίας αὑτῶν· τεύξεσθαι γὰρ ἀφέ-
σεως ὑπελάμβανον, εἰ τὸ χωρίον Ῥωμαίοις ἐγχειρίσειαν.
193 πεῖρᾳ δὲ πρότερον ἐβούλοντο τὰς ὑπὲρ τοῦ διαφεύξεσθαι τὴν
95 πολιορκίαν ἐλπίδας ἐλέγξαι. διὰ τοῦτο καὶ προθύμως ἐποιοῦν-
το τὰς ἐξόδους ἀνὰ πᾶσαν ἡμέραν, καὶ τοῖς χοῦσι συμπλε-
κόμενοι πολλοὶ μὲν ἔθνησκον, πολλοὺς δὲ τῶν Ῥωμαίων
194 ἀνῄρουν. ἀεὶ δὲ τοῦ κρατεῖν ὁ καιρὸς ἐβράβευεν ἑκατέροις
τὸ πλέον, τοῖς μὲν Ἰουδαίοις, εἰ πρὸς ἀφυλακτοτέρους προ-
100 πέσοιεν, τοῖς δ' ἐπὶ τῶν χωμάτων προϊδομένοις, εἰ τὴν
195 ἐκδρομὴν αὐτῶν δέχοιντο πεφραγμένως. ἀλλ' οὐκ ἐν τού-
τοις ἔμελλεν γενήσεσθαι τὸ πέρας τῆς πολιορκίας, ἔργον δέ
τι πραχθὲν ἐκ συντυχίας παράλογον τῆς παραδόσεως τοῦ
196 φρουρίου τὴν ἀνάγκην ἐπέστησε τοῖς Ἰουδαίοις. ἦν ἐν τοῖς
105 πολιορκουμένοις νεανίας τολμῆσαί τε θρασὺς καὶ κατὰ
197 χεῖρα δραστήριος, Ἐλεάζαρος ὄνομα· γεγόνει δ' οὗτος ἐν
ταῖς ἐκδρομαῖς ἐπιφανής, τοὺς πολλοὺς ἐξιέναι καὶ κωλύειν
τὴν χῶσιν παρακαλῶν καὶ κατὰ τὰς μάχας πολλὰ καὶ δεινὰ
τοὺς Ῥωμαίους διατιθείς, τοῖς δὲ σὺν αὐτῷ τολμῶσιν ἐπεκ-
110 τρέχειν ῥᾳδίαν μὲν τὴν προσβολὴν τιθέμενος, ἀκίνδυνον δὲ
198 παρέχων τὴν ἀναχώρησιν τῷ τελευταῖος ἀπιέναι. καὶ δή
ποτε τῆς μάχης διακριθείσης καὶ γεγονυίας ἀμφοτέρων ἀνα-
χωρήσεως αὐτός, ἅτε δὴ περιφρονῶν καὶ νομίζων οὐκ ἂν
ἔτι τῶν πολεμίων οὐδένα τότε μάχης ἄρξειν, μείνας τῶν
115 πυλῶν ἔξω τοῖς ἐπὶ τοῦ τείχους διελάλει καὶ πᾶς πρὸς ἐκεί-
199 νοις τὴν διάνοιαν ἦν. ὁρᾷ δὲ τὸν καιρὸν τοῦ Ῥωμαϊκοῦ τις
στρατοπέδου Ῥοῦφος γένος Αἰγύπτιος, καὶ μηδενὸς ἂν
προσδοκήσαντος ἐξαίφνης ἐπιδραμὼν σὺν αὐτοῖς ἀράμενος
αὐτὸν τοῖς ὅπλοις, ἕως κατεῖχε τοὺς ἀπὸ τῶν τειχῶν ἰδόν-

92. προνοίᾳ: προνοίας V πρόνοιαν C | αὑτῶν Bekker αὐτῶν codd. 94. δια-φεύξεσθαι: διαφεύξασθαι LVRC 96. χοῦσι Destinon τυχοῦσι codd. 19. τοῦ: τὸ P 100. προϊδομένοις εἰ: προειδομένοις εἰ PAC εἰ προειδομένοις ML προϊδομένοις εἰς VR 111. ἀπιέναι: ἀπεῖναι MVRC 115-6. ἐκείνοις: ἐκεί-νους MVRC 116. τὸν καιρόν: αὐτὸν τὶς C | τις: om. C

tezza superiore sia per le sue difese solidissime, sia preoccupandosi di assicurarsi una via di scampo, nel senso che facevano conto di procurarsi eventualmente il perdono dei romani in cambio della consegna della fortezza[12]. 193 Prima però volevano mettere alla prova le loro speranze di resistere a un assedio; perciò ogni giorno facevano coraggiose sortite e, assaliti i soldati che lavoravano al terrapieno, molti cadevano cosí come molti erano i romani che restavano uccisi. 194 Erano invariabilmente le circostanze a consentire di avere la meglio ora agli uni ora agli altri: ai giudei se trovavano i nemici meno pronti a respingerli, ai romani addetti ai lavori di colmata quando, prevedendo l'attacco, lo attendevano disposti a difesa. 195 Ma non furono tali scontri a decidere l'esito dell'assedio, bensí uno strano caso accidentale, che costrinse i giudei a consegnare la fortezza. 196 Tra gli assediati v'era un giovane di grande coraggio e assai valoroso, di nome Eleazar; 197 questi si era distinto nelle sortite, incitando i piú dei compagni a uscire dalle mura e a ostacolare il lavoro dei terrapieni, infliggendo ai romani negli scontri molte e pesanti perdite, rendendo piú agevole l'assalto a coloro che ardivano venir fuori assieme a lui e piú sicura la ritirata essendo l'ultimo a tornare indietro. 198 Una volta, dopo che lo scontro s'era concluso e le due parti s'erano separate, nella sprezzante sicurezza che nessun nemico avrebbe allora ripreso la lotta, egli rimase fuori delle porte e si mise a chiacchierare con i compagni che stavano sulle mura senza badare a nient'altro[13]. 199 Approfittando dell'occasione, un soldato dell'esercito romano, un tal Rufo oriundo dall'Egitto, mentre nessuno se l'aspettava, gli piombò addosso all'improvviso, lo afferrò con tutte le armi, e mentre lo sbigottimento paralizzava quelli che stavano a guardare dalle

120 τας ἔκπληξις, φθάνει τὸν ἄνδρα μεταθεὶς πρὸς τὸ Ῥωμαίων
στρατόπεδον. τοῦ δὲ στρατηγοῦ κελεύσαντος γυμνὸν δια- 200
λαβεῖν αὐτὸν καὶ καταστήσαντας εἰς τὸ φανερώτατον τοῖς
ἐκ τῆς πόλεως ἀποβλέπουσι μάστιξιν αἰκίζεσθαι, σφόδρα
τοὺς Ἰουδαίους τὸ περὶ τὸν νεανίαν πάθος συνέχεεν, ἀθρόα
125 τε ἡ πόλις ἀνῴμωξε, καὶ θρῆνος ἦν μείζων ἢ καθ' ἑνὸς
ἀνδρὸς συμφοράν. τοῦτο συνιδὼν ὁ Βάσσος κατὰ τῶν πο- 201
λεμίων ἀρχὴν ἐποιήσατο στρατηγήματος, καὶ βουληθεὶς αὐ-
τῶν ἐπιτεῖναι τὸ περιαλγές, ἵνα βιασθῶσιν ἀντὶ τῆς σωτη-
ρίας τἀνδρὸς ποιήσασθαι τοῦ φρουρίου παράδοσιν, τῆς ἐλ-
130 πίδος οὐ διήμαρτεν. ὁ μὲν γὰρ προσέταξε καταπηγνύναι 202
σταυρὸν ὡς αὐτίκα κρεμῶν τὸν Ἐλεάζαρον, τοῖς δ' ἀπὸ τοῦ
φρουρίου τοῦτο θεασαμένοις ὀδύνη τε πλείων προσέπεσε,
καὶ διωλύγιον ἀνῴμωζον οὐκ ἀνασχετὸν εἶναι τὸ πάθος
βοῶντες. ἐνταῦθα δὴ τοίνυν Ἐλεάζαρος ἱκέτευεν αὐτοὺς μήτ' 203
135 αὐτὸν περιιδεῖν ὑπομείναντα θανάτων τὸν οἴκτιστον καὶ
σφίσιν αὐτοῖς τὴν σωτηρίαν παρασχεῖν τῇ Ῥωμαίων εἴξαν-
τας ἰσχύι καὶ τύχῃ μετὰ πάντας ἤδη κεχειρωμένους. οἱ δὲ 204
καὶ πρὸς τοὺς ἐκείνου λόγους κατακλώμενοι καὶ πολλῶν
ἔνδον ὑπὲρ αὐτοῦ δεομένων, ἦν γὰρ ἐκ μεγάλης καὶ σφόδρα
140 πολυανθρώπου συγγενείας, παρὰ τὴν αὑτῶν φύσιν εἰς οἶκτον
ἐνέδωκαν, καί τινας ἐξαποστείλαντες κατὰ τάχος διελέγοντο 205
ποιεῖσθαι τὴν παράδοσιν τοῦ φρουρίου ἀξιοῦντες, ἵν' ἀδεεῖς
ἀπαλλάττωνται κομισάμενοι τὸν Ἐλεάζαρον. δεξαμένων δὲ 206
τῶν Ῥωμαίων καὶ τοῦ στρατηγοῦ ταῦτα, τὸ πλῆθος τῶν
145 ἐν τῇ κάτω πόλει τὴν γεγενημένην ἰδίᾳ τοῖς Ἰουδαίοις πυ-
θόμενοι σύμβασιν αὐτοὶ κατὰ νύκτα λαθόντες ἔγνωσαν ἀπο-
δρᾶναι. τὰς πύλας δ' αὐτῶν ἀνοιξάντων παρὰ τῶν τὴν ὁμο- 207
λογίαν πεποιημένων πρὸς τὸν Βάσσον ἧκεν μήνυσις, εἴτ'

120. μεταθεὶς: μετατιθεὶς PA   122. καταστήσαντας: καταστήσαντος PAC
125. μείζων: μεῖζον C   131. κρεμῶν: κρεμνῶν PAL κρεμὼν VRC | τοῖς: τοὺς
PA¹L   132. θεασαμένοις: θεασαμένους PA¹L   140. αὑτῶν Bekker αὐτῶν
PAMLC αὐτὴν VR   146. λαθόντες: μαθόντες VR

mura, si affrettò a trasportarlo nel campo dei romani. Avendo 200
il comandante dato ordine di denudarlo e, portatolo nel luogo
meglio visibile da quelli che stavano nella città, di infliggergli
la flagellazione, i giudei furono profondamente turbati dalla
triste sorte del giovane e tutta la città proruppe in lamenti e in
gemiti sproporzionati alla disgrazia di una persona sola. Al 201
veder ciò, Basso ideò uno stratagemma contro i nemici, pen-
sando di esasperare il loro dolore sí da costringerli a conse-
gnare la fortezza in cambio della grazia al giovane; e le sue
speranze non andarono deluse. Comandò infatti di piantare 202
una croce come se volesse immediatamente appendervi Eleazar,
e a tale spettacolo quelli della fortezza furono presi da un'an-
goscia ancora piú grande, gridando fra alti gemiti che quella
era una disgrazia intollerabile. Nello stesso tempo Eleazar 203
prese a supplicarli di non lasciare che egli subisse la morte
piú dolorosa e, insieme, di pensare alla loro salvezza cedendo
alla forza e alla fortuna dei romani, dal momento che tutti
quanti erano stati sottomessi[14]. Quelli allora, impietositi dalle 204
sue parole e cedendo alle preghiere che nella città molti fa-
cevano in suo favore, poiché apparteneva a una famiglia co-
spicua e assai numerosa, si lasciarono vincere dalla pietà – cosa
contraria alla loro natura – e inviarono senza indugi alcuni a 205
trattare la resa della fortezza mettendo come condizione di
potersi liberamente allontanare portando seco Eleazar. Quan- 206
do i romani e il loro comandante ebbero accettate tali condi-
zioni, la massa di quelli che stavano nella città bassa vennero
a sapere dell'accordo separato pattuito dai giudei, e da parte
loro decisero di darsi segretamente alla fuga nella notte. Ma 207
essi avevano appena aperto le porte che Basso ne venne in-
formato da coloro che avevano stipulato l'accordo con lui,

www.scribd.com/Cultura_in_Ita5

οὖν τῆς σωτηρίας αὐτοῖς φθονησάντων εἴτε καὶ διὰ δέος,
150 μὴ τὴν αἰτίαν αὐτοὶ λάβωσι τῆς ἐκείνων ἀποδράσεως. οἱ 208
μὲν οὖν ἀνδρειότατοι τῶν ἐξιόντων ἔφθασαν διεκπαίσασθαι
καὶ διαφυγεῖν, τῶν δ' ἔνδον καταλειφθέντων ἄνδρες μὲν ἀνῃ-
ρέθησαν ἐπὶ τοῖς χιλίοις ἑπτακόσιοι, γύναια δὲ καὶ παῖδες
ἠνδραποδίσθησαν. τὰς δὲ πρὸς τοὺς παραδόντας τὸ φρούριον 209
155 ὁμολογίας οἰόμενος δεῖν ὁ Βάσσος διαφυλάττειν αὐτούς τ'
ἀφίησιν καὶ τὸν 'Ελεάζαρον ἀπέδωκε.

6, 5. ταῦτα δὲ διοικησάμενος ἠπείγετο τὴν στρατιὰν 210
ἄγων ἐπὶ τὸν προσαγορευόμενον 'Ιάρδην δρυμόν· πολλοὶ
γὰρ εἰς αὐτὸν ἠγγέλθησαν ἠθροῖσθαι τῶν κατὰ τὰς πολιορ-
160 κίας πρότερον ἔκ τε 'Ιεροσολύμων καὶ Μαχαιροῦντος ἀπο-
δράντων. ἐλθὼν οὖν ἐπὶ τὸν τόπον καὶ γνοὺς τὴν ἀγγελίαν 211
οὐκ ἐψευσμένην πρῶτον μὲν τοῖς ἱππεῦσιν ἅπαν κυκλοῦται
τὸ χωρίον, ὅπως τοῖς διεκπαίεσθαι τολμῶσιν τῶν 'Ιου-
δαίων ἄπορος ἡ φυγὴ γίνηται διὰ τοὺς ἱππέας· τοὺς δὲ
165 πεζοὺς ἐκέλευσεν δενδροτομεῖν τὴν ὕλην, εἰς ἣν κατα-
πεφεύγεσαν. καθίστανται δὲ διὰ τοῦτο πρὸς ἀνάγκην οἱ 'Ιου- 212
δαῖοι τοῦ δρᾶν τι γενναῖον, ὡς ἐκ παραβόλου ἀγωνίσασθαι
τάχα ἂν καὶ διαφυγόντες, ἀθρόοι δὲ καὶ μετὰ βοῆς ᾄξαντες
ἐνέπιπτον τοῖς κεκυκλωμένοις. οἱ δ' αὐτοὺς ἐδέχοντο καρ- 213
170 τερῶς, καὶ πολλῇ τῶν μὲν ἀπονοίᾳ τῶν δὲ φιλονεικίᾳ χρω-
μένων χρόνος μὲν οὐκ ὀλίγος διὰ τοῦτο τῇ μάχῃ προύβη,
τέλος δ' αὐτῆς οὐχ ὅμοιον ἀπέβη τοῖς ἀγωνισαμένοις. 'Ρω- 214
μαίων μὲν γὰρ δώδεκα τοὺς πάντας συνέβη πεσεῖν ὀλίγους
τε τρωθῆναι, τῶν 'Ιουδαίων δὲ ἐκ τῆς μάχης ταύτης οὐδεὶς
175 διέφυγεν, ἀλλ' ὄντες οὐκ ἐλάττους τρισχιλίων πάντες ἀπέθα-
νον, καὶ ὁ στρατηγὸς αὐτῶν 'Ιούδας ὁ τοῦ 'Αρεῖ παῖς, περὶ 215

149. αὐτοῖς: αὐτῶν PA^{1}LC | καὶ: om. PAVR 151. ἔφθασαν: ἔφυγον C
152. διαφυγεῖν: διέφυγον C | καταλειφθέντων: καταληφθέντων VRC 165.
γίνηται: γίγνηται VRC 166. ἐκέλευσεν: ἐκέλευε AMVR 168. παραβόλου:
παραλόγου P τοῦ παραβόλως A^2 173. αὐτῆς: αὐτοῖς PA^1 174. μὲν: om.
PAM 175. τῶν: om. P 176. ἀλλ' ὄντες: ἁλόντες PL ἁλόντες δ' A
ἀλλὰ ὄντες VR

sia che non avessero piacere di vederli salvarsi, sia anche per
il timore di sentirsi addossata la colpa della loro fuga. In con- 208
clusione, solo i piú coraggiosi dei fuggiaschi riuscirono ad
aprirsi la strada e a trovar scampo, mentre di quelli che ven-
nero catturati entro la città gli uomini furono uccisi in numero
di millesettecento, le donne e i bambini furono fatti schiavi.
Quanto a quelli che avevano pattuito la resa della fortezza, 209
Basso ritenne di dover rispettare l'impegno e li lasciò andare
consegnando loro Eleazar.

6, 5. Sistemate queste cose, Basso condusse l'esercito alla 210
volta della foresta detta di Iardes[15], dove gli era stato riferito
che si erano raccolti molti degli scampati all'assedio di Geru-
salemme e a quello di Macherunte. Arrivato sul posto e con- 211
statato che l'informazione era esatta, fece per prima cosa cir-
condare tutto il luogo dalla cavalleria per impedire la fuga
ai giudei che tentassero di eclissarsi, mentre ai fanti diede or-
dine di abbattere la foresta dentro cui si riparavano. I giudei 212
furono pertanto messi nella necessità di compiere un'azione
valorosa, nella speranza di riuscire dopo una lotta accanita
ad aprirsi una via di scampo, e ad un certo momento balza-
rono fuori tra grandi clamori e si scagliarono contro gli uo-
mini che li accerchiavano. Questi opposero una strenua resi- 213
stenza, e poiché gli uni erano spinti da una grande dispera-
zione e gli altri da non minore emulazione, il combattimento
si protrasse a lungo, ma con una conclusione assai diversa
per le due parti. Dei romani infatti caddero in tutto soltanto 214
dodici uomini, e pochi furono i feriti, mentre dei giudei nes-
suno scampò da questa battaglia, ma ne morirono non meno
di tremila, quanti erano tutti[16], compreso il loro capo Giuda 215

οὗ πρότερον εἰρήκαμεν ὅτι τάξεως ἡγούμενός τινος ἐν τῇ πολιορκίᾳ τῶν Ἱεροσολύμων κατά τινας διαδὺς τῶν ὑπονόμων ἔλαθεν ἀποδράς.

180 **6,** 6. περὶ δὲ τὸν αὐτὸν καιρὸν ἐπέστειλε Καῖσαρ Βάσσῳ 216 καὶ Λαβερίῳ Μαξίμῳ, οὗτος δ' ἦν ἐπίτροπος, κελεύων πᾶσαν γῆν ἀποδόσθαι τῶν Ἰουδαίων. οὐ γὰρ κατῴκισεν 217 ἐκεῖ πόλιν ἰδίαν αὐτῷ τὴν χώραν φυλάττων, ὀκτακοσίοις δὲ μόνοις ἀπὸ τῆς στρατιᾶς διαφειμένοις χωρίον ἔδωκεν 185 εἰς κατοίκησιν, ὃ καλεῖται μὲν Ἀμμαοῦς, ἀπέχει δὲ τῶν Ἱεροσολύμων σταδίους τριάκοντα. φόρον δὲ τοῖς ὁπου- 218 δηποτοῦν οὖσιν Ἰουδαίοις ἐπέβαλεν, δύο δραχμὰς ἕκαστον κελεύσας ἀνὰ πᾶν ἔτος εἰς τὸ Καπετώλιον φέρειν, ὥσπερ πρότερον εἰς τὸν ἐν Ἱεροσολύμοις νεὼν συνετέλουν. καὶ 190 τὰ μὲν Ἰουδαίων τότε τοιαύτην εἶχε κατάστασιν.

7, 1. ἤδη δ' ἔτος τέταρτον Οὐεσπασιανοῦ διέποντος 219 τὴν ἡγεμονίαν συνέβη τὸν βασιλέα τῆς Κομμαγηνῆς Ἀντίοχον μεγάλαις συμφοραῖς πανοικεσίᾳ περιπεσεῖν ἀπὸ τοιαύτης αἰτίας. Καισέννιος Παῖτος, ὁ τῆς Συρίας ἡγεμὼν τότε 220 5 καθεστηκώς, εἴτ' οὖν ἀληθεύων εἴτε καὶ διὰ τὴν πρὸς Ἀντίοχον ἔχθραν, οὐ σφόδρα γὰρ τὸ σαφὲς ἠλέγχθη, γράμματα πρὸς Καίσαρα διεπέμψατο, λέγων τὸν Ἀντίοχον μετὰ 221 τοῦ παιδὸς Ἐπιφανοῦς διεγνωκέναι Ῥωμαίων ἀφίστασθαι, συνθήκας πρὸς τὸν βασιλέα τῶν Πάρθων πεποιημένον· δεῖν 222 10 οὖν προκαταλαβεῖν αὐτούς, μὴ φθάσαντες τῶν πραγμάτων ἄρξασθαι πᾶσαν τὴν Ῥωμαίων ἀρχὴν πολέμῳ συνταράξωσιν. ἔμελλε δὲ Καῖσαρ τοιούτου μηνύματος αὐτῷ προσ- 223 πεσόντος μὴ περιορᾶν· καὶ γὰρ ἡ γειτνίασις τῶν βασιλέων ἐποίει τὸ πρᾶγμα μείζονος ἄξιον προνοίας· τὰ γὰρ 224

180. ἀποδράς: ὑποδράς LVR¹ 182. Λαβερίῳ: Lat λιβερίω PAMVRC λεβερίω L 184. αὐτῷ Dindorf αὐτῶ L αὐτῶν PAVRC 185. διαφειμένοις: διαφιεμένοις LVR
7, 3. ἀπό: ἀπὸ τῆς M 4. Καισέννιος Hudson κεσσένιος PAL κεσσέννιος M κεσέννιος VRC | Παῖτος Hudson πέτος codd. 11. ἄρξασθαι: om. PAM 12. δὲ: om. P

figlio di Ari[17], di cui già abbiamo detto che nell'assedio di Gerusalemme comandava un reparto e che era riuscito a mettersi in salvo calandosi nelle gallerie sotterranee.

6, 6. All'incirca in quel tempo l'imperatore ordinò a Basso 216 e a Laberio Massimo, che era il procuratore, di assoggettare tutto il territorio della Giudea al regime della locazione in affitto. Egli infatti non vi costituí alcuna città, riservandosi 217 quella regione come sua proprietà privata[18], e soltanto a ottocento soldati inviati in congedo fece la concessione di costituire una colonia nella località che si chiama Emmaus e dista trenta stadi da Gerusalemme[19]. Egli poi impose a tutti 218 i giudei, dovunque risiedessero, una tassa di due dracme a testa da versare annualmente al Campidoglio come prima l'avevano versata al tempio di Gerusalemme[20]. Tale, dunque, fu la sistemazione data allora alla Giudea.

7, 1. Era già il quarto anno di regno di Vespasiano quando 219 Antioco, re della Commagene, si trovò implicato con tutta la famiglia in una terribile situazione per il seguente motivo[1]. Cesennio Peto[2], che allora era il governatore della Siria, o in 220 buona fede o per avversione contro Antioco – cosa che non si è mai messa in chiaro – mandò una lettera a Vespasiano accusando Antioco, e insieme suo figlio Epifane[3], di voler 221 ribellarsi ai romani e di aver perciò fatto lega col re dei Parti; bisognava quindi prevenirli per evitare che essi avessero il 222 tempo d'iniziare l'impresa e sconvolgessero con la guerra tutto l'impero romano. Pervenutagli una simile denunzia, l'impe- 223 ratore non poteva non tenerne conto, anche perché la vicinanza dei due re attirava sulla cosa una considerazione ancora piú attenta. Infatti la città di Samosata, la maggiore della 224

15 Σαμόσατα, τῆς Κομμαγηνῆς μεγίστη πόλις, κεῖται παρὰ τὸν Εὐφράτην, ὥστ' εἶναι τοῖς Πάρθοις, εἴ τι τοιοῦτον διενενόηντο, ῥᾴστην μὲν τὴν διάβασιν, βεβαίαν δὲ τὴν ὑποδοχήν. πιστευθεὶς οὖν ὁ Παῖτος καὶ λαβὼν ἐξουσίαν πράττειν ἃ δοκεῖ συμφέρειν οὐκ ἐμέλλησεν, ἐξαίφνης δὲ τῶν περὶ 20 τὸν Ἀντίοχον οὐδὲν προσδοκώντων εἰς τὴν Κομμαγηνὴν ἐνέβαλεν, τῶν μὲν ταγμάτων ἄγων τὸ ἕκτον καὶ πρὸς τούτῳ λόχους καί τινας ἴλας ἱππέων· συνεμάχουν δὲ καὶ βασιλεῖς αὐτῷ τῆς μὲν Χαλκιδικῆς λεγομένης Ἀριστόβουλος, τῆς Ἐμέσης δὲ καλουμένης Σόαιμος. ἦν δ' αὐτοῖς 25 τὰ περὶ τὴν εἰσβολὴν ἀνανταγώνιστα· τῶν γὰρ κατὰ τὴν χώραν οὐδεὶς ἤθελε χεῖρας ἀνταίρειν. Ἀντίοχος δὲ τῆς ἀγγελίας ἀδοκήτως προσπεσούσης πολέμου μὲν οὐδ' ἐπίνοιαν πρὸς Ῥωμαίους ἔσπασεν, ἔγνω δὲ πᾶσαν τὴν βασιλείαν ὡς εἶχεν ἐπὶ ὀχήματος καταλιπὼν μετὰ γυναικὸς 30 καὶ τέκνων ὑπεξελθεῖν, οὕτως ἂν οἰόμενος καθαρὸν Ῥωμαίοις αὐτὸν ἀποδεῖξαι τῆς ἐπενηνεγμένης αἰτίας. καὶ προελθὼν ἀπὸ τῆς πόλεως ἑκατὸν σταδίους πρὸς τοῖς εἴκοσιν εἰς τὸ πεδίον ἐν αὐτῷ καταυλίζεται.

7, 2. Παῖτος δ' ἐπὶ μὲν τὰ Σαμόσατα τοὺς καταλη- 35 ψομένους ἀποστέλλει καὶ δι' ἐκείνων εἶχε τὴν πόλιν, αὐτὸς δὲ μετὰ τῆς ἄλλης δυνάμεως ἐπ' Ἀντίοχον ἐποιεῖτο τὴν ὁρμήν. οὐ μὴν ὁ βασιλεὺς οὐδ' ὑπὸ τῆς ἀνάγκης προήχθη πρᾶξαί τι πρὸς Ῥωμαίους πολεμικόν, ἀλλὰ τὴν αὐτοῦ τύχην ὀδυρόμενος ὅ τι δέοι παθεῖν ὑπέμενε· νέοις δὲ καὶ πολέμων 40 ἐμπείροις καὶ ῥώμῃ σωμάτων διαφέρουσιν οὐ ῥᾴδιον ἦν τοῖς παισὶν αὐτοῦ τὴν συμφορὰν ἀμαχεὶ καρτερεῖν· τρέπονται οὖν πρὸς ἀλκὴν Ἐπιφανής τε καὶ Καλλίνικος. σφοδρᾶς δὲ τῆς μάχης καὶ παρ' ὅλην τὴν ἡμέραν γενομένης αὐτοὶ τὴν ἀνδρείαν διαπρεπῆ παρέσχον καὶ μηδὲν ἐλατ-

15. μεγίστη: μετέστη PA ἡ μεγίστη L 16. τοιοῦτον: τοιοῦτο AML 18. οὖν ὁ: οὖν VRC ὁ P *igitur* Lat 22. τούτῳ: τοῦτο PALVR 24. Σόαιμος: σόλιμος PA σόεμος MVRC 29. ὀχήματος Naber σχήματος codd. 37. μὴν: μὴν οὖν VR 38. αὐτοῦ Dindorf αὐτοῦ codd. 39. ὑπέμενε: ὑπέμειεν A

Commagene, è sita sull'Eufrate, sí che i Parti, se ne avessero avuto l'intenzione, avrebbero potuto assai facilmente passare il fiume e mettere piede tranquillamente sull'altra sponda. Cosí 225 Peto fu creduto e, ottenuta l'autorizzazione ad agire nel modo piú opportuno, non ebbe un attimo di esitazione[4]; senza che Antioco e i suoi se l'aspettassero minimamente, invase la Commagene alla testa della legione sesta rinforzata da alcune coorti e ali di cavalleria. Inoltre lo appoggiavano con un loro 226 contingente gli alleati Aristobulo, re della regione chiamata Calcidica, e Soemo, re di quella che prende il nome da Emesa[5]. L'invasione avvenne senza colpo ferire, perché nessuno nel 227 paese aveva intenzione di muovere un dito per resistere. Quan- 228 do fu raggiunto dall'inaspettata notizia, Antioco non pensò nemmeno un minuto a far guerra contro i romani, ma decise di abbandonare il regno, lasciando tutto come stava, e di allontanarsi nascostamente su un carro con la moglie e i figli, sperando cosí di dimostrare ai romani la sua innocenza rispetto all'accusa mossa contro di lui. E, allontanatosi di cento- 229 venti stadi dalla città in direzione della pianura, vi si accampò.

7, 2. Peto inviò un distaccamento a prendere Samosata e 230 a tener presidiata la città, mentre egli col resto dell'esercito mosse contro Antioco. Ma il re nemmeno in tali strette si 231 decise a compiere qualche atto ostile verso i romani e, lamentando il suo destino, era disposto a subire qualunque sorte; non era facile, invece, che piegassero il capo senza com- 232 battere i suoi figli, i quali erano giovani, esperti di guerra e di straordinaria prestanza fisica. E cosí Epifane e Callinico[6] impugnarono le armi. La battaglia divampò violenta per un'in- 233 tera giornata; essi diedero splendide prove di valore e, quando a sera le due opposte schiere si separarono, i loro uomini non

45 τωθείσῃ τῇ σφετέρᾳ δυνάμει ἑσπέρᾳ διελύθησαν. Ἀν- 234
τιόχῳ δ' οὐδ' ἐπὶ τῇ μάχῃ τοῦτον κεχωρηκυίᾳ τὸν τρόπον
μένειν ἀνεκτὸν ἐδόκει, λαβὼν δὲ τὴν γυναῖκα καὶ τὰς θυ-
γατέρας μετ' ἐκείνων ἐποιεῖτο τὴν φυγὴν εἰς Κιλικίαν, καὶ
τοῦτο πράξας τὰ φρονήματα τῶν οἰκείων στρατιωτῶν κα-
50 τέκλασεν· ὡς γὰρ κατεγνωσμένης ὑπ' αὐτοῦ τῆς βασιλείας 235
ἀπέστησαν καὶ πρὸς τοὺς Ῥωμαίους μετεβάλοντο, καὶ πάν-
των πρόδηλος ἦν ἀπόγνωσις. πρὶν οὖν τελέως ἐρημωθῆναι 236
τῶν συμμάχων τοῖς περὶ τὸν Ἐπιφανῆ σώζειν αὐτοὺς
ἐκ τῶν πολεμίων ἦν ἀναγκαῖον, καὶ γίνονται δέκα σύμ-
55 παντες ἱππεῖς οἱ μετ' αὐτῶν τὸν Εὐφράτην διαβαλόντες,
ἔνθεν ἤδη μετ' ἀδείας πρὸς τὸν βασιλέα τῶν Πάρθων Βο- 237
λογέσην κομισθέντες οὐχ ὡς φυγάδες ὑπερηφανήθησαν, ἀλλ'
ὡς ἔτι τὴν παλαιὰν ἔχοντες εὐδαιμονίαν πάσης τιμῆς ἠξιώ-
θησαν.

60 **7, 3.** Ἀντιόχῳ δ' εἰς Ταρσὸν ἀφιγμένῳ τῆς Κιλικίας 238
ἑκατοντάρχην Παῖτος ἐπιπέμψας δεδεμένον αὐτὸν εἰς Ῥώ-
μην ἀπέστειλεν. Οὐεσπασιανὸς δ' οὕτως οὐχ ὑπέμεινεν 239
πρὸς αὐτὸν ἀναχθῆναι τὸν βασιλέα, τῆς παλαιᾶς ἀξιῶν
φιλίας μᾶλλον αἰδῶ λαβεῖν ἢ διὰ τὴν τοῦ πολέμου πρόφασιν
65 ἀπαραίτητον ὀργὴν διαφυλάττειν. κελεύει δὴ καθ' ὁδὸν ἔτ' 240
ὄντος αὐτοῦ τῶν δεσμῶν ἀφαιρεθῆναι καὶ παρέντα τὴν εἰς
τὴν Ῥώμην ἄφιξιν τὸ νῦν ἐν Λακεδαίμονι διάγειν, δίδωσί
τε μεγάλας αὐτῷ προσόδους χρημάτων, ὅπως μὴ μόνον
ἄφθονον ἀλλὰ καὶ βασιλικὴν ἔχοι τὴν δίαιταν. ταῦτα τοῖς
70 περὶ τὸν Ἐπιφανῆ πυθομένοις, πρότερον σφόδρα περὶ τοῦ 241
πατρὸς δεδιόσιν, ἀνείθησαν αἱ ψυχαὶ μεγάλης καὶ δυσ-
διαθέτου φροντίδος. ἐλπὶς δὲ καὶ αὐτοῖς τῶν παρὰ Καίσα- 242

45. ἑσπέρᾳ: ἑσπέρας RC om. Lat   48. τὴν φυγήν: φυγεῖν P φυγὴν MVRC
50. κατεγνωσμένης: ἀπεγνωσμένης LC   51-2. πάντων: τούτων VR   53.
αὐτοὺς: αὑτοὺς LRC   55. διαβαλόντες Holwerda διαλαβόντες PAMVR δια-
βάντες LC   63. ἀξιῶν: ἄξιον P   66. ἀφαιρεθῆναι: ἀφαιρεθέντα MVRC
69. τὴν: om. PAML

avevano affatto avuto la peggio. Ma anche dopo una battaglia 234
che aveva avuto un tal esito Antioco non seppe decidersi a
rimanere e, prese con sé la moglie e le figlie, fuggí in Cilicia,
distruggendo cosí il morale dei suoi soldati i quali, come se 235
egli avesse deciso la fine del suo regno, cambiarono bandiera
e si consegnarono ai romani, pur essendo chiaro che erano
tutti disperati. Prima di essere completamente abbandonati dai 236
loro alleati, Epifane e i suoi soldati dovettero cercar scampo
dai nemici, e furono in tutto dieci soldati a cavallo ad attra-
versare con loro l'Eufrate; di lí senza ormai alcun timore 237
furono condotti dinanzi al re dei Parti Vologese, da cui ven-
nero trattati non superbamente, come dei fuggiaschi, ma ac-
colti con ogni onore, come se fossero ancora nell'antica for-
tuna.

7, 3. Arrivato a Tarso nella Cilicia, Antioco venne cat- 238
turato da un centurione spedito da Peto e inviato a Roma
in catene. Vespasiano però non volle che il re gli fosse pre- 239
sentato in quelle condizioni, desideroso di rispettare un'antica
amicizia piú che di serbare un implacabile rancore a motivo
della guerra[7]. Perciò, mentre quello era ancora in viag- 240
gio, diede ordine di liberarlo dalle catene e, sospendendo il
viaggio a Roma, lo fece fermare per il momento a Sparta;
gli concesse inoltre delle cospicue rendite, sí che non soltanto
non avesse a patire ristrettezze, ma potesse mantenere un
tenore di vita da re. Quando furono informati di questo, 241
Epifane e i suoi, che prima avevano molto temuto per la
sorte del padre, si sentirono liberati da una grave e insop-
portabile ansietà. Sperarono poi anch'essi di potersi riconci- 242

ρος διαλλαγῶν ἐγένετο Βολογέσου περὶ αὐτῶν ἐπιστεί-
λαντος· οὐδὲ γὰρ εὐδαιμονοῦντες ὑπέμενον ἔξω τῆς Ῥω-
75 μαίων ζῆν ἡγεμονίας. δόντος δὲ Καίσαρος ἡμέρως αὐτοῖς 243
τὴν ἄδειαν εἰς Ῥώμην παρεγένοντο, τοῦ τε πατρὸς ὡς
αὐτοὺς ἐκ τῆς Λακεδαίμονος εὐθὺς ἐλθόντος πάσης ἀξιού-
μενοι τιμῆς κατέμενον ἐνταῦθα.

7, 4. τὸ δὲ τῶν Ἀλανῶν ἔθνος ὅτι μέν εἰσι Σκύθαι 244
80 περὶ τὸν Τάναϊν καὶ τὴν Μαιῶτιν λίμνην κατοικοῦντες,
πρότερόν που δεδηλώκαμεν, κατὰ τούτους δὲ τοὺς χρόνους 245
διανοηθέντες εἰς τὴν Μηδίαν καὶ προσωτέρω ταύτης ἔτι
καθ' ἁρπαγὴν ἐμβαλεῖν τῷ βασιλεῖ τῶν Ὑρκανῶν διαλέ-
γονται· τῆς παρόδου γὰρ οὗτος δεσπότης ἐστίν, ἣν ὁ βασι-
85 λεὺς Ἀλέξανδρος πύλαις σιδηραῖς κλειστὴν ἐποίησε. κἀκείνου 246
τὴν εἴσοδον αὐτοῖς παρασχόντος ἀθρόοι καὶ μηδὲν προϋ-
ποπτεύσασι τοῖς Μήδοις ἐπιπεσόντες χώραν πολυάνθρωπον
καὶ παντοίων ἀνάμεστον βοσκημάτων διήρπαζον μηδενὸς
αὐτοῖς τολμῶντος ἀνθίστασθαι. καὶ γὰρ ὁ βασιλεύων τῆς 247
90 χώρας Πάκορος ὑπὸ δέους εἰς τὰς δυσχωρίας ἀναφεύγων
τῶν μὲν ἄλλων ἁπάντων παρακεχωρήκει, μόλις δὲ παρ'
αὐτῶν ἐρρύσατο τήν τε γυναῖκα καὶ τὰς παλλακὰς αἰχ-
μαλώτους γενομένας ἑκατὸν δοὺς τάλαντα. μετὰ πολλῆς 248
οὖν ῥᾳστώνης ἀμαχεὶ ποιούμενοι τὰς ἁρπαγὰς μέχρι τῆς
95 Ἀρμενίας προῆλθον πάντα λεηλατοῦντες. Τιριδάτης δ' αὐτῆς 249
ἐβασίλευεν, ὃς ὑπαντιάσας αὐτοῖς καὶ ποιησάμενος μάχην
παρὰ μικρὸν ἦλθεν ἐπ' αὐτῆς ζωὸς ἁλῶναι τῆς παρατά-
ξεως· βρόχον γὰρ αὐτῷ περιβαλών τις πόρρωθεν ἔμελλεν 250
ἐπισπάσειν, εἰ μὴ τῷ ξίφει θᾶττον ἐκεῖνος τὸν τόνον κόψας
100 ἔφθη διαφυγεῖν. οἱ δὲ καὶ διὰ τὴν μάχην ἔτι μᾶλλον ἀγριω- 251
θέντες τὴν μὲν χώραν ἐλυμήναντο, πολὺ δὲ πλῆθος ἀνθρώ-

73-4. ἐπιστείλαντος: ἀποστείλαντος M 83. ἐμβαλεῖν: ἐμβάλλειν L 84. ἐστίν: ἦν C 89. βασιλεύων: βασιλεὺς P 90. ἀναφεύγων: ἀναφυγὼν MLVRC 98. περιβαλών τις πόρρωθεν: περιβαλών τις PA τίς πόρρωθεν ἐπιβαλὼν L τίς πόρρωθεν περιβαλὼν VRC 101. μὲν: om. PAMLVR

liare con l'imperatore, avendogli fatto scrivere in proposito da Vologese; infatti, pur essendo trattati bene, non si adattavano a vivere fuori dell'impero romano. Vespasiano gene- 243 rosamente concesse loro di trasferirsi senza timore a Roma, ed essendo poco dopo arrivato da Sparta anche il padre, vi presero dimora tutti insieme trattati con ogni riguardo.

7, 4. Circa quel tempo il popolo degli Alani, di cui già 244 abbiamo avuto occasione di accennare che sono Sciti abitanti presso il Tanai e il lago Meotide, maturato il progetto d'in- 245 vadere e saccheggiare la Media e le regioni site ancora oltre, intavolò trattative col re degli Ircani; costui infatti è padrone della via d'accesso, che il re Alessandro sbarrò con porte di ferro[8]. Ottenuto il permesso di passare, essi piombarono in 246 massa sui Medi che non se l'aspettavano, e saccheggiarono quella contrada popolosa e piena di bestiame d'ogni specie senza che alcuno osasse di far loro resistenza. Infatti il re del 247 paese, Pacoro[9], per la paura era fuggito tra luoghi impervi abbandonando tutti gli altri suoi beni, e a stento si era fatto restituire da quelli la moglie e le concubine, che erano cadute prigioniere, pagando un riscatto di cento talenti[10]. In tal 248 modo con grande facilità e senza dover combattere, gli Alani continuarono a saccheggiare e, devastando tutto, avanzarono fino all'Armenia. Quivi regnava Tiridate che, fattosi loro 249 incontro e ingaggiata battaglia, per poco non venne preso vivo nel corso del combattimento; infatti, lanciando da lon- 250 tano il laccio, uno lo ghermí e stava per trascinarlo via se quello non si fosse affrettato a mozzare la corda con un colpo di spada e a liberarsi. Gli Alani, resi ancor piú feroci da questa 251 battaglia, devastarono il paese e, trascinandosi dietro dai due

πων καὶ τῆς ἄλλης λείας ἄγοντες ἐξ ἀμφοῖν τῶν βασιλειῶν πάλιν εἰς τὴν οἰκείαν ἀνεκομίσθησαν.

8, 1. ἐπὶ δὲ τῆς Ἰουδαίας Βάσσου τελευτήσαντος Φλαύιος Σίλβας διαδέχεται τὴν ἡγεμονίαν, καὶ τὴν μὲν ἄλλην ὁρῶν ἅπασαν τῷ πολέμῳ κεχειρωμένην, ἓν δὲ μόνον ἔτι φρούριον ἀφεστηκός, ἐστράτευσεν ἐπὶ τοῦτο πᾶσαν τὴν ἐν τοῖς τόποις δύναμιν συναγαγών· καλεῖται δὲ τὸ φρούριον Μασάδα. προειστήκει δὲ τῶν κατειληφότων αὐτὸ σικαρίων δυνατὸς ἀνὴρ Ἐλεάζαρος, ἀπόγονος Ἰούδα τοῦ πείσαντος Ἰουδαίους οὐκ ὀλίγους, ὡς πρότερον δεδηλώκαμεν, μὴ ποιεῖσθαι τὰς ἀπογραφάς, ὅτε Κυρίνιος τιμητὴς εἰς τὴν Ἰουδαίαν ἐπέμφθη. τότε γὰρ οἱ σικάριοι συνέστησαν ἐπὶ τοὺς ὑπακούειν Ῥωμαίων θέλοντας καὶ πάντα τρόπον ὡς πολεμίοις προσεφέροντο, τὰς μὲν κτήσεις ἁρπάζοντες καὶ περιελαύνοντες, ταῖς δ' οἰκήσεσιν αὐτῶν πῦρ ἐνιέντες· οὐδὲν γὰρ ἀλλοφύλων αὐτοὺς ἔφασκον διαφέρειν, οὕτως ἀγεννῶς τὴν περιμάχητον Ἰουδαίοις ἐλευθερίαν προεμένους καὶ δουλείαν αἱρεῖσθαι τὴν ὑπὸ Ῥωμαίοις ἀνωμολογηκότας. ἦν δ' ἄρα τοῦτο πρόφασις εἰς παρακάλυμμα τῆς ὠμότητος καὶ τῆς πλεονεξίας ὑπ' αὐτῶν λεγόμενον· σαφὲς δὲ διὰ τῶν ἔργων ἐποίησαν. οἱ μὲν γὰρ αὐτοῖς τῆς ἀποστάσεως ἐκοινώνησαν καὶ τοῦ πρὸς Ῥωμαίους συνήραντο πολέμου, καὶ παρ' ἐκείνων δὲ τολμήματα χείρω πρὸς αὐτοὺς ἐγένετο, κἀπὶ τῷ ψεύδεσθαι πάλιν τὴν πρόφασιν ἐξελεγχόμενοι μᾶλλον ἐκάκουν τοὺς τὴν πονηρίαν αὐτῶν διὰ τῆς δικαιολογίας ὀνειδίζοντας. ἐγένετο γάρ πως ὁ χρόνος ἐκεῖνος παντοδαπῆς ἐν τοῖς Ἰουδαίοις πονηρίας πολύφορος, ὡς μηδὲν κακίας ἔργον ἄπρακτον καταλιπεῖν, μηδ' εἴ τις ἐπινοίᾳ

102. βασιλειῶν: βασιλείων PA βασιλέων MVRC 103. οἰκείαν: οἰκίαν LC ἀνεκομίσθησαν: ἐκομίσθησαν AMLVRC
8, 11. ὑπακούειν: ὑπακούουσιν L 14. ἔφασκον: ἔφασαν L 20. πολέμου: lacunam statuit Niese 22. πάλιν: *pridem* (idest πάλαι) Lat 24. πως: om. P 26. τις: τι PA¹ | ἐπινοίᾳ: ἐπίνοια PA¹L

regni una caterva di prigionieri e grande quantità di bottino d'ogni altra specie, se ne ritornarono nelle loro terre.

8, 1. Intanto al governo della Giudea, essendo morto Basso, era succeduto Flavio Silva[1]. Questi, vedendo che tutto il resto del paese era stato sottomesso con le armi tranne un'unica fortezza[2] che era ancora in mano ai ribelli, raccolse tutte le forze che stavano nella regione e mosse contro di essa. Masada è il nome di questa fortezza. A capo dei sicari che l'avevano occupata c'era Eleazar, un uomo potente, discendente di quel Giuda che, come sopra abbiamo detto, aveva persuaso non pochi giudei a sottrarsi al censimento fatto a suo tempo da Quirinio nella Giudea[3]. A quell'epoca i sicari ordirono una congiura contro quelli che volevano accettare la sottomissione ai romani e li combatterono in ogni modo come nemici, depredandoli degli averi e del bestiame e appiccando il fuoco alle loro case; sostenevano, infatti, che non c'era nessuna differenza fra loro e degli stranieri, dato che ignobilmente buttavano via la libertà per cui i giudei avevano tanto combattuto e dichiaravano di preferire la schiavitú sotto i romani. Ma queste parole erano un pretesto per ammantare la loro ferocia e la loro cupidigia, come poi dimostrarono con i fatti. E in realtà, quelli che si unirono ad essi nella ribellione e presero parte attiva alla guerra contro i romani ebbero a subire da loro atrocità piú terribili, e quando poi vennero di nuovo convinti di falsità nella giustificazione che adducevano, ancor piú essi perseguitarono chi, per difendersi, denunciava le loro malefatte. Quell'epoca fu in certo modo cosí prolifica di ogni sorta di ribalderia fra i giudei, che nessun delitto fu lasciato intentato, né chi volesse escogi-

διαπλάττειν ἐθελήσειεν, ἔχειν ἄν τι καινότερον ἐξευρεῖν.
οὕτως ἰδίᾳ τε καὶ κοινῇ πάντες ἐνόσησαν, καὶ πρὸς ὑπερ- 260
βάλλειν ἀλλήλους ἔν τε ταῖς πρὸς θεὸν ἀσεβείαις καὶ ταῖς
30 εἰς τοὺς πλησίον ἀδικίαις ἐφιλονείκησαν, οἱ μὲν δυνατοὶ
τὰ πλήθη κακοῦντες, οἱ πολλοὶ δὲ τοὺς δυνατοὺς ἀπολλύναι
σπεύδοντες· ἦν γὰρ ἐκείνοις μὲν ἐπιθυμία τοῦ τυραννεῖν, 261
τοῖς δὲ τοῦ βιάζεσθαι καὶ τὰ τῶν εὐπόρων διαρπάζειν.
πρῶτοι μὲν οὖν οἱ σικάριοι τῆς παρανομίας καὶ τῆς πρὸς 262
35 τοὺς συγγενεῖς ἦρξαν ὠμότητος, μήτε λόγον ἄρρητον εἰς
ὕβριν μήτ' ἔργον ἀπείρατον εἰς ὄλεθρον τῶν ἐπιβουλευ-
θέντων παραλιπόντες. ἀλλὰ καὶ τούτους Ἰωάννης ἀπέ- 263
δειξεν αὐτοῦ μετριωτέρους· οὐ γὰρ μόνον ἀνῄρει πάντας
ὅσοι τὰ δίκαια καὶ συμφέροντα συνεβούλευον, καθάπερ ἐχθί-
40 στοις μάλιστα δὴ τῶν πολιτῶν τοῖς τοιούτοις προσφερό-
μενος, ἀλλὰ καὶ κοινῇ τὴν πατρίδα μυρίων ἐνέπλησε κακῶν,
οἷα πράξειν ἔμελλεν ἀνθρώπους ἤδη καὶ τὸν θεὸν ἀσεβεῖν
τετολμηκώς· τράπεζάν τε γὰρ ἄθεσμον παρετίθετο καὶ τὴν 264
νενομισμένην καὶ πάτριον ἐξεδιῄτησεν ἁγνείαν, ἵν' ᾖ μηκέτι
45 θαυμαστόν, εἰ τὴν πρὸς ἀνθρώπους ἡμερότητα καὶ κοινω-
νίαν οὐκ ἐτήρησεν ὁ τῆς πρὸς θεὸν εὐσεβείας οὕτω καταμα-
νείς. πάλιν τοίνυν ὁ Γιώρα Σίμων τί κακὸν οὐκ ἔδρασεν; 265
ἢ ποίας ὕβρεως ἐλευθέρων ἀπέσχετο σωμάτων οἳ τοῦτον
ἀνέδειξαν τύραννον; ποία δ' αὐτοὺς φιλία, ποία δὲ συγ- 266
50 γένεια πρὸς τοὺς ἐφ' ἑκάστης ἡμέρας φόνους οὐχὶ θρασυ-
τέρους ἐποίησε; τὸ μὲν γὰρ τοὺς ἀλλοτρίους κακῶς ποιεῖν
ἀγεννοῦς ἔργον πονηρίας ὑπελάμβανον, λαμπρὰν δὲ φέρειν
ἐπίδειξιν ἡγοῦντο τὴν ἐν τοῖς οἰκειοτάτοις ὠμότητα. παρη- 267
μιλλήσατο δὲ καὶ τὴν τούτων ἀπόνοιαν ἡ τῶν Ἰδουμαίων
55 μανία· ἐκεῖνοι γὰρ οἱ μιαρώτατοι τοὺς ἀρχιερέας κατασφά-

28. ἐνόσησαν: ἐνενόησαν L ἐνόησαν R[1]C 29. θεὸν: τὸν θεὸν A[a]MLVRC 34. πρῶτοι μὲν οὖν: πρῶτον οὖν PA 35. ἦρξαν: ἤρξαντο P 36. ἀπείρατον L. Dindorf ἀπείραστον codd. 41. ἐνέπλησε: ἐνέπλησαν P 45. ἀνθρώπους: τοὺς ἀνθρώπους M 46. εὐσεβείας: ἀσεβείας M 48. ἀπέσχετο: ἀπέσχοντο M 49-50. συγγένεια: εὐγένεια PAL 52. ὑπελάμβανον: ὑπέλαβον AL 55. μανία: om. VRC Lat

tarne di nuovi riuscirebbe a trovarli: a tal punto erano tutti 260 bacati nella vita privata come nella pubblica, e facevano a gara tra loro nel commettere empietà contro il dio e soprusi contro i vicini, i signori opprimendo le masse e le masse cercando di eliminare i signori. Infatti gli uni avevano una 261 gran sete di dominio, gli altri di scatenare la violenza e d'impossessarsi dei beni dei ricchi. Furono dunque i sicari quelli 262 che per primi calpestarono la legge e incrudelirono contro i connazionali, senza astenersi da alcun insulto per offendere le loro vittime, o da alcun atto per rovinarle. Eppure Gio- 263 vanni fece sí che anche costoro sembrassero piú moderati di lui[4]; egli infatti non soltanto eliminò chiunque dava giusti e utili consigli, trattando costoro come i suoi piú accaniti nemici fra tutti i cittadini, ma riempí la patria di un'infinità di pubblici mali, quali inevitabilmente doveva infliggere agli uomini chi già aveva osato di commettere empietà verso il dio. La sua mensa era infatti imbandita con cibi proibiti ed 264 egli aveva abbandonato le tradizionali regole di purità, sí che non poteva piú far stupore se uno che era cosí follemente empio verso il dio non osservava piú la bontà e la fratellanza verso gli uomini. D'altra parte, poi, Simone figlio di Ghiora 265 quale delitto non commise? Quale sopruso risparmiò a coloro che come liberi cittadini lo avevano eletto a loro capo? Quale amicizia, quale parentela non rese questi due piú audaci 266 nelle loro stragi quotidiane? Essi infatti consideravano un atto d'ignobile cattiveria far male a degli estranei, mentre ritenevano di fare una bella figura mostrandosi spietati verso 267 i parenti prossimi. Eppure, la follia omicida di costoro venne superata dal pazzo furore degli Idumei. Infatti questi empi furfanti, dopo aver ammazzato i sommi sacerdoti affinché

ξαντες, ὅπως μηδὲ μέρος τι τῆς πρὸς τὸν θεὸν εὐσεβείας
διαφυλάττηται, πᾶν ὅσον ἦν λείψανον ἔτι πολιτικοῦ σχήματος
ἐξέκοψαν, καὶ τὴν τελεωτάτην εἰσήγαγον διὰ πάντων ἀνο- 268
μίαν, ἐν ᾗ τὸ τῶν ζηλωτῶν κληθέντων γένος ἤκμασεν,
60 οἳ τὴν προσηγορίαν τοῖς ἔργοις ἐπηλήθευσαν· πᾶν γὰρ κα- 269
κίας ἔργον ἐξεμιμήσαντο, μηδ' εἴ τι πρότερον προϋπάρχον
ἡ μνήμη παραδέδωκεν αὐτοὶ παραλιπόντες ἀζήλωτον. καίτοι 270
τὴν προσηγορίαν αὐτοῖς ἀπὸ τῶν ἐπ' ἀγαθῷ ζηλουμένων
ἐπέθεσαν, ἢ κατειρωνευόμενοι τῶν ἀδικουμένων διὰ τὴν
65 αὐτῶν θηριώδη φύσιν ἢ τὰ μέγιστα τῶν κακῶν ἀγαθὰ
νομίζοντες. τοιγαροῦν προσῆκον ἕκαστοι τὸ τέλος εὕροντο, 271
τοῦ θεοῦ τὴν ἀξίαν ἐπὶ πᾶσιν αὐτοῖς τιμωρίαν βραβεύσαντος·
ὅσας γὰρ ἀνθρώπου δύναται φύσις κολάσεις ὑπομεῖναι, 272
πᾶσαι κατέσκηψαν εἰς αὐτοὺς μέχρι καὶ τῆς ἐσχάτης τοῦ
70 βίου τελευτῆς, ἣν ὑπέμειναν ἐν πολυτρόποις αἰκίαις ἀπο-
θανόντες. οὐ μὴν ἀλλὰ φαίη τις ἂν αὐτοὺς ἐλάττω παθεῖν 273
ὧν ἔδρασαν· τὸ γὰρ δικαίως ἐπ' αὐτῶν οὐ προσῆν. τοὺς δὲ 274
ταῖς ἐκείνων ὠμότησι περιπεσόντας οὐ τοῦ παρόντος ἂν
εἴη καιροῦ κατὰ τὴν ἀξίαν ὀδύρεσθαι· πάλιν οὖν ἐπάνειμι
75 πρὸς τὸ καταλειπόμενον μέρος τῆς διηγήσεως.

8, 2. ἐπὶ γὰρ τὸν Ἐλεάζαρον καὶ τοὺς κατέχοντας σὺν 275
αὐτῷ τὴν Μασάδαν σικαρίους ὁ τῶν Ῥωμαίων στρατη-
γὸς ἧκε τὰς δυνάμεις ἄγων, καὶ τῆς μὲν χώρας ἁπάσης
εὐθὺς ἐκράτει φρουρὰς ἐν τοῖς ἐπικαιροτάτοις αὐτῆς μέ-
80 ρεσιν ἐγκαταστήσας, τεῖχος δὲ περιέβαλε κύκλῳ περὶ πᾶν 276
τὸ φρούριον, ὅπως μηδενὶ τῶν πολιορκουμένων ᾖ ῥᾴδιον
διαφυγεῖν, καὶ διανέμει τοὺς φυλάξοντας. αὐτὸς δὲ καταστρα- 277
τοπεδεύει τόπον ὡς μὲν πρὸς τὴν πολιορκίαν ἐπιτηδειότα-
τον ἐκλαβών, καθ' ὃν αἱ τοῦ φρουρίου πέτραι τῷ πλησίον
85 ὄρει συνήγγιζον, ἄλλως δὲ πρὸς ἀφθονίαν τῶν ἐπιτηδείων

56. τι: ἔτι PAML 63. αὐτοῖς: αὑτοῖς PALVRC 66. εὕροντο: εὕραντο MVRC 71. ἂν: om. PAM 76. ἐπὶ: ἐπεὶ PA 78. ἧκε: ἧκτο PAL ἵκτο M 82. διανέμει: διαμένειν VRC

non si conservasse neppure la piú piccola particella della pietà verso il dio, sfasciarono tutto ciò che restava degli ordinamenti civili introducendo dappertutto la piú completa anarchia. 268 In tale clima prosperarono al massimo gli Zeloti, un'associazione che confermò con i fatti il suo nome; essi infatti 269 imitarono ogni cattiva azione e non tralasciarono di emulare alcun misfatto registrato dalla storia[5]. Eppure il loro nome 270 l'avevano derivato dal loro preteso zelo nell'aspirare alla virtú, sia che volessero prendersi gioco, con la loro bestiale natura, delle vittime dei loro soprusi, sia perché stimavano beni i peggiori dei mali. Comunque, fecero tutti la fine che meritavano, 271 perché il dio diede a ciascuno la giusta punizione; infatti 272 tutti i castighi che mai possono colpire un uomo si abbatterono su di loro anche fino all'ultimo istante di vita, facendoli morire fra i piú atroci tormenti d'ogni sorta. Eppure, 273 si potrebbe dire che le loro sofferenze furono inferiori a quelle che essi avevano inflitte a chi era caduto nelle loro mani, perché non esistevano pene adeguate. A esprimere degnamente 274 il dovuto compianto per le vittime della loro ferocia non mi sembra questo il momento piú adatto, e perciò ritorno al punto in cui avevo interrotto la narrazione.

8, 2. Il comandante romano mosse alla testa delle sue 275 truppe contro Eleazar e la sua banda di sicari che occupavano Masada, e ben presto si assicurò il controllo dell'intera regione stabilendovi dei presidi nei luoghi piú opportuni; poi 276 tutt'intorno alla fortezza innalzò un muro perché nessuno degli assediati potesse facilmente fuggire e vi pose a guardia delle sentinelle[6]. Egli si accampò in un luogo scelto come il 277 piú idoneo per condurre le operazioni d'assedio, perché ivi le pareti a strapiombo della fortezza si appressavano alla vicina montagna, mentre era in posizione assai scomoda per i

δύσκολον· οὐ γὰρ ἡ τροφὴ μόνον πόρρωθεν ἐκομίζετο καὶ σὺν μεγάλῃ ταλαιπωρίᾳ τῶν ἐπὶ τοῦτο τεταγμένων Ἰουδαίων, ἀλλὰ καὶ τὸ ποτὸν ἦν ἀγώγιμον εἰς τὸ στρατόπεδον τοῦ τόπου μηδεμίαν ἐγγὺς πηγὴν ἀναδιδόντος. ταῦτ' οὖν προοικονομησάμενος ὁ Σίλβας ἐπὶ τὴν πολιορκίαν ἐτράπετο πολλῆς ἐπιτεχνήσεως καὶ ταλαιπωρίας δεομένην διὰ τὴν ὀχυρότητα τοῦ φρουρίου τοιοῦδε τὴν φύσιν ὑπάρχοντος.

8, 3. πέτραν οὐκ ὀλίγην τῇ περιόδῳ καὶ μῆκος ὑψηλὴν πανταχόθεν περιερρώγασι βαθεῖαι φάραγγες, κάτωθεν ἐξ ἀοράτου τέρματος κρημνώδεις καὶ πάσῃ βάσει ζῴων ἀπρόσιτοι, πλὴν ὅσον κατὰ δύο τόπους τῆς πέτρας εἰς ἄνοδον οὐκ εὐμαρῆ παρεικούσης. ἔστι δὲ τῶν ὁδῶν ἡ μὲν ἀπὸ τῆς Ἀσφαλτίτιδος λίμνης πρὸς ἥλιον ἀνίσχοντα, καὶ πάλιν ἀπὸ τῆς δύσεως ᾗ ῥᾷον πορευθῆναι. καλοῦσι δὲ τὴν ἑτέραν ὄφιν, τῇ στενότητι προσεικάσαντες καὶ τοῖς συνεχέσιν ἑλιγμοῖς· κλᾶται γὰρ περὶ τὰς τῶν κρημνῶν ἐξοχὰς καὶ πολλάκις εἰς αὐτὴν ἀνατρέχουσα καὶ κατὰ μικρὸν αὖθις ἐκμηκυνομένη μόλις ψαύει τοῦ πρόσω. δεῖ δὲ παραλλὰξ τὸν δι' αὐτῆς βαδίζοντα τὸν ἕτερον τῶν ποδῶν ἐρείδεσθαι. ἔστι δὲ πρόδηλος ὄλεθρος· ἑκατέρωθεν γὰρ βάθος κρημνῶν ὑποκέχηνε τῇ φοβερότητι πᾶσαν εὐτολμίαν ἐκπλῆξαι δυνάμενον. διὰ τοιαύτης οὖν ἐλθόντι σταδίους τριάκοντα κορυφὴ τὸ λοιπόν ἐστιν, οὐκ εἰς ὀξὺ τέρμα συνηγμένη, ἀλλ' ὥστ' εἶναι κατ' ἄκρας ἐπίπεδον. ἐπὶ ταύτῃ πρῶτον μὲν ὁ ἀρχιερεὺς ᾠκοδομήσατο φρούριον Ἰωνάθης καὶ προσηγόρευσε Μασάδαν, ὕστερον δ' Ἡρώδῃ τῷ βασιλεῖ διὰ πολλῆς ἐγένετο σπουδῆς ἡ τοῦ χωρίου κατασκευή. τεῖχός τε γὰρ ἤγειρε περὶ πάντα τὸν κύκλον τῆς κορυφῆς ἑπτὰ σταδίων ὄντα, λευκοῦ μὲν λίθου πεποιημένον, ὕψος δὲ δώδεκα καὶ πλάτος ὀκτὼ πή-

88. εἰς τὸ στρατόπεδον: om. P 91. δεομένην: δεομένης PAL 95. κρημνώδεις: κρημνώδεις δ' ὁδοὶ C 99. ῥᾷον: ῥάων VR 102. αὐτὴν: αὑτὴν PALVC | ἀνατρέχουσα: ἀναστρέφουσα PAMVRC 104. τῶν ποδῶν: τοῖν ποδοῖν C 109. πρῶτον: πρῶτος VRC

rifornimenti. Infatti non soltanto vi venivano trasportate da lontano le vettovaglie, con grande pena dei giudei addetti a tale servizio, ma nell'accampamento si doveva portare anche l'acqua perché sul luogo non c'era nemmeno una sorgente. Predisposto tutto ciò, Silva si dedicò all'assedio; esso richiedeva molta abilità e grandi sforzi per la straordinaria solidità della fortezza, che si presentava nel modo seguente.

8, 3. Un massiccio roccioso di non piccola circonferenza e di notevole altezza è circondato tutt'intorno da profondi strapiombi, che emergono a picco da un precipizio irraggiungibile dalla vista e che nessun essere vivente potrebbe scalare, tranne in due punti ove l'ascesa è possibile, anche se non facile. Di questi due punti uno è ad oriente, al termine della pista che sale dal lago Asfaltite, l'altro ad occidente, dove è una pista di piú facile accesso. La prima di queste due piste essi la chiamano « il serpente », a cui somiglia per la sua strettezza e le continue giravolte; infatti, il suo tracciato rettilineo s'interrompe per girare attorno alle rocce sporgenti, ed essa avanza con grande fatica, ripiegandosi continuamente su sé stessa e poi di nuovo distendendosi un altro poco. Chi la percorre deve piantar saldamente or l'uno or l'altro piede per l'evidente pericolo di morte; infatti sui due lati si spalancano dei burroni cosí spaventosi da far tremare anche l'uomo piú coraggioso. Dopo un percorso di trenta stadi la pista raggiunge la sommità, che non termina in un cucuzzolo a punta, ma in una spianata[7]. Il primo a costruirvi sopra una fortezza fu il sommo sacerdote Gionata[8], e la chiamò Masada; poi il re Erode dedicò grandi cure a rafforzarne l'impianto. Egli infatti innalzò tutt'intorno alla cima un muro costruito di pietra bianca lungo sette stadi, dell'altezza di dodici cubiti

www.scribd.com/Cultura_in_Ita5

115 χεις ἔχον, τριάκοντα δ' αὐτῷ καὶ ἑπτὰ πύργοι πεντηκοντα- 287
πήχεις ἀνειστήκεσαν, ἐξ ὧν ἦν εἰς οἰκήματα διελθεῖν περὶ
πᾶν τὸ τεῖχος ἔνδον ᾠκοδομημένα. τὴν γὰρ κορυφὴν πίονα 288
καὶ πεδίου παντὸς οὖσαν μαλακωτέραν ἀνῆκεν εἰς γεωργίαν
ὁ βασιλεύς, ἵν' εἴ ποτε τῆς ἔξωθεν τροφῆς ἀπορία γένοιτο,
120 μηδὲ ταύτῃ κάμοιεν οἱ τὴν αὑτῶν σωτηρίαν τῷ φρουρίῳ
πεπιστευκότες. καὶ βασίλειον δὲ κατεσκεύασεν ἐν αὐτῷ κατὰ 289
τὴν ἀπὸ τῆς ἑσπέρας ἀνάβασιν, ὑποκάτω μὲν τῶν τῆς ἄκρας
τειχῶν, πρὸς δὲ τὴν ἄρκτον ἐκκλίνον. τοῦ δὲ βασιλείου τὸ
τεῖχος ἦν ὕψει μέγα καὶ καρτερόν, πύργους ἔχον ἑξηκον-
125 ταπήχεις ἐγγωνίους τέτταρας. ἥ τε τῶν οἰκημάτων ἔνδον 290
καὶ στοῶν καὶ βαλανείων κατασκευὴ παντοία καὶ πολυτε-
λὴς ἦν, κιόνων μὲν ἁπανταχοῦ μονολίθων ὑφεστηκότων,
τοίχων δὲ καὶ τῶν ἐν τοῖς οἰκήμασιν ἐδάφων λίθου στρώσει
πεποικιλμένων. πρὸς ἕκαστον δὲ τῶν οἰκουμένων τόπων 291
130 ἄνω τε καὶ περὶ τὸ βασίλειον καὶ πρὸ τοῦ τείχους πολλοὺς
καὶ μεγάλους ἐτετμήκει λάκκους ἐν ταῖς πέτραις φυλακτῆ-
ρας ὑδάτων, μηχανώμενος εἶναι χορηγίαν ὅση τῷ ἐκ πη-
γῶν ἐστι χρωμένοις. ὀρυκτὴ δ' ὁδὸς ἐκ τοῦ βασιλείου πρὸς 292
ἄκραν τὴν κορυφὴν ἀνέφερε τοῖς ἔξωθεν ἀφανής. οὐ μὴν
135 οὐδὲ ταῖς φανεραῖς ὁδοῖς ἦν οἷόν τε χρήσασθαι ῥᾳδίως πο-
λεμίους· ἡ μὲν γὰρ ἑῴα διὰ τὴν φύσιν, ὡς προείπαμεν, ἐστὶν 293
ἄβατος, τὴν δ' ἀπὸ τῆς ἑσπέρας μεγάλῳ κατὰ τὸ στενότα-
τον πύργῳ διετείχισεν, ἀπέχοντι τῆς ἄκρας πήχεων οὐκ
ἔλαττον διάστημα χιλίων, ὃν οὔτε παρελθεῖν δυνατὸν ἦν
140 οὔτε ῥᾴδιον ἑλεῖν· δυσέξοδος δὲ καὶ τοῖς μετὰ ἀδείας βαδί-
ζουσιν ἐπεποίητο. οὕτως μὲν οὖν πρὸς τὰς τῶν πολεμίων 294
ἐφόδους φύσει τε καὶ χειροποιήτως τὸ φρούριον ὠχύρωτο.

115. ἔχον: ἔχων PAC 117. πίονα: πλείονα L ποιουμενα C 119. ἔξωθεν: ἔξω LVRC 121. ἐν αὐτῷ: *sibi* Lat 123. ἐκκλίνον: ἐγκλίνον MLVRC 125. ἐγγωνίους: ἐκγωνίους PA[1] 132. τῷ Niese τῶν codd. 134. ἀνέφερε: ἀνεφέρετο VRC 136. προείπαμεν: προείπομεν MV[2]C 141. οὕτως: οὕτω PVRC | πολεμίων: πολέμων PA

e dello spessore di otto, da cui sporgevano trentasette torri
alte ciascuna cinquanta cubiti; da esse si poteva accedere nei 287
locali, che erano costruiti a ridosso del muro lungo tutto il
suo perimetro[9]. Il re infatti lasciò libera per la coltivazione 288
la spianata su in cima, che era di un terreno piú fertile e piú
soffice di qualsiasi campo in pianura, affinché se mai si verifi-
casse una difficoltà nel far arrivare da fuori le vettovaglie,
nemmeno di questa avessero a soffrire coloro che s'erano
rifugiati nella fortezza[10]. Egli vi costruí poi anche una reggia 289
ai margini delle pendici verso occidente, a un livello piú basso
delle mura di cinta e rivolta a nord. Il muro perimetrale della
reggia era di grande altezza e massiccio, e aveva agli angoli
quattro torri di sessanta cubiti. All'interno la costruzione 290
delle sale, dei porticati, dei bagni era di varia fattura e assai
ricca: dappertutto sorgevano delle colonne tutte d'un pezzo,
mentre le pareti e i pavimenti delle sale erano ricoperti di
pietre variegate. Inoltre, presso ogni luogo destinato ad abi- 291
tazione, sia sopra sia intorno alla reggia, come pure davanti
al perimetro del muro, aveva fatto scavare nella roccia un
gran numero di capaci cisterne per la conservazione dell'ac-
qua, assicurandone il rifornimento in quantità non inferiore
a quella di chi dispone di sorgenti[11]. Una strada sotterranea, 292
invisibile dall'esterno, portava dalla reggia alla sommità.
Del resto, i nemici non avrebbero potuto servirsi facilmente
neppure di strade allo scoperto; infatti, come già abbiamo 293
detto, quella sul lato orientale è per natura impraticabile, men-
tre quella che sale su ad occidente Erode la sbarrò, nel punto
piú stretto, con una grande torre[12], distante dalla cima non
meno di mille cubiti, che non si poteva né lasciarsi alle spalle
né espugnare; ed era difficile superarla anche a chi passava
di là senza avere alcuna preoccupazione. Tali le difese naturali 294
e artificiali che la fortezza poteva opporre agli assalti del
nemico.

8, 4. τῶν δ' ἔνδον ἀποκειμένων παρασκευῶν ἔτι μᾶλλον 295 ἄν τις ἐθαύμασε τὴν λαμπρότητα καὶ τὴν διαμονήν· σῖτός 296 145 τε γὰρ ἀπέκειτο πολὺς καὶ πολὺν χρόνον ἀρκεῖν ἱκανώτατος οἶνός τε πολὺς ἦν καὶ ἔλαιον, ἔτι δὲ παντοῖος ὀσπρίων καρπὸς καὶ φοίνικες ἐσεσώρευντο. πάντα δ' εὗρεν ὁ Ἐλεάζαρος 297 τοῦ φρουρίου μετὰ τῶν σικαρίων ἐγκρατὴς δόλῳ γενόμενος ἀκμαῖα καὶ μηδὲν τῶν νεωστὶ κειμένων ἀποδέοντα· καίτοι 150 σχεδὸν ἀπὸ τῆς παρασκευῆς εἰς τὴν ὑπὸ Ῥωμαίοις ἅλωσιν ἑκατὸν ἦν χρόνος ἐτῶν· ἀλλὰ καὶ Ῥωμαῖοι τοὺς περιλειφθέντας τῶν καρπῶν εὗρον ἀδιαφθόρους. αἴτιον δ' οὐκ ἂν 298 ἁμάρτοι τις ὑπολαμβάνων εἶναι τὸν ἀέρα τῆς διαμονῆς, ὕψει τῶν περὶ τὴν ἄκραν πάσης ὄντα γεώδους καὶ θολερᾶς ἀμιγῆ 155 κράσεως. εὑρέθη δὲ καὶ παντοίων πλῆθος ὅπλων ὑπὸ τοῦ 299 βασιλέως ἀποτεθησαυρισμένον, ὡς ἀνδράσιν ἀρκεῖν μυρίοις, ἀργός τε σίδηρος καὶ χαλκὸς ἔτι δὲ καὶ μόλιβος, ἅτε δὴ τῆς παρασκευῆς ἐπὶ μεγάλαις αἰτίαις γενομένης· λέγεται 300 γὰρ αὐτῷ τὸν Ἡρώδην τοῦτο τὸ φρούριον εἰς ὑποφυγὴν 160 ἑτοιμάζειν διπλοῦν ὑφορώμενον κίνδυνον, τὸν μὲν παρὰ τοῦ πλήθους τῶν Ἰουδαίων, μὴ καταλύσαντες ἐκεῖνον τοὺς πρὸ αὐτοῦ βασιλέας ἐπὶ τὴν ἀρχὴν καταγάγωσι, τὸν μείζω δὲ καὶ χαλεπώτερον ἐκ τῆς βασιλευούσης Αἰγύπτου Κλεοπάτρας. αὕτη γὰρ τὴν αὑτῆς γνώμην οὐκ ἐπεῖχεν, ἀλλὰ πολ- 301 165 λάκις Ἀντωνίῳ λόγους προσέφερε, τὸν μὲν Ἡρώδην ἀνελεῖν ἀξιοῦσα, χαρίσασθαι δ' αὐτῇ τὴν βασιλείαν τῶν Ἰουδαίων δεομένη. καὶ μᾶλλον ἄν τις ἐθαύμασεν ὅτι μηδέπω 302 τοῖς προστάγμασιν Ἀντώνιος ὑπακηκόει, κακῶς ὑπὸ τοῦ πρὸς αὐτὴν ἔρωτος δεδουλωμένος, οὐχ ὅτι περὶ τοῦ μὴ χα- 170 ρίσασθαι προσεδόκησεν. διὰ τοιούτους μὲν φόβους Ἡρώδης 303

144. διαμονήν: διανομήν PA 145. ἀρκεῖν: εἰπεῖν VR 148. τοῦ φρουρίου: μετὰ τοῦ φρουρίου PA[1] ἐν τῷ φρουρίῳ M | γενόμενος: γεγενημένος L 154. τῶν: τῷ A[2] Niese 156. ἀποτεθησαυρισμένον: ἀποτεθησαυρισμένων PAMLVR 159. αὐτῷ: αὐτὸ P αὐτῶ AL ἑαυτῶ VRC 162. τὸν μείζω: τὸ μείζω PAVR τὸ μεῖζον ML 164. αὑτῆς Bekker αὐτῆς codd.

8, 4. C'era poi da restare ancora piú meravigliati per l'eccellente qualità e la buona conservazione delle provviste che 295 vi erano state immagazzinate; infatti vi si trovava ammassata 296 una forte quantità di grano, bastante per un lungo tempo, v'era gran copia di vino e d'olio e inoltre ogni sorta di legumi e mucchi di datteri. Quando Eleazar assieme ai sicari s'impadroní a tradimento della fortezza, trovò tutti questi viveri 297 in perfetto stato e non meno buoni che se fossero stati conservati da poco; eppure, circa cent'anni erano trascorsi da quando erano stati immagazzinati fino alla conquista della fortezza ad opera dei romani, i quali trovarono anch'essi in buone condizioni quanto restava dei frutti. Tale capacità di 298 conservazione non si sbaglierebbe chi l'attribuisse all'aria, che all'altezza della roccaforte non è contaminata da alcun contagio di terra e di melma. Fu anche rinvenuta una grande 299 quantità di armi d'ogni genere depositatevi dal re, sufficienti a diecimila uomini, e poi ferro non lavorato, bronzo, piombo: tutto un insieme di provviste accantonate in previsione di qualche grave congiuntura[13]. Si dice infatti che Erode si 300 apprestasse questa fortezza per rifugiarvisi nell'eventualità di due pericoli, uno dei quali era rappresentato dal popolo dei giudei, nel caso che insorgesse per abbatterlo e restaurare la dinastia precedente. Piú grande e piú serio era poi il secondo pericolo, rappresentato dalla regina d'Egitto Cleopatra, che 301 non teneva celate le sue intenzioni e piú volte fece ad Antonio la richiesta di togliere di mezzo Erode, pregandolo di concedere a lei il regno di Giudea[14]. E il fatto che Antonio, 302 pur divenuto vergognosamente schiavo del suo amore, non le desse mai ascolto destò maggiore stupore perché nessuno si sarebbe mai aspettato che egli le negasse qualche cosa. Per 303 questi timori Erode aveva fortificato Masada, destinata a di-

Μασάδαν κατεσκευασμένος ἔμελλεν Ῥωμαίοις ἀπολείψειν
ἔργον τοῦ πρὸς Ἰουδαίους πολέμου τελευταῖον.

8, 5. ἐπεὶ γὰρ ἔξωθεν ἤδη περιτετειχίκει πάντα τὸν τό- 304
πον ὁ τῶν Ῥωμαίων, ὡς προείπαμεν, ἡγεμὼν καὶ τοῦ μή
175 τινα ἀποδρᾶναι πρόνοιαν ἐπεποίητο τὴν ἀκριβεστάτην, ἐνε-
χείρει τῇ πολιορκίᾳ μόνον εὑρὼν ἕνα τόπον ἐπιβολὴν χωμά-
των δέξασθαι δυνάμενον. μετὰ γὰρ τὸν διατειχίζοντα πύργον 305
τὴν ἀπὸ τῆς δύσεως ὁδὸν ἄγουσαν εἴς τε τὸ βασίλειον καὶ
τὴν ἀκρώρειαν ἦν τις ἐξοχὴ πέτρας εὐμεγέθης τῷ πλάτει
180 καὶ πολὺ προκύπτουσα, τοῦ δ' ὕψους τῆς Μασάδας τριακο-
σίους πήχεις ὑποκάτω· Λευκὴν δ' αὐτὴν ὠνόμαζον. ἐπὶ ταύ- 306
την οὖν ἀναβὰς καὶ κατασχὼν αὐτὴν ὁ Σίλβας ἐκέλευε τὸν
στρατὸν χοῦν ἐπιφέρειν. τῶν δὲ προθύμως καὶ μετὰ πολ-
λῆς χειρὸς ἐργαζομένων στερεὸν εἰς διακοσίους πήχεις ὑψώ-
185 θη τὸ χῶμα. οὐ μὴν οὔτε βέβαιον οὔτ' αὔταρκες ἐδόκει 307
τοῦτο τὸ μέτρον εἶναι τοῖς μηχανήμασιν εἰς ἐπιβάθραν, ἀλλ'
ἐπ' αὐτοῦ βῆμα λίθων μεγάλων συνηρμοσμένων ἐποιήθη
πεντήκοντα πήχεων εὖρός τε καὶ ὕψος. ἦν δὲ τῶν ἄλλων 308
τε μηχανημάτων ἡ κατασκευὴ παραπλησία τοῖς ὑπὸ μὲν
190 Οὐεσπασιανοῦ πρότερον, μετὰ ταῦτα δ' ὑπὸ Τίτου πρὸς
τὰς πολιορκίας ἐπινοηθεῖσι, καὶ πύργος ἑξηκοντάπηχυς συν- 309
ετελέσθη σιδήρῳ καταπεφραγμένος ἅπας, ἐξ οὗ πολλοῖς
ὀξυβελέσι καὶ πετροβόλοις βάλλοντες οἱ Ῥωμαῖοι τοὺς ἀπὸ
τοῦ τείχους μαχομένους ταχέως ἀνέστειλαν καὶ προκύπτειν
195 ἐκώλυσαν. ἐν ταὐτῷ δὲ καὶ κριὸν ὁ Σίλβας μέγαν κατα- 310
σκευασάμενος, συνεχεῖς κελεύσας ποιεῖσθαι τῷ τείχει τὰς
ἐμβολὰς μόλις μὲν ἀλλ' οὖν ἀναρρήξας τι μέρος κατήρειψε.
φθάνουσι δ' οἱ σικάριοι ταχέως ἔνδοθεν οἰκοδομησάμενοι 311
τεῖχος ἕτερον, ὃ μηδ' ὑπὸ τῶν μηχανημάτων ἔμελλεν ὅμοιόν

171. κατεσκευασμένος: κατασκευασάμενος MC 174. προείπαμεν: προείπομεν MV²C 175. ἀποδρᾶναι: ἀποδρᾶν PA¹ 183. καί: om. P 184. ἐργαζομένων: ἐργασαμένων VRC 188. πήχεων: πηχῶν VRC πηχῶν μὲν L 191. ἐπινοηθεῖσι: ἐπινοηθεῖσα VRC 191-2. συνετελέσθη: συνετέθη C 197. μέρος: μέρος (μέριος C) αὐτοῦ MLVRC Lat | κατήρειψε: κατήριψε PA κατέρριψε L

ventare poi per i romani l'ultima fatica della loro guerra contro i giudei.

8, 5. Dopo aver circondato tutto il luogo con una linea 304 di circonvallazione, e messi in atto, come dicevamo[15], i piú minuziosi accorgimenti per impedire che alcuno potesse sfuggire, il comandante romano diede inizio alle operazioni di assedio nell'unico luogo che aveva trovato idoneo all'elevazione di un terrapieno. Alle spalle della torre che dominava 305 la pista che ad occidente s'inerpicava verso la reggia e la sommità, s'ergeva una grossa prominenza rocciosa di notevole larghezza e molto sviluppata in altezza, che però restava trecento cubiti piú in basso di Masada; si chiamava Bianca. Silva vi salí a prenderne possesso e ordinò all'esercito di co- 306 struirvi sopra un terrapieno[16]. I soldati si misero all'opera con grande ardore e in gran numero, ed elevarono un solido terrapieno dell'altezza di duecento cubiti. Questo non venne 307 però giudicato abbastanza stabile e alto per piazzarvi le macchine, e pertanto vi fu costruita sopra una piattaforma di grossi blocchi congiunti insieme, che aveva l'altezza e la larghezza di cinquanta cubiti. Per il resto le macchine furono 308 costruite a imitazione di quelle fatte fare da Vespasiano e poi da Tito per i loro assedi, e inoltre venne fabbricata una torre 309 di sessanta cubiti tutta ricoperta di ferro, dall'alto della quale i romani, tirando con un gran numero di catapulte e baliste, ben presto fecero piazza pulita dei difensori delle mura impedendo a chiunque di affacciarvisi[17]. Nello stesso tempo 310 Silva, che aveva costruito anche un grosso ariete, diede ordine di battere continuamente il muro e alla fine, sia pure dopo molti sforzi, riuscí ad aprire una breccia e a farlo rovinare. Ma intanto all'interno i sicari si erano affrettati a costruire un 311 altro muro, che però non doveva fare la fine dell'altro sotto i

200 τι πείσεσθαι· μαλακὸν γὰρ αὐτὸ καὶ τὴν σφοδρότητα τῆς
ἐμβολῆς ὑπεκλύειν δυνάμενον τοιῷδε τρόπῳ κατεσκεύασαν.
δοκοὺς μεγάλας ἐπὶ μῆκος προσεχεῖς ἀλλήλαις κατὰ τὴν 312
τομὴν συνέθεσαν. δύο δ' ἦσαν τούτων στίχοι παράλληλοι,
τοσοῦτον διεστῶτες ὅσον εἶναι πλάτος τείχους, καὶ μέσον
205 ἀμφοῖν τὸν χοῦν ἐνεφόρουν. ὅπως δὲ μηδ' ὑψουμένου τοῦ 313
χώματος ἡ γῆ διαχέοιτο, πάλιν ἑτέραις δοκοῖς ἐπικαρσίαις
τὰς κατὰ μῆκος κειμένας διέδεον. ἦν οὖν ἐκείνοις μὲν οἰκο- 314
δομίᾳ τὸ ἔργον παραπλήσιον, τῶν μηχανημάτων δ' αἱ πλη-
γαὶ φερόμεναι πρὸς εἶκον ἐξελύοντο καὶ τῷ σάλῳ συνιζάνον
210 ἐποίουν αὐτὸ στεριφώτερον. τοῦτο συνιδὼν ὁ Σίλβας πυρὶ 315
μᾶλλον αἱρήσειν ἐνόμιζεν τὸ τεῖχος, καὶ τοῖς στρατιώταις
προσέταττε λαμπάδας αἰθομένας ἀθρόους ἐσακοντίζειν. τὸ 316
δ' οἷα δὴ ξύλων τὸ πλέον πεποιημένον ταχὺ τοῦ πυρὸς ἀντε-
λάβετο καὶ τῇ χαυνότητι πυρωθὲν διὰ βάθους φλόγα πολλὴν
215 ἐξεπύρσευσεν. ἀρχομένου μὲν οὖν ἔτι τοῦ πυρὸς βορρᾶς 317
ἐμπνέων τοῖς Ῥωμαίοις φοβερὸς ἦν· ἄνωθεν γὰρ ἀποστρέ-
φων ἐπ' ἐκείνους ἤλαυνε τὴν φλόγα, καὶ σχεδὸν ἤδη τῶν
μηχανημάτων ὡς συμφλεγησομένων ἀπέγνωσαν· ἔπειτα δ' 318
αἰφνίδιον νότος μεταβαλὼν καθάπερ ἐκ δαιμονίου προνοίας
220 καὶ πολὺς ἐναντίον πνεύσας τῷ τείχει φέρων αὐτὴν προσέ-
βαλε, καὶ πᾶν ἤδη διὰ βάθους ἐφλέγετο. Ῥωμαῖοι μὲν οὖν 319
τῇ παρὰ τοῦ θεοῦ συμμαχίᾳ κεχρημένοι χαίροντες εἰς τὸ
στρατόπεδον ἀπηλλάττοντο, μεθ' ἡμέραν ἐπιχειρεῖν τοῖς πο-
λεμίοις διεγνωκότες, καὶ τὰς φυλακὰς νύκτωρ ἐπιμελεστέρας
225 ἐποιήσαντο, μή τινες αὐτῶν λάθωσιν ἀποδράντες.

8, 6. οὐ μὴν οὔτ' αὐτὸς Ἐλεάζαρος ἐν νῷ δρασμὸν ἔλα- 320
βεν οὔτ' ἄλλῳ τινὶ τοῦτο ποιεῖν ἔμελλεν ἐπιτρέψειν. ὁρῶν 321
δὲ τὸ μὲν τεῖχος ὑπὸ τοῦ πυρὸς ἀναλούμενον, ἄλλον δ' οὐ-

208. παραπλήσιον: παραπλήσια PALVRC 209. πρὸς εἶκον Hudson προσεικὸς PLVR προσεικῶς A πρὸς εἰκὸς MC 215. οὖν: om. PAML | ἔτι: ἤδη M 217. ἐπ': εἰς L 218. συμφλεγησομένων: συμφλογησομένων P | ἀπέγνωσαν: ἀπεγνώκεσαν LVRC 223. ἐπιχειρεῖν τοῖς πολεμίοις: ἐπέχειν τοὺς πολεμίους PA 228. ἀναλούμενον: ἀνακαιόμενον VRC

colpi dell'ariete; infatti lo costruirono morbido e capace di smorzare la violenza dei colpi nel seguente modo. Congiun- 312 sero fra loro alle estremità delle grosse travi disposte l'una strettamente attaccata all'altra nel senso della lunghezza; disposero poi verticalmente queste strutture a due a due l'una di fronte all'altra a distanza dello spessore di un muro, e riempirono l'intercapedine di terra. Per impedire poi che 313 nell'intercapedine la terra si sollevasse e si riversasse giú, congiunsero con altre travi trasversali quelle disposte per lungo. La loro opera aveva cosí l'apparenza di una muratura, 314 ma i colpi arrivando sul morbido si smorzavano e rendevano piú compatta la terra comprimendola con lo scuotimento[18]. Visto ciò, Silva pensò che di un tal baluardo avrebbe avuto 315 ragione piuttosto col fuoco, e diede ordine ai suoi uomini di scagliarvi contro delle fiaccole accese. Quello, che era fatto 316 per gran parte di legno, prese subito fuoco e, incendiandosi per tutto il suo spessore a causa della scarsa compattezza, sprigionò un'enorme fiammata. Quando il fuoco era ancora 317 all'inizio, dal nord prese a soffiare contro i romani un vento che causò non poca paura; infatti spingeva dall'alto le fiamme contro di loro, ed essi furono quasi presi dalla disperazione come se ormai le loro macchine fossero state distrutte. Poi 318 all'improvviso, come per divino volere, il vento prese a spirare dal sud e, soffiando con violenza in direzione opposta, spinse le fiamme contro il muro, che ormai fu tutto in fiamme da una parte all'altra. Favoriti cosí dall'aiuto del dio[19] i romani 319 fecero ritorno festanti nell'accampamento, essendosi stabilito di scatenare l'attacco contro i nemici il giorno dopo, e nella notte rafforzarono la vigilanza perché nessuno di quelli avesse a eclissarsi.

8, 6. Ma né Eleazar meditava di fuggire, né avrebbe per- 320 messo di farlo ad alcuno dei suoi. Vedendo il muro rovinato 321 dal fuoco, non scorgendo piú nessun'altra possibilità di scam-

δένα σωτηρίας τρόπον οὐδ' ἀλκῆς ἐπινοῶν, ἃ δὲ ἔμελλον
230 Ῥωμαῖοι δράσειν αὐτοὺς καὶ τέκνα καὶ γυναῖκας αὐτῶν,
εἰ κρατήσειαν, ὑπ' ὀφθαλμοὺς αὐτῷ τιθέμενος, θάνατον κατὰ
πάντων ἐβουλεύσατο. καὶ τοῦτο κρίνας ἐκ τῶν παρόντων 322
ἄριστον, τοὺς ἀνδρωδεστάτους τῶν ἑταίρων συναγαγὼν
τοιούτοις ἐπὶ τὴν πρᾶξιν λόγοις παρεκάλει· «πάλαι διεγνω- 323
235 κότας ἡμᾶς, ἄνδρες ἀγαθοί, μήτε Ῥωμαίοις μήτ' ἄλλῳ τινὶ
δουλεύειν ἢ θεῷ, μόνος γὰρ οὗτος ἀληθής ἐστι καὶ δίκαιος
ἀνθρώπων δεσπότης, ἥκει νῦν καιρὸς ἐπαληθεῦσαι κελεύων
τὸ φρόνημα τοῖς ἔργοις. πρὸς ὃν αὐτοὺς μὴ καταισχύνω- 324
μεν, πρότερον μηδὲ δουλείαν ἀκίνδυνον ὑπομείναντες, νυνὶ
240 δὲ μετὰ δουλείας ἑλόμενοι τιμωρίας ἀνηκέστους, εἰ ζῶντες
ὑπὸ Ῥωμαίοις ἐσόμεθα· πρῶτοί τε γὰρ πάντων ἀπέστημεν
καὶ πολεμοῦμεν αὐτοῖς τελευταῖοι. νομίζω δὲ καὶ παρὰ θεοῦ 325
ταύτην δεδόσθαι χάριν τοῦ δύνασθαι καλῶς καὶ ἐλευθέρως
ἀποθανεῖν, ὅπερ ἄλλοις οὐκ ἐγένετο παρ' ἐλπίδα κρατη-
245 θεῖσιν. ἡμῖν δὲ πρόδηλος μέν ἐστιν ἡ γενησομένη μεθ' ἡμέ- 326
ραν ἅλωσις, ἐλευθέρα δ' ἡ τοῦ γενναίου θανάτου μετὰ τῶν
φιλτάτων αἵρεσις. οὔτε γὰρ τοῦτ' ἀποκωλύειν οἱ πολέμιοι
δύνανται πάντως εὐχόμενοι ζῶντας ἡμᾶς παραλαβεῖν, οὔθ'
ἡμεῖς ἐκείνους ἔτι νικᾶν μαχόμενοι. ἔδει μὲν γὰρ εὐθὺς ἴσως 327
250 ἐξ ἀρχῆς, ὅτε τῆς ἐλευθερίας ἡμῖν ἀντιποιεῖσθαι θελήσασι
πάντα καὶ παρ' ἀλλήλων ἀπέβαινε χαλεπὰ καὶ παρὰ τῶν
πολεμίων χείρω, τῆς τοῦ θεοῦ γνώμης στοχάζεσθαι καὶ
γινώσκειν ὅτι τὸ πάλαι φίλον αὐτῷ φῦλον Ἰουδαίων κατέ-
γνωστο· μένων γὰρ εὐμενὴς ἢ μετρίως γοῦν ἡμῖν ἀπηχθημέ- 328
255 νος, οὐκ ἂν τοσούτων μὲν ἀνθρώπων περιεῖδεν ὄλεθρον,
προήκατο δὲ τὴν ἱερωτάτην αὐτοῦ πόλιν πυρὶ καὶ κατασκα-
φαῖς πολεμίων. ἡμεῖς δ' ἄρα καὶ μόνοι τοῦ παντὸς Ἰου- 329

230. αὐτῶν: om. P 231. αὐτῷ Dindorf αὐτῶ PAMVRC αὐτῶν L 237. ἥκει: ἧκε (-εν P) PAMVRC 239. νυνὶ: νῦν PAML 243. δεδόσθαι: ἡμῖν δεδόσθαι C Lat | καὶ: om. PMLVR 249. ἔτι: ἐστὶ PA[1] ἔστι M ἔτι μὴν V[1] 253. φίλον: φιλούμενον A 253-4. κατέγνωστο: ἀπώλειαν (ἀπώλεια C) κατέγνωστο LC Lat 254. μένων: μὲν ὢν P | ἡμῖν: om. P

po o di eroica resistenza, immaginandosi quello che i romani, una volta vincitori, avrebbero fatto a loro, ai figli e alle mogli, deliberò la morte per tutti. Persuaso che in simili circostanze 322 era questa la risoluzione migliore, raccolse i piú animosi fra i suoi uomini e prese a spronarli con tali parole: « Da gran 323 tempo noi avevamo deciso, o miei valorosi, di non riconoscere come nostri padroni né i romani né alcun altro all'infuori del dio, perché egli solo è il vero e giusto signore degli uomini[20]; ed ecco che ora è arrivato il momento di confermare con i fatti quei propositi. In tale momento badiamo a non 324 coprirci di vergogna, noi che prima non ci siamo piegati nemmeno a una servitú che non comportava pericoli, e che ora assieme alla schiavitú ci attireremo i piú terribili castighi se cadremo vivi nelle mani dei romani. Siamo stati i primi, infatti, a ribellarci a loro[21] e gli ultimi a deporre le armi. Credo 325 poi che sia una grazia concessaci dal dio questa di poter morire con onore e in libertà, mentre ciò non fu possibile ad altri, che furono vinti inaspettatamente. Per noi invece è 326 certo che domani cadremo in mano al nemico, e possiamo liberamente scegliere di fare una morte onorata insieme con le persone che piú ci sono care. Né possono impedirlo i nemici, che pur vorrebbero a qualunque costo prenderci vivi, né possiamo noi ormai superarli in battaglia. Forse fin dal prin- 327 cipio, quando noi decidemmo di batterci per la libertà, e ci toccò sia di infliggerci a vicenda ogni sorta di colpi sia di subirne ancor piú gravi dai nemici, bisognava subito indovinare l'intenzione del dio e capire che la stirpe dei giudei, a lui un tempo cosí cara, era stata ora condannata alla distruzione. Che se egli ci fosse rimasto propizio, oppure non ci avesse 328 preso tanto a malvolere, non sarebbe rimasto indifferente allo sterminio di tanti uomini né avrebbe abbandonato la sua città santa alle fiamme e alle devastazioni dei nemici. Ci aspetta- 329 vamo forse che solamente noi fra l'intero popolo dei giudei

δαίων γένους ἠλπίσαμεν περιέσεσθαι τὴν ἐλευθερίαν φυλάξαντες, ὥσπερ ἀναμάρτητοι πρὸς τὸν θεὸν γενόμενοι καὶ μηδεμιᾶς μετασχόντες παρανομίας, οἳ καὶ τοὺς ἄλλους ἐδιδάξαμεν; τοιγαροῦν ὁρᾶτε, πῶς ἡμᾶς ἐλέγχει μάταια προσδοκήσαντας κρείττονα τῶν ἐλπίδων τὴν ἐν τοῖς δεινοῖς ἀνάγκην ἐπαγαγών· οὐδὲ γὰρ ἡ τοῦ φρουρίου φύσις ἀνάλωτος οὖσα πρὸς σωτηρίαν ὠφέληκεν, ἀλλὰ καὶ τροφῆς ἀφθονίαν καὶ πλῆθος ὅπλων καὶ τὴν ἄλλην ἔχοντες παρασκευὴν περιττεύουσαν ὑπ' αὐτοῦ περιφανῶς τοῦ θεοῦ τὴν ἐλπίδα τῆς σωτηρίας ἀφῃρήμεθα. τὸ γὰρ πῦρ εἰς τοὺς πολεμίους φερόμενον οὐκ αὐτομάτως ἐπὶ τὸ κατασκευασθὲν τεῖχος ὑφ' ἡμῶν ἀνέστρεψεν, ἀλλ' ἔστι ταῦτα χόλος πολλῶν ἀδικημάτων, ἃ μανέντες εἰς τοὺς ὁμοφύλους ἐτολμήσαμεν. ὑπὲρ ὧν μὴ τοῖς ἐχθίστοις Ῥωμαίοις δίκας ἀλλὰ τῷ θεῷ δι' ἡμῶν αὐτῶν ὑπόσχωμεν· αὗται δ' εἰσὶν ἐκείνων μετριώτεραι· θνησκέτωσαν γὰρ γυναῖκες ἀνύβριστοι καὶ παῖδες δουλείας ἀπείρατοι, μετὰ δ' αὐτοὺς ἡμεῖς εὐγενῆ χάριν ἀλλήλοις παράσχωμεν καλὸν ἐντάφιον τὴν ἐλευθερίαν φυλάξαντες. πρότερον δὲ καὶ τὰ χρήματα καὶ τὸ φρούριον πυρὶ διαφθείρωμεν· λυπηθήσονται γὰρ Ῥωμαῖοι, σαφῶς οἶδα, μήτε τῶν ἡμετέρων σωμάτων κρατήσαντες καὶ τοῦ κέρδους ἁμαρτόντες. τὰς τροφὰς μόνας ἐάσωμεν· αὗται γὰρ ἡμῖν τεθνηκόσι μαρτυρήσουσιν, ὅτι μὴ κατ' ἔνδειαν ἐκρατήθημεν, ἀλλ' ὥσπερ ἐξ ἀρχῆς διέγνωμεν, θάνατον ἑλόμενοι πρὸ δουλείας».

8, 7. ταῦτα Ἐλεάζαρος ἔλεγεν. οὐ μὴν κατὰ ταὐτὸ ταῖς γνώμαις προσέπιπτε τῶν παρόντων, ἀλλ' οἱ μὲν ἔσπευδον ὑπακούειν καὶ μόνον οὐχ ἡδονῆς ἐνεπίμπλαντο καλὸν εἶναι τὸν θάνατον νομίζοντες, τοὺς δ' αὐτῶν μαλακωτέρους γυναι-

258. περιέσεσθαι: περιελέσθαι PA *superare* Lat 259. γενόμενοι: γινόμενοι A 260. παρανομίας: om. PALVRC 263. οὐδὲ Bekker οὔτε codd. | γὰρ: γὰρ ἡμᾶς LVRC 264. ὠφέληκεν: ὠφέλησεν PAM 269. ἀνέστρεψεν: ἀνετρέψαμεν C 274. εὐγενῆ: συγγενῆ L 278. μήτε: μηδὲ PAM 283. κατὰ ταὐτὸ Thackeray κατ' αὐτὸ codd.

saremmo sopravvissuti conservando la libertà, come se non avessimo arrecato offese al dio e non ci fossimo macchiati di alcuna iniquità, mentre ne siamo stati perfino maestri agli altri[22]? E allora, guardate come egli ci dà la dimostrazione che vane erano le nostre aspettative, infliggendoci nella sventura colpi piú gravi di quelli che potevamo attenderci; non solo infatti questa fortezza per sua natura inespugnabile non è valsa a salvarci, ma, dato che avevamo abbondanza di viveri e gran copia di armi e di ogni altro rifornimento, è stata evidentemente opera del dio se ci troviamo ridotti a disperare della salvezza. Le fiamme che si protendevano contro i nemici non si sono rivoltate da sole contro il muro costruito da noi, ma ciò è avvenuto a causa dello sdegno divino per le molte scelleratezze che nel nostro cieco furore abbiamo osato commettere a danno dei nostri connazionali. Di tali colpe conviene che paghiamo il fio non ai nostri nemici piú accaniti, i romani, ma per nostra stessa mano al dio, e cosí il nostro castigo sarà anche piú lieve di quello che c'infliggerebbero i vincitori. Muoiano le nostre mogli senza conoscere il disonore e i nostri figli senza provare la schiavitú, e dopo la loro fine scambiamoci un generoso servigio preservando la libertà per farne la nostra veste sepolcrale[23]. Ma prima distruggiamo col fuoco e i nostri averi e la fortezza; resteranno male i romani, lo so bene, quando non potranno impadronirsi delle nostre persone e vedranno sfumare il bottino. Risparmiamo soltanto i viveri, che dopo la nostra morte resteranno a testimoniare che non per fame siamo caduti, ma per aver preferito la morte alla schiavitú, fedeli alla scelta che abbiamo fatta fin dal principio ».

8, 7. Cosí parlò Eleazar, ma le sue parole non suscitarono identiche reazioni nell'animo dei presenti; alcuni erano ansiosi di tradurre in atto la sua esortazione e per poco non gongolavano di gioia al pensiero di fare una fine cosí gloriosa, mentre i piú pusillanimi fra loro provavano compassione per le

κῶν καὶ γενεᾶς οἶκτος εἰσῄει, πάντως δὲ καὶ τῆς ἑαυτῶν
προδήλου τελευτῆς, εἴς τε ἀλλήλους ἀποβλέποντες τοῖς δα-
κρύοις τὸ μὴ βουλόμενον τῆς γνώμης ἐσήμαινον. τούτους 339
290 ἰδὼν Ἐλεάζαρος ἀποδειλιῶντας καὶ πρὸς τὸ μέγεθος τοῦ
βουλεύματος τὰς ψυχὰς ὑποκλωμένους ἔδεισε, μή ποτε καὶ
τοὺς ἐρρωμένως τῶν λόγων ἀκούσαντας αὐτοὶ συνεκθηλύ-
νωσι ποτνιώμενοι καὶ δακρύοντες. οὔκουν ἀνῆκε τὴν παρα- 340
κέλευσιν, ἀλλ' αὑτὸν ἐπεγείρας καὶ πολλοῦ λήματος πλήρης
295 γενόμενος λαμπροτέροις ἐνεχείρει λόγοις περὶ ψυχῆς ἀθα-
νασίας, μέγα τε σχετλιάσας καὶ τοῖς δακρύουσιν ἀτενὲς ἐμ- 341
βλέψας «ἦ πλεῖστον,» εἶπεν, «ἐψεύσθην νομίζων ἀνδράσιν
ἀγαθοῖς τῶν ὑπὲρ τῆς ἐλευθερίας ἀγώνων συναρεῖσθαι, ζῆν
καλῶς ἢ τεθνάναι διεγνωκόσιν. ὑμεῖς δ' ἦτε τῶν τυχόντων 342
300 οὐδὲν εἰς ἀρετὴν οὐδ' εὐτολμίαν διαφέροντες, οἵ γε καὶ τὸν
ἐπὶ μεγίστων ἀπαλλαγῇ κακῶν φοβεῖσθε θάνατον, δέον ὑπὲρ
τούτου μήτε μελλῆσαι μήτε σύμβουλον ἀναμεῖναι. πάλαι γὰρ 343
εὐθὺς ἀπὸ τῆς πρώτης αἰσθήσεως παιδεύοντες ἡμᾶς οἱ πά-
τριοι καὶ θεῖοι λόγοι διετέλουν, ἔργοις τε καὶ φρονήμασι
305 τῶν ἡμετέρων προγόνων αὐτοὺς βεβαιούντων, ὅτι συμφορὰ
τὸ ζῆν ἐστιν ἀνθρώποις, οὐχὶ θάνατος. οὗτος μὲν γὰρ ἐλευ- 344
θερίαν διδοὺς ψυχαῖς εἰς τὸν οἰκεῖον καὶ καθαρὸν ἀφίησι
τόπον ἀπαλλάσσεσθαι, πάσης συμφορᾶς ἀπαθεῖς ἐσομένας,
ἕως δ' εἰσὶν ἐν σώματι θνητῷ δεδεμέναι καὶ τῶν τούτου
310 κακῶν συναναπίμπλανται, τἀληθέστατον εἰπεῖν, τεθνήκασι·
κοινωνία γὰρ θείῳ πρὸς θνητὸν ἀπρεπής ἐστι. μέγα μὲν 345
οὖν δύναται ψυχὴ καὶ σώματι συνδεδεμένη· ποιεῖ γὰρ αὐτῆς
ὄργανον αἰσθανόμενον ἀοράτως αὐτὸ κινοῦσα καὶ θνητῆς
φύσεως περαιτέρω προάγουσα ταῖς πράξεσιν· οὐ μὴν ἀλλ' 346
315 ἐπειδὰν ἀπολυθεῖσα τοῦ καθέλκοντος αὐτὴν βάρους ἐπὶ γῆν

288. τε: om. PALVR 292-3. συνεκθηλύνωσι: συνεκθηλύνουσι PA[1] 294. λήματος Richter λήμματος codd. 296. δακρύουσιν: δάκρυσιν PLR δάκρασιν C 298. συναρεῖσθαι Niese συναιρεῖσθαι codd. 300. εὐτολμίαν: εἰς εὐτολμίαν MVRC 310. τἀληθέστατον: τἀληθὲς M 315. καθέλκοντος: καθελκτὸς R

mogli e i figli, e certamente anche per la loro prossima fine,
e scambiandosi occhiate davano a vedere con le loro lacrime
di non essere propensi al sacrificio. Eleazar, vedendo costoro 339
avviliti e in preda allo scoramento di fronte a una decisione
cosí grave, temette che con i loro gemiti e le loro lacrime
disanimassero anche quelli che avevano accolto con fermezza
le sue parole. Allora non rinunziò ai suoi incitamenti, ma 340
riscaldandosi e lasciandosi trasportare da un gran fervore
elevò il tono del suo discorso parlando dell'immortalità del-
l'anima e, fissando dritto negli occhi con duro cipiglio quelli 341
che piangevano, cosí disse[24]: « Che grandissimo errore, il
mio, quando ho creduto che avrei partecipato alla lotta per
la libertà avendo a fianco degli uomini valorosi, decisi a
vivere con onore o altrimenti a morire. Ma per valore e co- 342
raggio non eravate per niente diversi dalla gente comune
voi, che avete paura anche di una morte destinata a liberarvi
di molti affanni, mentre dinanzi a questa non dovreste né
avere esitazioni né attendere consigli. Da gran tempo, infatti, 343
e sin da quando la nostra mente ha cominciato ad aprirsi, la
disciplina tradizionale e i precetti divini ci hanno sempre
insegnato – e i nostri avi ce l'hanno confermato con il loro
agire e con il loro pensare – che per gli uomini è una disgrazia
vivere, non morire. La morte infatti, donando la libertà alle 344
anime, fa sí che esse possano raggiungere quel luogo di pu-
rezza che è la loro sede propria, dove andranno esenti da
ogni calamità[25], mentre finché sono prigioniere in un corpo
mortale, schiacciate sotto il peso dei suoi malanni, allora sí
che esse son morte, se vogliamo dire il vero; infatti il divino
mal s'adatta a coesistere col mortale. Senza dubbio, grandi 345
cose può realizzare l'anima anche quando è prigioniera di un
corpo; essa infatti fa di questo il suo organo di percezione
e invisibilmente lo muove e lo guida a compiere opere che
vanno al di là della sua natura mortale; ma una volta che, 346
affrancata dal peso che la trascina in basso verso la terra e

www.scribd.com/Cultura_in_Ita5

καὶ προσκρεμαμένου χῶρον ἀπολάβῃ τὸν οἰκεῖον, τότε δὴ
μακαρίας ἰσχύος καὶ πανταχόθεν ἀκωλύτου μετέχει δυνά-
μεως, ἀόρατος μένουσα τοῖς ἀνθρωπίνοις ὄμμασιν ὥσπερ
αὐτὸς ὁ θεός· οὐδὲ γὰρ ἕως ἐστὶν ἐν σώματι θεωρεῖται· πρό- 347
320 σεισι γὰρ ἀφανῶς καὶ μὴ βλεπομένη πάλιν ἀπαλλάττεται,
μίαν μὲν αὐτὴ φύσιν ἔχουσα τὴν ἄφθαρτον, αἰτία δὲ σώματι
γινομένη μεταβολῆς. ὅτου γὰρ ἂν ψυχὴ προσψαύσῃ, τοῦτο 348
ζῇ καὶ τέθηλεν, ὅτου δ' ἂν ἀπαλλαγῇ μαρανθὲν ἀποθνήσκει·
τοσοῦτον αὐτῇ περίεστιν ἀθανασίας. ὕπνος δὲ τεκμήριον 349
325 ὑμῖν ἔστω τῶν λόγων ἐναργέστατον, ἐν ᾧ ψυχαὶ τοῦ
σώματος αὐτὰς μὴ περισπῶντος ἡδίστην μὲν ἔχουσιν ἀνά-
παυσιν ἐφ' αὑτῶν γενόμεναι, θεῷ δ' ὁμιλοῦσαι κατὰ συγ-
γένειαν πάντῃ μὲν ἐπιφοιτῶσι, πολλὰ δὲ τῶν ἐσομένων προ-
θεσπίζουσι. τί δὴ δεῖ δεδιέναι θάνατον τὴν ἐν ὕπνῳ γινο- 350
330 μένην ἀνάπαυσιν ἀγαπῶντας; πῶς δ' οὐκ ἀνόητόν ἐστιν τὴν
ἐν τῷ ζῆν ἐλευθερίαν διώκοντας τῆς ἀιδίου φθονεῖν αὑτοῖς;
ἔδει μὲν οὖν ἡμᾶς οἴκοθεν πεπαιδευμένους ἄλλοις εἶναι πα- 351
ράδειγμα τῆς πρὸς θάνατον ἑτοιμότητος· οὐ μὴν ἀλλ' εἰ καὶ
τῆς παρὰ τῶν ἀλλοφύλων δεόμεθα πίστεως, βλέψωμεν εἰς
335 Ἰνδοὺς τοὺς σοφίαν ἀσκεῖν ὑπισχνουμένους. ἐκεῖνοί τε γὰρ 352
ὄντες ἄνδρες ἀγαθοὶ τὸν μὲν τοῦ ζῆν χρόνον ὥσπερ ἀναγ-
καίαν τινὰ τῇ φύσει λειτουργίαν ἀκουσίως ὑπομένουσι, σπεύ- 353
δουσι δὲ τὰς ψυχὰς ἀπολῦσαι τῶν σωμάτων, καὶ μηδενὸς
αὐτοὺς ἐπείγοντος κακοῦ μηδ' ἐξελαύνοντος πόθῳ τῆς ἀθα-
340 νάτου διαίτης προλέγουσι μὲν τοῖς ἄλλοις ὅτι μέλλουσιν
ἀπιέναι, καὶ ἔστιν ὁ κωλύσων οὐδείς, ἀλλὰ πάντες αὐτοὺς
εὐδαιμονίζοντες πρὸς τοὺς οἰκείους ἕκαστοι διδόασιν ἐπι-
στολάς· οὕτως βεβαίαν καὶ ἀληθεστάτην ταῖς ψυχαῖς τὴν 354
μετ' ἀλλήλων εἶναι δίαιταν πεπιστεύκασιν. οἱ δ' ἐπειδὰν 355

318. μένουσα: μὲν οὖσα PAL 319. ἕως: ὡς AL fortasse recte 321. αὐτὴ Bekker αὕτη codd. 322. προσψαύσῃ: προσάψηται AMLVRC 326. μὴ: om. PAL 329. δὴ δεῖ: δὴ PA[1] δεῖ MA[2] δὲ δεῖ LC 331. αὑτοῖς: αὐτοῖς ALVR ἑαυτοῖς C 332. ἡμᾶς: ὑμᾶς PL 339. ἐπείγοντος: κατεπείγοντος C 341. ἀπιέναι: ἀπεῖναι PMVRC 343. οὕτως: οὕτω VRC

ve la tiene avvinta, essa raggiunge la sua sede naturale, allora partecipa di un potere straordinario e di una forza che non patisce alcuna limitazione, continuando ad essere invisibile agli occhi umani come lo stesso dio. Essa infatti non è visibile 347 nemmeno quando abita in un corpo: invisibilmente vi entra e invisibilmente se ne allontana, e mentre per sé conserva la sua identica natura incorruttibile, provoca la trasformazione del corpo. Tutto ciò che è toccato dall'anima vive e fiorisce, 348 tutto ciò da cui essa si diparte avvizzisce e muore: cosí grande è la sua carica d'immortalità! A prova evidentissima di ciò 349 che vi dico, prendete il sonno, in cui le anime, non essendo in balia del corpo, godono liberamente di un dolcissimo stato di quiete e, comunicando col dio per l'affinità della loro natura, si aggirano dappertutto e predicono molti eventi futuri. Perché dovrebbero temere la morte coloro che amano il 350 riposo che si fruisce durante il sonno? E come non sarebbe da pazzi agognare, mentre si è vivi, alla libertà e poi negarsi il godimento di quella eterna? Noi, che riceviamo nelle nostre 351 case un'educazione informata a questi principi, dovremmo dare esempio agli altri con l'esser sempre pronti a morire; comunque, se volessimo ricevere una conferma attingendola dagli stranieri, guardiamo agli indiani che seguono i dettami della filosofia[26]. Costoro infatti, ed è gente di prim'ordine, 352 sopportano a malincuore il periodo della vita come un debito da pagare alla natura, e non vedono l'ora di liberare le anime 353 dai corpi; senza che alcun male li affligga o li costringa ad andarsene, presi dal desiderio della vita immortale, preannunziano agli altri di essere prossimi alla dipartita, e non c'è alcuno che cerchi di impedirglielo, ma tutti si felicitano con loro e consegnano ad essi delle lettere per i propri cari: cosí 354 salda e sincera è la loro fede che le anime comunicano l'una con l'altra. Dopo aver raccolto tutti i messaggi, essi salgono 355

345 ἐπακούσωσι τῶν ἐντεταλμένων αὐτοῖς, πυρὶ τὸ σῶμα παραδόντες, ὅπως δὴ καὶ καθαρωτάτην ἀποκρίνωσι τοῦ σώματος τὴν ψυχήν, ὑμνούμενοι τελευτῶσιν· ῥᾷον γὰρ ἐκείνους 356 εἰς τὸν θάνατον οἱ φίλτατοι προπέμπουσιν ἢ τῶν ἄλλων ἀνθρώπων ἕκαστοι τοὺς πολίτας εἰς μηκίστην ἀποδημίαν, 350 καὶ σφᾶς μὲν αὐτοὺς δακρύουσιν, ἐκείνους δὲ μακαρίζουσιν ἤδη τὴν ἀθάνατον τάξιν ἀπολαμβάνοντας. ἆρ' οὖν οὐκ αἰ- 357 δούμεθα χεῖρον Ἰνδῶν φρονοῦντες καὶ διὰ τῆς αὐτῶν ἀτολμίας τοὺς πατρίους νόμους, οἳ πᾶσιν ἀνθρώποις εἰς ζῆλον ἥκουσιν, αἰσχρῶς ὑβρίζοντες; ἀλλ' εἴ γε καὶ τοὺς ἐναντίους 358 355 ἐξ ἀρχῆς λόγους ἐπαιδεύθημεν, ὡς ἄρα μέγιστον ἀγαθὸν ἀνθρώποις ἐστὶ τὸ ζῆν συμφορὰ δ' ὁ θάνατος, ὁ γοῦν καιρὸς ἡμᾶς παρακαλεῖ φέρειν εὐκαρδίως αὐτόν, θεοῦ γνώμῃ καὶ κατ' ἀνάγκας τελευτήσοντας· πάλαι γάρ, ὡς ἔοικε, κατὰ τοῦ 359 κοινοῦ παντὸς Ἰουδαίων γένους ταύτην ἔθετο τὴν ψῆφον 360 ὁ θεός, ὥσθ' ἡμᾶς τοῦ ζῆν ἀπηλλάχθαι μὴ μέλλοντας αὐτῷ χρῆσθαι κατὰ τρόπον. μὴ γὰρ αὐτοῖς ὑμῖν ἀνάπτετε τὰς 360 αἰτίας μηδὲ χαρίζεσθε τοῖς Ῥωμαίοις, ὅτι πάντας ἡμᾶς ὁ πρὸς αὐτοὺς πόλεμος διέφθειρεν· οὐ γὰρ ἐκείνων ἰσχύι ταῦτα συμβέβηκεν, ἀλλὰ κρείττων αἰτία γενομένη τὸ δοκεῖν ἐκεί- 365 νοις νικᾶν παρέσχηκε. ποίοις γὰρ ὅπλοις Ῥωμαίων τεθνή- 361 κασιν οἱ Καισάρειαν Ἰουδαῖοι κατοικοῦντες; ἀλλ' οὐδὲ 362 μελλήσαντας αὐτοὺς ἐκείνων ἀφίστασθαι, μεταξὺ δὲ τὴν ἑβδόμην ἑορτάζοντας τὸ πλῆθος τῶν Καισαρέων ἐπιδραμὸν μηδὲ χεῖρας ἀνταίροντας ἅμα γυναιξὶ καὶ τέκνοις 370 κατέσφαξαν, οὐδ' αὐτοὺς Ῥωμαίους ἐντραπέντες, οἳ μόνους ἡμᾶς ἡγοῦντο πολεμίους τοὺς ἀφεστηκότας. ἀλλὰ φήσει 363 τις ὅτι Καισαρεῦσιν ἦν ἀεὶ διαφορὰ πρὸς τοὺς παρ' αὐτοῖς,

346. ἀποκρίνωσι: ἀποκρίνουσι LVR 349. ἕκαστοι: ἕκαστος LC 352. χεῖρον: χείρονα L | αὐτῶν: αὑτῶν PAMLVR ἑαυτῶν C 353. πατρίους: πατρῴους L 358. τελευτήσοντας Thackeray ex Lat *morituros* τελευτήσαντας codd. 361. ἀνάπτετε: ἀνάπτεται L 362. χαρίζεσθε: χαρίζεσθαι AV^{1}RC 364. κρείττων: κρεῖττον P 367. μελλήσαντας: μελλήσοντας PA^{1}MLVRC μελλήσαντας ἴσμεν A^{2} fortasse recte 368. ἑορτάζοντας: ἑορτὴν PA 369. ἀνταίροντας: ἐνταιροῦντας PA

su un rogo, perché l'anima si separi dal corpo nel massimo stato di purezza, e muoiono circondati da un coro di elogi; infatti le persone maggiormente care usano accompagnarli 356 alla morte assai piú che presso altri popoli non si usa di accompagnare i cittadini che partono per un lungo viaggio, e mentre sono afflitte per sé stesse considerano beati quelli, che già raggiungono la condizione dell'immortalità. E allora, 357 non proviamo vergogna di essere inferiori agli indiani nei pensieri di fronte alla morte e di offendere turpemente con la nostra vigliaccheria le patrie leggi, che destano l'invidia di tutto il mondo? Ma se anche dapprincipio con precetti op- 358 posti ci avessero insegnato che per gli uomini il sommo bene è la vita, e una calamità la morte, le presenti circostanze ci spingono a sopportarla con coraggio, dato che dobbiamo morire per volere di dio e ineluttabilmente. Da gran tempo, 359 a ciò che pare, contro tutta quanta la stirpe dei giudei il dio ha pronunciato questa sentenza, che noi fossimo costretti ad abbandonare la vita quando non avessimo piú a usarne rettamente. Non dovete infatti dar la colpa a voi stessi, o attri- 360 buire il merito ai romani, se la guerra contro di essi ci ha portati tutti alla catastrofe; ciò non accadde per la loro forza, ma per una forza ben piú alta che a loro ha concesso di far la figura dei vincitori. Quali armi romane sterminarono i 361 giudei abitanti a Cesarea[27]? Costoro in verità non avevano 362 nemmeno l'intenzione di partecipare alla rivolta, ma mentre erano intenti a festeggiare il sabato si videro piombare addosso il popolo dei Cesariensi e, sebbene non opponessero resistenza, vennero sterminati assieme alle mogli e ai figli senza alcun riguardo per i romani, che consideravano nemici soltanto noi che eravamo insorti. Qualcuno dirà che i Ce- 363 sariensi erano sempre in contrasto con i giudei residenti nella

καὶ τοῦ καιροῦ λαβόμενοι τὸ παλαιὸν μῖσος ἀπεπλήρωσαν.
τί οὖν τοὺς ἐν Σκυθοπόλει φῶμεν; ἡμῖν γὰρ ἐκεῖνοι διὰ 364
375 τοὺς Ἕλληνας πολεμεῖν ἐτόλμησαν, ἀλλ᾽ οὐ μετὰ τῶν συγ-
γενῶν ἡμῶν Ῥωμαίους ἀμύνεσθαι. πολὺ τοίνυν ὤνησεν 365
αὐτοὺς ἡ πρὸς ἐκείνους εὔνοια καὶ πίστις· ὑπ᾽ αὐτῶν μέντοι
πανοικεσίᾳ πικρῶς κατεφονεύθησαν ταύτην τῆς συμμαχίας
ἀπολαβόντες ἀμοιβήν· ἃ γὰρ ἐκείνους ὑφ᾽ ἡμῶν ἐκώ- 366
380 λυσαν, ταῦθ᾽ ὑπέμειναν ὡς αὐτοὶ δρᾶσαι θελήσαντες. μα-
κρὸν ἂν εἴη νῦν ἰδίᾳ περὶ ἑκάστων λέγειν· ἴστε γὰρ ὅτι τῶν 367
ἐν Συρίᾳ πόλεων οὐκ ἔστιν ἥτις τοὺς παρ᾽ αὐτῇ κατοι-
κοῦντας Ἰουδαίους οὐκ ἀνῄρηκεν, ἡμῖν πλέον ἢ Ῥωμαίοις
ὄντας πολεμίους· ὅπου γε Δαμασκηνοὶ μηδὲ πρόφασιν εὔλο- 368
385 γον πλάσαι δυνηθέντες φόνου μιαρωτάτου τὴν αὐτῶν πόλιν
ἐνέπλησαν ὀκτακισχιλίους πρὸς τοῖς μυρίοις Ἰουδαίους ἅμα
γυναιξὶ καὶ γενεαῖς ἀποσφάξαντες. τὸ δ᾽ ἐν Αἰγύπτῳ πλῆθος 369
τῶν μετ᾽ αἰκίας ἀνῃρημένων ἓξ που μυριάδας ὑπερβάλλειν
ἐπυνθανόμεθα. κἀκεῖνοι μὲν ἴσως ἐπ᾽ ἀλλοτρίας γῆς οὐδὲν
390 ἀντίπαλον εὑράμενοι τοῖς πολεμίοις οὕτως ἀπέθανον, τοῖς
δ᾽ ἐπὶ τῆς οἰκείας τὸν πρὸς Ῥωμαίους πόλεμον ἀραμένοις
ἅπασι τί τῶν ἐλπίδα νίκης ἐχυρᾶς παρασχεῖν δυναμένων
οὐχ ὑπῆρξε; καὶ γὰρ ὅπλα καὶ τείχη καὶ φρουρίων δυσά- 370
λωτοι κατασκευαὶ καὶ φρόνημα πρὸς τοὺς ὑπὲρ τῆς ἐλευθε-
395 ρίας κινδύνους ἄτρεπτον πάντας πρὸς τὴν ἀπόστασιν ἐπέρ-
ρωσεν. ἀλλὰ ταῦτα πρὸς βραχὺν χρόνον ἀρκέσαντα καὶ 371
ταῖς ἐλπίσιν ἡμᾶς ἐπάραντα μειζόνων ἀρχὴ κακῶν ἀνεφάνη·
πάντα γὰρ ἥλω, καὶ πάντα τοῖς πολεμίοις ὑπέπεσεν, ὥσπερ
εἰς τὴν ἐκείνων εὐκλεεστέραν νίκην, οὐκ εἰς τὴν τῶν πα-
400 ρασκευασαμένων σωτηρίαν εὐτρεπισθέντα. καὶ τοὺς μὲν ἐν 372
ταῖς μάχαις ἀποθνήσκοντας εὐδαιμονίζειν προσῆκον· ἀμυ-
νόμενοι γὰρ καὶ τὴν ἐλευθερίαν οὐ προέμενοι τεθνήκασι·

378. ταύτην: ταύτης PALVR 387. γενεαῖς: παισὶν C 388. ὑπερβάλλειν: ὑπερβαλεῖν MVRC 389. ἐπυνθανόμεθα: πυνθανόμεθα L 392. ἅπασι τί Holwerda ἅπασί τε PAMLVR ἅπασι C | τῶν: τοῖς MVRC | δυναμένων: δυναμένοις MVRC 395. ἄτρεπτον: ἄτρευτον P ἄτρεστον VRC 397. ἀνεφάνη: ἐφάνη L

loro città, e che colsero l'occasione per dar sfogo al vecchio rancore. Che dire allora dei giudei di Scitopoli[28]? Questi ebbero l'ardire di unirsi ai greci nel far guerra a noi, e non vollero unirsi a noi, loro connazionali, nella resistenza ai romani. Ebbene, fu certamente un gran profitto quello che ricavarono dalla loro simpatia e dalla loro lealtà verso di essi! Da costoro infatti, a ricompensa dell'alleanza, vennero spietatamente trucidati con tutte le loro famiglie, e la sorte che c'impedirono d'infliggere a quelli la subirono poi essi stessi, quasi avessero avuto l'intenzione di scatenare l'eccidio. Sarebbe ora troppo lungo specificare ad uno ad uno i casi come questi; infatti voi sapete che fra le città della Siria non ve ne fu una che non fece strage dei giudei residenti, sebbene costoro fossero piú avversi a noi che ai romani[29]. Cosí il popolo di Damasco, pur non riuscendo a inventare un pretesto plausibile, riempí la sua città di nefanda strage sterminando diciottomila giudei con le mogli e i figli[30]. Il numero, poi, di coloro che in Egitto[31] perirono fra i supplizi superò forse, a quanto si dice, i sessantamila. Questi può darsi che abbiano fatto una tal fine perché, trovandosi in terra straniera, non ebbero modo di resistere ai nemici; ma a tutti coloro che sul patrio suolo intrapresero la guerra contro i romani che cosa mancava di ciò che può infondere la speranza di sicura vittoria? Armi, mura, fortezze inespugnabili, e una volontà incrollabile di fronte ai pericoli per la libertà, ispirarono in ciascuno il coraggio della ribellione. Ma tutte queste cose bastarono solo per poco, e dopo averci illusi con le speranze si rivelarono il principio di piú grandi mali. Infatti tutte furono espugnate, tutte caddero in mano dei nemici, come se fossero state apprestate per rendere piú gloriosa la loro vittoria, non per salvare chi le aveva predisposte. Felici sono da ritenere i caduti in combattimento, morti per difendere la libertà, non per

τὸ δὲ πλῆθος τῶν ὑπὸ Ῥωμαίοις γενομένων τίς οὐκ ἂν
ἐλεήσειε; τίς οὐκ ἂν ἐπειχθείη πρὸ τοῦ ταὐτὰ παθεῖν ἐκείνοις
405 ἀποθανεῖν; ὧν οἱ μὲν στρεβλούμενοι καὶ πυρὶ καὶ μάστιξιν 373
αἰκιζόμενοι τεθνήκασιν, οἱ δ' ἀπὸ θηρίων ἡμίβρωτοι πρὸς
δευτέραν αὐτοῖς τροφὴν ζῶντες ἐφυλάχθησαν, γέλωτα καὶ
παίγνιον τοῖς πολεμίοις παρασχόντες. ἐκείνων μὲν οὖν ἀθλιω- 374
τάτους ὑποληπτέον τοὺς ἔτι ζῶντας, οἳ πολλάκις εὐχόμενοι
410 τὸν θάνατον λαβεῖν οὐκ ἔχουσιν. ποῦ δ' ἡ μεγάλη πόλις, 375
ἡ τοῦ παντὸς Ἰουδαίων γένους μητρόπολις, ἡ τοσούτοις
μὲν ἐρυμνὴ τειχῶν περιβόλοις, τοσαῦτα δ' αὑτῆς φρούρια
καὶ μεγέθη πύργων προβεβλημένη, μόλις δὲ χωροῦσα τὰς
εἰς τὸν πόλεμον παρασκευάς, τοσαύτας δὲ μυριάδας ἀνδρῶν
415 ἔχουσα τῶν ὑπὲρ αὐτῆς μαχομένων; ποῦ γέγονεν ἡμῖν 376
ἡ τὸν θεὸν ἔχειν οἰκιστὴν πεπιστευμένη; πρόρριζος ἐκ
βάθρων ἀνήρπασται, καὶ μόνον αὐτῆς μνημεῖον ἀπολείπεται
τὸ τῶν ἀνῃρημένων ἔτι τοῖς λειψάνοις ἐποικοῦν. πρεσβῦται 377
δὲ δύστηνοι τῇ σποδῷ τοῦ τεμένους παρακάθηνται καὶ
420 γυναῖκες ὀλίγαι πρὸς ὕβριν αἰσχίστην ὑπὸ τῶν πολεμίων
τετηρημέναι. ταῦτα τίς ἐν νῷ βαλλόμενος ἡμῶν καρτερήσει 378
τὸν ἥλιον ὁρᾶν, κἂν δύνηται ζῆν ἀκινδύνως; τίς οὕτω τῆς
πατρίδος ἐχθρός, ἢ τίς οὕτως ἄνανδρος καὶ φιλόψυχος,
ὡς μὴ καὶ περὶ τοῦ μέχρι νῦν ζῆσαι μετανοεῖν; ἀλλ' εἴθε 379
425 πάντες ἐτεθνήκειμεν πρὶν τὴν ἱερὰν ἐκείνην πόλιν χερσὶν
ἰδεῖν κατασκαπτομένην πολεμίων, πρὶν τὸν ναὸν τὸν ἅγιον
οὕτως ἀνοσίως ἐξορωρυγμένον. ἐπεὶ δὲ ἡμᾶς οὐκ ἀγεν- 380
νὴς ἐλπὶς ἐβουκόλησεν, ὡς τάχα που δυνήσεσθαι τοὺς πο-
λεμίους ὑπὲρ αὐτῆς ἀμύνασθαι, φρούδη δὲ γέγονε νῦν καὶ
430 μόνους ἡμᾶς ἐπὶ τῆς ἀνάγκης καταλέλοιπεν, σπεύσωμεν
καλῶς ἀποθανεῖν, ἐλεήσωμεν ἡμᾶς αὐτοὺς καὶ τὰ τέκνα

404. πρὸ: πρὸς P | ταὐτά: ταῦτα PA[1]LC 408. παίγνιον: παιδιὰν MLVRC 412. αὑτῆς Bekker αὐτῆς codd. 417. ἀπολείπεται: ὑπολέλειπται C 418. ἀνῃρημένων: ἀνῃρηκότων αὐτὴν (αὐτὴ C) στρατόπεδον MVRC | ἔτι: ἐπὶ PA[1] 421. ἡμῶν: ἧττων VR 426. πολεμίων: τῶν πολεμίων M ὑπὸ τῶν πολεμίων PA 427. ἐξορωρυγμένον: ἐξωρυγμένον PA 429. ἀμύνασθαι: ἀμύνεσθαι AVRC

tradirla; ma chi potrebbe non commiserare la moltitudine dei prigionieri fatta dai romani? Chi non s'affretterebbe a morire prima di provare le loro sofferenze? Alcuni di essi 373 sono periti straziati dagli strumenti di tortura e fra gli spasimi del fuoco o delle battiture; altri, semidivorati dalle belve, furono conservati vivi per esser ancora una volta gettati in pasto a quelle, facendo ridere e divertire i nemici. Ma piú 374 infelici fra tutti sono da considerare quelli che ancora vivono, che piú volte hanno implorato la morte senza riceverla. Dov'è 375 ora la grande città, la madrepatria di tutto il popolo dei giudei, difesa da tante linee di fortificazione, circondata da tanti baluardi e immense torri, quella che a stento riusciva a contenere gli apprestamenti difensivi di cui era dotata e possedeva un numero cosí sterminato di uomini pronti a combattere per lei? Che fine ha fatto quella città che credevamo abitata dal 376 dio? Estirpata fin dalle fondamenta è stata strappata via, e a ricordo ne rimane solo la moltitudine degli uccisi che ancora restano fra le sue macerie. Presso le ceneri del santuario 377 se ne stanno dei miseri vecchi e poche donne riservate dal nemico al piú infame oltraggio. Chi di noi, pensando a tali 378 miserie, avrà ancora il coraggio di guardare la luce del sole, pur potendo vivere senza pericoli? Chi sarà tanto nemico della patria, tanto vile e attaccato alla vita da non provare il tedio di essere tuttora vivo? Magari fossimo tutti morti prima 379 di vedere quella santa città crollare sotto i colpi dei nemici, e il sacro tempio empiamente distrutto fin dalle fondamenta. Ci fu di sprone la non ignobile speranza di poter forse un 380 giorno far le sue vendette sui nemici, ma poiché tale speranza è ora svanita, e ci ha lasciati soli nell'ora suprema, non indugiamo a fare una morte gloriosa, muoviamoci a pietà per noi

καὶ τὰς γυναῖκας, ἕως ἡμῖν ἔξεστιν παρ' ἡμῶν αὐτῶν
λαβεῖν τὸν ἔλεον. ἐπὶ μὲν γὰρ θάνατον ἐγεννήθημεν καὶ 381
τοὺς ἐξ αὐτῶν ἐγεννήσαμεν, καὶ τοῦτον οὐδὲ τοῖς εὐδαιμο-
435 νοῦσιν ἔστι διαφυγεῖν· ὕβρις δὲ καὶ δουλεία καὶ τὸ βλέπειν 382
γυναῖκας εἰς αἰσχύνην ἀγομένας μετὰ τέκνων οὐκ ἔστιν
ἀνθρώποις κακὸν ἐκ φύσεως ἀναγκαῖον, ἀλλὰ ταῦτα διὰ
τὴν αὐτῶν δειλίαν ὑπομένουσιν οἱ παρὸν πρὸ αὐτῶν ἀπο-
θανεῖν μὴ θελήσαντες. ἡμεῖς δ' ἐπ' ἀνδρείᾳ μέγα φρονοῦντες 383
440 Ῥωμαίων ἀπέστημεν καὶ τὰ τελευταῖα νῦν ἐπὶ σωτηρίᾳ
προκαλουμένων ἡμᾶς οὐχ ὑπηκούσαμεν. τίνι τοίνυν οὐκ 384
ἔστιν ὁ θυμὸς αὐτῶν πρόδηλος, εἰ ζώντων ἡμῶν κρατήσου-
σιν; ἄθλιοι μὲν οἱ νέοι τῆς ῥώμης τῶν σωμάτων εἰς πολλὰς
αἰκίας ἀρκέσοντες, ἄθλιοι δ' οἱ παρηβηκότες φέρειν τῆς
445 ἡλικίας τὰς συμφορὰς οὐ δυναμένης. ὄψεταί τις γυναῖκα 385
πρὸς βίαν ἀγομένην, φωνῆς ἐπακούσεται τέκνου πατέρα
βοῶντος χεῖρας δεδεμένος; ἀλλ' ἕως εἰσὶν ἐλεύθεραι καὶ 386
ξίφος ἔχουσιν, καλὴν ὑπουργίαν ὑπουργησάτωσαν· ἀδού-
λωτοι μὲν ὑπὸ τῶν πολεμίων ἀποθάνωμεν, ἐλεύθεροι δὲ
450 μετὰ τέκνων καὶ γυναικῶν τοῦ ζῆν συνεξέλθωμεν. ταῦθ' 387
ἡμᾶς οἱ νόμοι κελεύουσι, ταῦθ' ἡμᾶς γυναῖκες καὶ παῖδες
ἱκετεύουσι· τούτων τὴν ἀνάγκην θεὸς ἀπέσταλκε, τούτων
Ῥωμαῖοι τἀναντία θέλουσι, καὶ μή τις ἡμῶν πρὸ τῆς
ἁλώσεως ἀποθάνῃ δεδοίκασι. σπεύσωμεν οὖν ἀντὶ τῆς 388
455 ἐλπιζομένης αὐτοῖς καθ' ἡμῶν ἀπολαύσεως ἔκπληξιν τοῦ
θανάτου καὶ θαῦμα τῆς τόλμης καταλιπεῖν».

9, 1. ἔτι βουλόμενον αὐτὸν παρακαλεῖν πάντες ὑπετέ- 389
μνοντο καὶ πρὸς τὴν πρᾶξιν ἠπείγοντο, ἀνεπισχέτου τινὸς
ὁρμῆς πεπληρωμένοι, καὶ δαιμονῶντες ἀπῄεσαν ἄλλος πρὸ
ἄλλου φθάσαι γλιχόμενος καὶ ταύτην ἐπίδειξιν εἶναι τῆς

442. εἰ: ἢ AC 442-3. κρατήσουσιν: κρατήσωσιν C 447. δεδεμένος: δεδεμένου MVRC 448. ὑπουργησάτωσαν: ἡμῖν ὑπουργησάτωσαν MVRC Lat 452. ἀπέσταλκε: ἐκέλευσε C 456. καὶ: om. VR | θαῦμα τῆς: θαυμαστῆς VR 9, 1. ἔτι: ἔτι γε VRC

stessi, per le mogli e per i figli, finché possiamo ancora tro-
vare misericordia da parte nostra. Siamo nati per morire, 381
noi e quelli che abbiamo generato, e a questo destino nem-
meno i piú fortunati possono sottrarsi; invece l'essere sopraf-
fatti e gettati in catene, e il vedere le mogli trascinate alla ver- 382
gogna assieme ai figli, non sono mali inevitabili perché im-
posti all'uomo dalla natura, ma sono mali che per la sua
viltà deve sopportare chi potrebbe evitarli con la morte e
non vuole. Fieri del nostro coraggio noi demmo inizio alla 383
ribellione ai romani, e ora che siamo alla fine abbiamo respinto
le loro profferte di perdono[32]. Chi non immagina la loro fe- 384
rocia se ci prenderanno vivi? Sventurati i giovani, che per
la robustezza del corpo resisteranno a molti supplizi, sventu-
rati gli anziani, la cui età non potrà sopportare tali tormenti!
